Gr.
C.

# ANECDOTA GRÆCA

E CODD. MANUSCRIPTIS

BIBLIOTHECÆ REGIÆ PARISIENSIS.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

ACADEMIÆ ORATOR PUBLICUS.

VOL. II.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXIX.

5763
3/9/90
C

# EXCERPTA

## HISTORICA ET CHRONOLOGICA.

1. Περὶ Ἐπιβουλῶν κατὰ βασιλέων γεγονυιῶν.
2. Ἐκλογαὶ ἐκ τῆς Ἐκκλησιαστικῆς ἱστορίας.
3. Ἐκ τῶν τοῦ Εὐσεβίου Χρονικῶν.
4. Ἐκλογὴ ἱστοριῶν ἀπό τε Μωσέως βίβλου καὶ τῶν ἔξω ἱστοριογραφησάντων ἐπισήμων ἀνδρῶν, καὶ τῆς θείας γραφῆς, τομῶς διερχομένη μέχρι τῆς Ἀναστασίου βασιλείας.
5. Ἕτερα χρονικά.

Digitized by the Internet Archive
in 2010 with funding from
University of Toronto

http://www.archive.org/details/anecdotagraecaec02cram

# ΠΕΡΙ ΕΠΙΒΟΥΛΩΝ

# ΚΑΤΑ ΒΑΣΙΛΕΩΝ ΓΕΓΟΝΥΙΩΝ.

Insignes has parecbolas historicas, quas nunc primum edendas curavi, suppeditavit Cod. Regius 1666, qui eas habet fol. 97. r. post Diod. Sic. libb. xv–xix; sed hos quidem imperfectos et perturbatos. Codex ipse est form. in fol. Chart. Sæc. xv. satis nitide exaratus, sed pessimis erroribus abundans. Has Anonymi Eclogas mihi inspicienti in promptu fuit dispicere, eas, ad opus Joannis Antiocheni de Conjurationibus, a Labbe Bibl. Nov. MSS. p. 385 citatum, referendas esse. Sed non minus certis indiciis assecutus sum, ipsum hoc opus esse partem ingentium Collectaneorum, Imperatoris Constantini Porphyrogeniti jussu, olim confectorum; eam nempe, quæ, sub Titulo περὶ Ἐπιβουλῆς vel Ἐπιβουλῶν, continebatur. (Vid. Vales. in Præf. Ecl. Peiresc.) Utinam autem integrum hunc titulum, et eorum in eo primariorum historicorum excerpta, quæ sine dubio ibi comparuissent, nacti essemus; Polybii, dico, Diodori Siculi, Appiani, Dionysii Halicarnassensis. Sed licet his longe inferior sit et ætate et auctoritate Antiochenus Annalium consarcinator, haudquaquam contemnendus esse videtur; quippe qui ex antiquioribus et melioris notæ scriptoribus sua fere semper hauriat: una cum Eutropii Metaphraste, licet agnoscere, eum Diodori, Dionis Cassii, Plutarchi, Herodiani, et inter recentiores, Eunapii, Malchi et Dexippi, vestigiis insistere. Hæc imprimis ad labentis imperii Romani historiam illustrandam utilia erunt; aliquoties etiam Suidæ, qui pauca e nostro eclogario descripsit, lucem addent. Nihil autem in Codice mutandum esse duxi, si obviores librarii errores excipias, quos passim correxi.

῾ΟΤΙ Δαβὶδ ὁ βασιλεὺς Ἱερουσαλὴμ ἕως μὲν ἦν τῶν νόμων φύλαξ, πάντας τοὺς πολεμίους ἐχειρώσατο· ὀλίγοις δέ τισι πταίσμασι τοῦ σώματος πιεσθεὶς, θείαις ἐπαιδεύετο μάστιξι. πρὸς γὰρ τῶν ἑαυτοῦ παίδων μικροῦ τῆς βασιλείας ἐξέπεσεν.

*Ὅτι Σεναχειρὶμ ὁ τῶν Ἀσσυρίων βασιλεὺς, ὑπὸ τοῦ ἰδίου παιδὸς ἀνῃρέθη*[1], *πρὸς Αἰθίοπας διαγωνιζόμενος.*

*Ὅτι ὁ βασιλεὺς Ἀγαμέμνων ἀποπλεύσας ἀπὸ τῆς Ἰλίου εἰς τὴν ἰδίαν πατρίδα, εὗρε τὴν ἑαυτοῦ γυναῖκα Κλυταιμνήστριαν ὑπὸ Αἰγίσθου μοιχευομένην. ἀκούσασα γὰρ αὕτη ὅτι τὴν Κασσάνδραν ἔλαβε ἐν τῇ Τροίᾳ*[2] *γυναῖκα· καὶ ἀφορμὴν εὑρηκυῖα*[3], *θάνατον κατασκευάζει σὺν τῷ Αἰγίσθῳ, τῷ ἑαυτῆς μοιχῷ, καὶ αὐτῷ γένους ὄντι βασιλικοῦ. ἐνδύσασα γὰρ τὸν ἄνδρα χιτῶνα πανταχόθεν ὑφασμένον, παρεσκεύασεν αὐτὸν ὑπὸ Αἰγίσθου σφαγῆναι· καὶ λαμβάνει τοῦτον ἄνδρα, καὶ ἔσχεν ἐξ αὐτοῦ θυγατέρα Ἡριγόνην.*

*Ταῦτα τοίνυν ἀκούσας ὁ Ὀρέστης, ὁ τοῦ Ἀγαμέμνονος υἱὸς, ἦλθεν ἀπὸ τοῦ σχοινέως, τοῦ θρέψαντος αὐτὸν, τοῦ πατρὸς τὸν θάνατον ἐκδικήσων. οἱ δὲ περὶ τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν ἐβουλεύοντο καὶ αὐτὸν ἀνελεῖν· ἀλλ᾽ ἡ τούτου ἀδελφὴ Ἠλέκτρα, ἐξεῖπεν αὐτῷ τὴν βουλήν· καὶ σὺν τῷ Στροφίῳ γενόμενος, καὶ τῷ υἱῷ αὐτοῦ Πυλάδῃ, συγγενῶν ὄντων τοῦ Ἀγαμέμνονος, παραγίνεται εἰς τὸ μαντεῖον· καὶ λαμβάνει χρησμὸν, ὅτι δεῖ αὐτὸν ἐκδικῆσαι τὸν θάνατον τοῦ πατρὸς, καὶ ἀνελεῖν τὸν Αἴγισθον καὶ τὴν αὐτοῦ μητέρα, καὶ τὴν βασιλείαν ἀναλαβεῖν τοῦ πατρός· ὅπερ πέπραχθεν, ἐπιλαβόμενος καιροῦ, καὶ ἐπελθὼν αὐτοῖς ἐν τῷ παλλατίῳ, ἀμφοτέρους κατασφάζει.*

*Κινήσεως οὖν κατ᾽ αὐτοῦ γενομένης ὑπό τε τοῦ πατρὸς Κλυταιμνήστρας καὶ τῶν συγγενῶν Αἰγίσθου, καὶ δίκης ἀγωνισθείσης παρὰ τῷ Ἀρείῳ πάγῳ, ψῆφον ἔλαβεν ὁ Ὀρέστης, δικαίως ἀνελεῖν τὴν μητέρα. τούτῳ τοίνυν τῷ τρόπῳ, διαφυγὼν τὰς κατηγορίας, βασιλεύει τοῦ Ἄργους· καὶ εἰς μανίαν ἐλθὼν μετὰ ταῦτα ἐπεδήμησε τῆς χώρας, ἐν ὅλοις τοῖς ἱεροῖς*[4] *θυσιάζων, καὶ δεόμενος ἀπαλλαγῆναι τῆς μανίας· ἄχρις οὗ*[5] *παραγέγονεν εἰς τὸ Σίλπιον ὄρος, ἐν ᾧ νῦν Ἀντιόχεια ἡ μεγάλη κεῖται· καὶ ἐκεῖ θεραπευθεὶς ἐπανῆλθε· καὶ παραγενόμενος ἐν Σκυθίᾳ πρὸς τὴν ἑαυτοῦ ἀδελφὴν Ἰφειγένειαν, ἱέρειαν οὖσαν τῆς Ἀρτέμιδος, καὶ προσάγουσαν τοὺς ξένους εἰς θυσίαν, λέγει τῷ Πυλάδῃ· “ἰδοὺ τοσούτων*

1 *ἀνερέθη* Cod. 2 *τρόᾳ* Cod. 3 *εἰρηκυῖα* Cod. 4 *ἱερεῖς* Cod.
5 *ἄχρισου* Cod.

“ ἐκφυγόντες κινδύνων, μέλλομεν εἰς θυσίαν προσάγεσθαι· πολλῶν “ γὰρ ἀνθρώπων ὁρῶμεν ἐνταῦθα ἐρριμένα ὀστέα.” ὁ δὲ πρὸς αὐτὸν ἔφη· “ ἄγωμεν εἰς τὸ ἱερὸν, καὶ ἐρωτήσωμεν εἰ ζῇ Ἰφιγένεια ἡ σὴ “ ἀδελφὴ, καὶ προσπίπτοντες αὐτῇ σωζώμεθα[5].” καὶ ποιήσαντες τοῦτο, καὶ γνωρισθέντες ὑπ᾽ αὐτῆς, ἔλαβον αὐτὴν σὺν τῷ ἀγάλματι τῷ χρυσῷ τῆς Ἀρτέμιδος· καὶ περιελθόντες γῆν πολλὴν ἐπανέρχονται εἰς Μυκήνας τὴν ἰδίαν πατρίδα· καὶ δίδωσι τὴν Ἠλέκτραν τὴν ἀδελφὴν πρὸς γάμον τῷ Πυλάδῃ. μαθὼν δὲ ὁ τῆς Σκυθίας βασιλεὺς, ἔπεμψε στρατιώτας πολλοὺς ἐπιδιώκοντας αὐτούς. οἱ δὲ κατὰ τὴν Παλαιστήνην ἐλθόντες, καὶ ἀρεσθέντες[6] τοῖς τόποις, ᾤκησαν ἐν αὐτῇ τὴν πρώην λεγομένην Νύσαν· Σκυθῶν μετονομάσαντες πόλιν.

Ὅτι Καμβύσης ὁ Περσῶν βασιλεὺς καθεῖλε τὰς Αἰγυπτίας θήκας[7], καὶ ταύτας εἰς ἔδαφος κατέσκαψεν· Ἄμασίς τε ὁ τῶν Αἰγυπτίων βασιλεὺς, ἅμα τῷ βίῳ καὶ τὴν βασιλείαν κατέτρεψεν, τοῦ ἔθνους τῶν Αἰγυπτίων τελεῖν ὑπὸ Πέρσας[8] ὁμολογήσαντος. ἐπὶ δὲ τὴν ἐνδοτέραν ἐλαύνειν προθυμούμενος, ὑπὸ τῆς εἱμαρμένης ἐκωλύθη, δολοφονηθεὶς ὑπὸ τῶν περὶ αὐτὸν Μάγων· βασιλεύσας ἔτη η΄. οὗτοι γὰρ μετὰ τὸν Καμβύσου θάνατον τῇ ἀρχῇ προσπηδήσαντες, μῆνας ϛ̄ κατετρύφησαν· ἄχρις οἱ τῶν Περσῶν ἄρχοντες, αὐτοὺς μὲν ἐπὶ τῆς αὐλῆς κατεχρήσαντο, τῆς δὲ βασιλείας προστάτην ἀπέδειξαν Δαρεῖον.

Ὅτι ἐπὶ τῆς ἀναγορεύσεως Ἀλεξάνδρου τοῦ Μακεδόνος, τῶν Αἰγυπτίων ἐβασίλευε Νεκταναβώ. καὶ ὁ τῶν Ἀργείων βασιλεὺς Δαναὸς διὰ τῶν αὐτοῦ Ν̄ θυγατέρων τοῖς τοῦ ἀδελφοῦ Αἰγύπτου παισὶν[9] οὖσιν ἐμηχανήσατο θάνατον, πλὴν Λυγκέως.

Ὅτι Ῥωμύλος βασιλεύσας Ῥωμαίων διετέλει εἰς μὲν τοὺς πολέμους διαπρέπων, εἰς δὲ τοὺς πολίτας ὑπερφρονῶν, καὶ μάλιστα εἰς τοὺς τῆς βουλῆς ἐξέχοντας. τοῖς μὲν γὰρ στρατευόμενοις[10] προσφιλὴς ἦν, καὶ χώρας αὐτοῖς νέμων, καὶ τῶν λαφύρων διδούς· πρὸς δὲ τὴν γερουσίαν οὐχ ὁμοίως διέκειτο· ὅθεν μισήσαντες αὐτὸν, καὶ περιέχοντες ἐν τῷ βουλευτηρίῳ, δημηγοροῦντα διεσπά-

[5] σωζόμεθα Cod. [6] ἀρεστέντες Cod. [7] an Θήβας leg.? [8] ὑποπίρσας Cod. [9] πεσῖν Cod. [10] στρατευόμενοι Cod.

ραξάν τε καὶ διέφθειραν· συνήρατο δὲ αὐτοῖς πρὸς τὸ λαθεῖν ζάλη μεγίστη τοῦ ἀέρος καὶ ἔκλειψις ἡλίου· ὅπερ ποῦ καὶ ὡς ἐγεννᾶτο γέγονεν. καὶ ὁ μὲν Ῥωμύλος αὐταρχήσας ζ̄ καὶ λ̄ ἔτη· τοιοῦτον ἔσχε τὸ τέλος.

Ἀφανισθέντος τε οὕτως αὐτοῦ, τὸ πλῆθος καὶ οἱ στρατιῶται μάλιστα ἐκεῖνον ἐζήτουν. αὐτοὶ δ' ἐν ἀπόρῳ ἦσαν· μήτε ἐξειπεῖν τὸ πραχθὲν ἔχοντες, μήτε βασιλέα καταστῆσαι δυνάμενοι. ταρασσομένων οὖν αὐτῶν, καί τι παρασκευαζομένων δρᾶσαι, Ἰούλιός τις Πρόκλος, ἀνὴρ ἱππεὺς στειλάμενος, ὡς καὶ ἑτέρωθεν πόθεν ἥκων, εἰσεπήδησεν ἐν τῷ μέσῳ, καὶ ἔφη· "μὴ λυπεῖσθε Κυρῖται· "ἐγὼ γὰρ αὐτὸς τὸν Ῥωμύλον εἰς τὸν οὐρανὸν ἀνιόντα εἶδον· καί "μοι ἔφη, εἰπεῖν τε ὑμῖν ὅτι ὡς ἐγένετο, καὶ ὅτι Κυίρινος[10] ὀνο-"μάζεται, καὶ προσπαραινέσθαι ὑμῖν βασιλέα τε πάντως εὐθὺς "ἑλέσθαι τινὰς, καὶ τούτῳ πολιτεύματι κεχρῆσθαι." λεχθέντων τούτων, ἅπαντες ἐπίστευσαν, καὶ τῆς ταραχῆς ἀπεπαύσαντο· εὐθέως τε ναὸν Κυιρινῷ ᾠκοδόμησαν, καὶ πᾶσι μὲν ἐδόκει βασιλεύεσθαι, οὐ μέντοι καὶ ὁμοφρόνουν· οἵτε γὰρ καταρχὰς Ῥωμαῖοι, καὶ οἱ ἐκ τῶν Σαβίνων προσοικισθέντες, ἑκατέροι ἐξ ἑαυτῶν βασιλέα γενέσθαι ἠξίουν· ἐκ τούτου τε ἀναρχία συνέβαινεν. ἐνιαυτὸν γοῦν ὅλον ἡ σύγκλητος τὸ κῦρος τῶν κοινῶν εἶχε πραγμάτων· πενθήμερον ἀρχὴν τοῖς ἐπιφανεστάτοις τῶν βουλευτῶν ἐκ διαδοχῆς κατανέμουσα, οὓς μεσοβασιλεῖς ὀνόμασθεν[11].

Ὅτι Πρίσκος[12] Ταρκύνιος ὁ τῆς Ῥώμης βασιλεὺς, τριακοστῷ καὶ ὀγδόῳ τῆς βασιλείας ἔτει, ὑπὸ τῶν Μαρκίου παίδων, τοῦ πρότερον δυναστεύσαντος τῆς Ῥώμης, ἀναιρεθεὶς, ὁμοῦ τε τῆς βασιλείας καὶ τοῦ βίου παύεται.

Ὅτι Σέρβιος Ταρκυίνιος ἐπὶ βιωφελεστάταις πράξεσι κοσμούμενος, τετάρτῳ καὶ τεσσαρακοστῷ τῆς ἀρχῆς ἔτει διαφθείρεται· δολοφονηθεὶς ὑπὸ Ταρκυνίου Σουπέρβου, συνοικοῦντος μὲν τῇ αὐτοῦ Σερβίου θυγατρὶ Τουλλίᾳ, ἕλκοντος δὲ τὸ γένος ἀπὸ Ταρκυνίου Πρίσκου, τοῦ πρὸ Σερβίου[13] βασιλεύσαντος· συνεφαψαμένης, ὥς φασι, τῆς γυναικὸς τοῦ μιάσματος, καὶ χεῖρας ἐναγεῖς τῷ τοῦ πατρὸς προσενεγκούσης φόνῳ.

[10] Κυίριος Cod. [11] ὠνόμασαν leg. cum Suid. qui ult. exscripsit v. μεσοβασιλεῖς. [12] Περίσκος Cod. [13] προσερβίου Cod.

Ὅτι Ταρκύνιος Σούπερβος ἤδη γέρων ὤν, ἐκπίπτει τῆς δυναστείας· πάλαι μὲν ἀδήλως διὰ τὸν τρόπον μισούμενος, τότε δὴ κινεύσαντος[14] τὸ πλῆθος ἐς φανερὰν ἀπόστασιν τῇ τοῦ ὁμωνύμου παιδὸς ἀκολασίᾳ. ὁ μὲν γὰρ ἔτυχεν τὴν Ἀρδεατῶν[15] περικαθήμενος πόλιν· καὶ πρὸς τοῖς ρ̄ σταδίοις τῆς Ῥώμης ἀπῳκισμένην[16]. Ταρκύνιος δὲ, ὁ τοῦ βασιλέως ὁμώνυμος, Λουκρητίαν γυναῖκα, γένους παρὰ Ῥωμαίους γνωριμωτάτου[17], Κολλατίνῳ συνοικοῦσαν, ἐμίανεν. ἐπανελθούσης, καὶ τῷ πατρὶ τῇτε λοιπῇ κατεμήνυσε συγγενείᾳ, τῷ τε ἀνδρί. ἐπαρασαμένη τε πολλὰ τοῖς ἀφ' αἵματος, εἰ τὴν συμφορὰν αὐτῆς καταλείποιεν[18] ἀτιμώρητον, σπασαμένη τὸ ξίφος, ὅπερ ὑπὸ τοῖς κόλποις ἀφανῶς ἔφερεν, ἑαυτὴν ἐν ὄψει τῶν παρόντων καρτειργάσατο. τοῦτο δὲ τούς τε ἄλλους εἰς ὀργὴν ἀνῆψεν, ἐλέῳ τῆς ἀνθρώπου· παρῆσαν γὰρ οὐκ ὀλίγοι Ῥωμαίων ἐπὶ θέαν[19] τοῦ πάθους· καὶ οὐχ ἥκιστα Βροῦτον, προσήκοντα μὲν κατὰ γένος ἐκείνῃ, ἄνδρα δὲ δημοτικόν τε καὶ μισοτύραννον· ὃς μάλιστα τὸ πλῆθος εἰς τὴν τῶν βασιλέων ἤγειρεν ἀπόστασιν. ἀφεῖλε τότε τῆς ἐξουσίας παντελῶς τὸν Ταρκύνιον. ἅμα γὰρ τῇ κατὰ τὴν πόλιν ἐπαναστάσει, καὶ ἡ πρὸς τὸν ἄνδρα[20] οὖσα στρατία τῶν Ῥωμαίων, ἀπολιποῦσα τὸν τύραννον ᾤχετο· οὐδὲν οὔτε ἀνακαλοῦντος, οὐδὲ μένειν δεομένου, πεφροντικυῖα. Ταρκύνιος δὲ τοῖς παροῦσιν ἀμηχανῶν, ἤλαυνεν ἐπὶ τὴν Ῥώμην, ὡς παύσων τῇ παρόδῳ τὴν ταραχὴν, καὶ τὴν δυναστείαν μετὰ πειθοῦς ἀναληψόμενος. ἀπεωσθεὶς[21] δὲ ὑπὸ τῶν πολιτῶν, ἀπεχώρει σὺν τοῖς οἰκείοις, βασιλεύσας ἔτη δ̄ πρὸς τοῖς κ. καθ' ὃν δὴ χρόνον ἡ πόλις ἀπελύθη τῆς τυραννίδος· ἑπτὰ μὲν δυναστῶν ἐφεξῆς ἀνασχομένη, τρεῖς δὲ καὶ μ̄ καὶ σ̄ κατὰ μοναρχίαν ἔτη πολιτευσαμένη. συνεσταλμένων αὐτῇ, τῶν τῆς ἀρχῆς ὅρων ἔτη· οὐπέρατε. σταδίων ρ, ἔνθα δὴ μήκιστον, ἐκτισμένων. ἐντεῦθεν ἐγένοντο β̄ κονσοῦλοι οὓς, οἱ Ἕλληνες ὑπάτους διὰ τὴν ὑπεροχὴν ἐκάλεσαν[22].

Ὅτι Δαρεῖος ὁ Περσῶν βασιλεὺς Ἀρσάμου παῖς, μέχρι τῆς κατὰ Βιθυνίαν[23] Χαλκηδόνος τὰς στρατιὰς προβιβάσας, ὑπὸ

[14] Leg. κινήσας. [15] ἄρδεα τῶν Cod. [16] ἀποκισμένην Cod. [17] γνωριμοτάτου Cod. [18] καταλείποι ἐν Cod. [19] ἐπιθέαν Cod. [20] Leg. Ἄρδεαν. [21] ἀπεσωσθεὶς Cod. [22] Hæc habet Suid. v. κονσοῦλοι. [23] βιθανίαν Cod.

πολλῶν τε βασιλέων δορυφορούμενος[22], καὶ μεγίσταις ἐντρυφῶν παρατάξεσιν, τὸν μὲν ὑπὸ Βαγόου[23] τοῦ προκοίτου θάνατον διαφυγὼν, αὐτόν τε τὸ προσφερόμενον πιεῖν ἀναγκάσας φάρμακον, παραχρῆμα διέφθειρεν. καὶ ὁ μὲν Βαγόας δίκας ὑποστὰς ὧν[24] περὶ τοὺς προτέρους ἥμαρτε βασιλέας, Ἀρσαμόν τε καὶ Ὦχον, ὑπὸ τοῦ ἰδίου φαρμάκου ἀναιρεῖται· ὁ δὲ Δαρεῖος ἓξ ἔτη πρὸς δυσὶ μησὶ δυναστεύσας, ἅμα τῷ βίῳ καὶ τὴν βασιλείαν κατέλυσεν.

Ὅτι ἐπὶ Δαρείου τοῦ βασιλέως Περσῶν, Φιλίππου τῆς Μακεδονίας βασιλεύοντος χρόνους ᾱ καὶ κ̄, πολλήν τε τῆς Ἑλλάδος καταστρεψαμένου μοῖραν, καὶ τοῦ τε πρὸς Ἀθηναίους καὶ τὸν στρατηγὸν Δημοσθένην ἐχομένου πολέμου, ἐκκοπεὶς πρότερον τὸν δεξιὸν ὀφθαλμὸν, ὑπὸ Παυσανίου τοῦ ὑπασπιστοῦ διαφθείρεται ἐν θεάτρῳ· κινήσεώς τε μεγίστης τῶν στρατιωτῶν ἐπὶ τῷ θανάτῳ τούτου γενομένης, ἔμεινεν ἡ ἀρχὴ τετραετίαν γυμνή.

Ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν, ὥς φησὶ Ἰωάννης ὁ Ἀντιοχεὺς, ἐπὶ τοσούτοις κατορθώμασιν, ὑπὸ Κασάνδρου τοῦ ἰδίου στρατηγοῦ φάρμακον δεξάμενος, τὸν βίον μετήλλαξεν.

Ὅτι ἕκτῳ τῆς ὑπατείας χρόνῳ μετὰ τὴν τῶν τυράννων ἐξέλασιν, Κασσίου[25] τε καὶ Σουλπικίου τὴν ἀρχὴν παραλαβόντων, ἐς πᾶν μὲν κινδύνου προῆλθεν ἡ πόλις· τοῦ δουλικοῦ πλήθους ὑπὸ τῶν τυράννων ἀναπεισθέντος ἐπιθέσθαι νύκτωρ τοῖς κεκτημένοις, καὶ διαφθεῖραι τοὺς ἄνδρας ἐν ταῖς εὐναῖς· ἐπειδ' ἂν αὐτοί τε προσάγωσι, καὶ οἱ συλλαβόμενοι σφίσι τῶν πολιτῶν τὰ ἐρυμνὰ καταλάβοιεν[26] τοῦ ἄστεως. οὐ μὴν ἀπέβη τι τούτων· Σουλπικίου τοῦ ὑπάτου σωφρόνως τούς θ' ἡγεμόνας τῆς ἐπιχειρήσεως συλλαβόντος, καὶ τὸ κεκινημένον τοῦ δημοτικοῦ κατασπάσαντος.

Ὅτι ἐνάτῳ τῆς ἐλευθερίας ἐνιαυτῷ, Ποπλίου[27] Καμινίου καὶ Τιτοῦ Λευκίου ὑπατευόντων, ἐπειδὴ Μαμήλιος[28] ἀνὴρ Λατῖνος μὲν τὸ γένος, καὶ μέγα παρὰ τοῖς ὁμοφύλοις[29] δυνάμενος, συνοικῶν δὲ τῶν Ταρκυνίων θυγατρῶν τῇ νεωτάτῃ, ἀναστήσας πανδημεὶ τὸ Λατίνων γένος, χεῖρά τε μισθοφόρον πολλὴν ἀγείρας, τιμωρεῖν τοῖς κηδεσταῖς, ἀτίμως παρεωσμένοις τῆς δυναστείας, ἠξίου. ἡ

[22] δωρυφορούμενος Cod. [23] Cf. Diod. Sic. l. xvii. §. 5. [24] ὃς Cod. [25] κασίου Cod. [26] καταλάβοι ἐν Cod. [27] πόπλου Cod. [28] Quæ seq. exscripsit Suidas in v. δικτάτωρ. [29] ὁμοφίλοις Cod.

*βουλὴ δὲ καταδείσασα τὸ πλῆθος τοῦ πολεμίου νέφους, καινὸν ἡγεμονίας ἀνευρίσκει[30] γένος, προχειρισαμένη τότε πρῶτον δικτάτορα.*

*Ὅτι καὶ κατὰ τὴν πόλιν ἐμφύλιος[31] ἀνεφλέγετο ταραχή. τοῦ δήμου πρὸς τὸ συνέδριον ἀπεχθῶς[32] ἔχειν ἠρεσθισμένου· ἀποστάντος δὲ σὺν ὅπλοις τῆς πόλεως, καὶ οὔτε συνοικεῖν ἔτι οὔτε κοινωνεῖν τῶν ἀγώνων[33] βουλομένου τοῖς εὐπατρίδαις, εἰ μὴ τῶν τ' ὀφλημάτων ἀπολυθείη, καὶ δικασταῖς χρῆσθαι τὸ ἐντεῦθεν οἰκείοις ἐπιτραπείη, ὡς ἐπικουρίαν τοῦ δημοτικοῦ τε καὶ εὐτελοῦς ὄχλου· οἳ τοῖς παρὰ τὸ προσῆκον ὑπὸ τῶν δυνατῶν κατειργομένοις ἀρήξοιεν, καὶ τῶν πολλῶν ἐλεύθερα διαφυλάξαιεν[34] τὰ σώματα. δείσαντες δὲ οὖν οἱ ἐν τέλει, μὴ ἐν τούτῳ τι πρὸς τῶν περιοίκων νεωτερισθείη[35], τοῦ δήμου πολεμίου τε ὄντος, καὶ πρὸς τὰς ἔξω στρατιὰς οὐχ ὑπακούοντος, τὰ ἐξαιτησόμενα[36] καὶ διαλλαγὰς ἐπὶ τούτοις εὑρίσκονται.*

*Ὅτι* Ποπλίου *αὖθις καὶ* Βαλερίου *τὴν ἀρχὴν διαδεξαμένων, ἥτε κατὰ πόλιν ἐμφύλιος ἀνάπτεται ζάλη, τοῦ δήμου πρὸς τοὺς* Πατρικίους *στασιάζοντος. καὶ πρῶτον μὲν* Καίσωνα *τὸν ἀπὸ περιπλεξάμενος εἰς οἶκτον τοὺς ὁρῶντας συνήλασεν· ἔπειτα καὶ* Σαβῖνοι[37] Σερδώνιον *πρὸς τυραννίδα ἐκίνησαν, ὃς ταχείας ἔτυχε καθαιρέσεως· θεραπευθέντος τοῦ δήμου, καὶ τοῖς ὑπάτοις συμπράξαντος[38].*

*Ὅτι κατὰ τὸν χρόνον ὅτε* Ἀννίβας *ἐπολέμει τοῖς* Ῥωμαίοις, Ἀντίοχος *ὁ τῆς* Συρίας *βασιλεὺς, ὑπὸ* Πτολεμαίου *τοῦ* Αἰγυπτίων *ἄρχοντος πολεμούμενος,* Ξέρξῃ *τῷ* Ἀρμενίων *τυράννῳ τὴν ἑαυτοῦ ἀδελφὴν συνοικήσας· ἐκεῖνος μὲν διὰ τῆς ἀδελφῆς διεχρήσατο, τὴν δὲ* Περσῶν *βασιλείαν αὖθις ἀνεκτήσατο.*

*Ὅτι* Πτολεμαίου Ἀγαθόκλειαν *τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλόντος, καὶ μιᾷ τινὶ τῶν ἑταιρίδων συναφθέντος· εἶτα τελευτήσαντος* Πτολεμαίου, *ἡ* Ἀγαθόκλεια Ἀρσινόην *διαφθείρει δόλῳ· καὶ ταύτης σὺν τοῖς[39] βασιλείοις διαφθαρείσης, πολλῆς τε ταραχῆς ἐντεῦθεν* Αἰγυπτίοις *ἀναφθείσης, ὅ τε τῆς* Συρίας *βασιλεὺς* Σέλευ-

[30] ἀ εὑρίσκει Cod. [31] ἐμφίλιος Cod. [32] ἀπεχθὸς Cod. [33] ἀγόνων Cod. [34] διαφυλάξαι ἐν Cod. [35] νεωρισθείη Cod. [36] Verbum aliquod excidit. [37] ΣαβίνουCod. [38] συπράξαντος Cod. [39] τῆς Cod.

κος, καὶ τῆς Μακεδονίας Φίλιππος, ἐλπίδι τοῦ κρατήσειν τῆς χώρας σὺν προθυμίᾳ στρατεύουσιν· οὓς δὴ Ῥωμαῖοι φθάσαντες τῆς ἐγχειρήσεως, τὴν τῶν Αἰγυπτίων ἐμφύλιον ἀπέσβεσαν ἐπανάστασιν, Πτολεμαῖον τὸν Ἐπιφανῆ αὐτοκράτορα τοῦ ἔθνους ἀποδείξαντες· Προυσίου[39] τότε τῶν Βιθυνῶν βασιλεύσαντος.

Ὅτι Ἀντιόχου, οὗ ἐπώνυμός ἐστι πόλις παρὰ Ἀσσυρίοις, υἱὸς Σέλευκος, καὶ Ἀντίοχος, ὁ ἐπικληθεὶς Θεός· ἀλλ' ὁ μὲν Σέλευκος, ἐπιβουλεύειν ὑποπτευθεὶς τῷ πατρὶ κατακτείνεται.

Ὅτι Δημήτριος[40] υἱὸς ἦν Φιλίππου τοῦ Μακεδόνων βασιλέως, ὃν οἱ Ῥωμαῖοι ὅμηρον ἔσχον· συμμαχήσαντος δὲ Φιλίππου τοῖς Ῥωμαίοις, τοῦτον ἀμειβόμενοι τῆς ἐννοίας, ἀφίασι τὸν παῖδα τῆς ὁμηρείας. ἐπανελθόντα δὲ τὸν Δημήτριον[41] ἐκποδὼν ὁ Φίλιππος ἐποιήσατο· πρῶτος τῶν ἀπὸ τοῦδε τοῦ γένους μιαιφονήσας ἐς τοὺς οἰκείους.

Ὅτι Ἀντίοχος, ὁ τῆς Συρίας βασιλεὺς, τοῦ Σελεύκου τοῦ ἀδελφοῦ παῖδα ὑποτόπησας διέφθειρεν· ἑτέροις τὸν τούτου φόνον ἐπανεγκὼν, οὓς δὴ καὶ διὰ φόβον διεχρήσατο· αὖθίς τε πρὸς Πτολεμαῖον στρατεύει, ἀναπαλαίειν ταῖς συνθήκαις ἐπιχειροῦντα. καὶ πολεμήσας αὐτῷ κατὰ τὸ Πηλούσιον, κρατήσας τε παντελῶς τοῖς ὅπλοις, φυγεῖν ἐπὶ τὴν Ἀλεξάνδρειαν ἠνάγκασεν.

Καὶ ὁ μὲν Πτολεμαῖος οὐ προσδεχθεὶς ὑπὸ τῶν Αἰγυπτίων, προσφεύγει τῷ γαμβρῷ Ἀντιόχῳ· ὁ δὲ τοῦτον πάλιν εἰς τὴν βασιλείαν ἀποκαθίστησιν· ἐκεῖθέν τε κατὰ Ἰουδαίων ὁρμήσας, αἱρεῖ μὲν αὐτῶν τὸ[42] ἄστυ, καὶ τοὺς θησαυροὺς ἅπαντας, καὶ τὰ ἱερὰ σκεύη, καὶ τοὺς ναοὺς συλήσας, συνέχεε τὰ τοῦ ἔθνους νόμιμα, δειναῖς τε τιμωρίαις τοὺς ἄνδρας ὑποβαλὼν, ἑλληνίζειν ἠνάγκαζε· τόν τε πάτριον αὐτῶν ἀφελόμενος κόσμον, Διὸς Ὀλυμπίου ἀνέστησεν ἄγαλμα· ἐντεῦθέν τε ὡς ἐπὶ τὴν Σαμάριαν ἀνῆλθε, καὶ Διὸς ξενίου τέμενος ᾠκοδόμησεν. καὶ Ματθίας Ἀσαμωνίου παῖς, τὴν ἱερατείαν παρείληφεν ἐν Ἱερουσαλὴμ, καὶ τοῖς Ἀντιόχου στρατηγοῖς διεχρήσατο. ἀλλ' ὁ μὲν ἀπὸ Σαμαρίας οἴκων, αὐτόν τε τὸν Ματθίαν ἀναιρεῖ, καὶ τοὺς λεγομένους Μακκαβαίους κολάζει, τό τε ἱερὸν χοιρείοις αἵμασι βεβηλοῖ, καὶ στρατηγοὺς ἰδίους

39 ρουσίου Cod. 40 δημίτριος Cod. 41 δημίτριον Cod. 42 αὐτῷ τῷ Cod.

ἄρχειν τοῦ ἔθνους καθίστησιν. αὐτός τε ἐπὶ τὴν Συρίαν ἀνελθὼν, μεταλλάτει τὸν βίον[43]· Ἀντιόχου τοῦ Εὐπάτορος τὴν ἀρχὴν διαδεξαμένου.

Ἐπειδὴ δὲ Δημίτριος Ἀντιόχου τοῦ Ἐπιφανοῦς υἱὸς παρὰ Ῥωμαίοις ὁμηρεύων, τὸν τοῦ πατρὸς ἐπύθετο θάνατον, καὶ τὴν βασιλείαν πρὸς τοῦ Εὐπάτορος ἁρπαγεῖσαν, ἱκετεύσας τὴν βουλὴν, καὶ πολλῆς ἐπικουρίας τυχὼν, ἐπὶ τὴν Συρίαν ἐπανέρχεται. καὶ κατακτείνει μὲν τὸν Εὐπάτορα δύω ἔτεσιν ἐπιτρυφήσαντα, ἀναλαμβάνει τὴν βασιλείαν, καὶ σύμμαχος τοῦ Ῥωμαίων γένους κληθεὶς, βεβαίας ἀπήλαυσε τῆς ἡγεμονίας. ἐνιαυτοὺς δὲ β̅ πρὸς τοῖς δέκα βιώσας, ὑπ᾽ Ἀλεξάνδρου δολοφονεῖται, τοῦ καὶ τὴν ἀρχὴν διαδεξαμένου.

Ὅτι κατὰ τὴν Ἰβηρίαν Βορίανθος[44] ἦν ἀνὴρ ἀφανὴς τὸ γένος, εὐτελής τε τὴν ἐπιτήδευσιν, οὐδὲν ὅτι μὴ ποιμὴν τὸ κατ᾽ ἀρχάς· οὗτος μετὰ ταῦτα λῃστρικοῦ τινος ἡγήσατο τάγματος· τελευταῖον τοσαύτην περιεβάλετο δύναμιν, καὶ τοσαῦτα κοινωνῆσαί οἱ τῆς ἐπιχειρήσεως[45] ἀνέπεισε γένη, ὡς ἀξιόμαχος νομισθῆναι Ῥωμαίοις, ἱκανός τε πρὸς τὴν ἀρχαίαν καὶ πάτριον τοὺς Ἴβηρας ἐπαναγαγεῖν πολιτείαν. πρῶτος γοῦν Κύντος Κικίλιος Μέτελλος ἐπὶ τόνδε τὸν πόλεμον στρατηγὸς ἐκπέμπεται, ἄριστα καὶ τῆς Ῥωμαίων δυνάμεως ἀξίως τοῖς ἀποστᾶσι Κελτιβήρων προσεπολέμησε. μηκυνομένου δὲ παρ᾽ ἐλπίδα τοῦ πολέμου Κόϊντος Πομπήϊος, αὖθις στρατηγὸς ἐξέπλει, μεθ᾽ ὃν Κύντος Σκηπίων ἐπὶ τὸν αὐτὸν ἐξεπέμφθη πόλεμον. ὧν μάλιστα πάντων ἕνεκα δείσαντες οἱ[46] βάρβαροι, κτείνουσι τὸν Βορίανθον, τέσσαρα καὶ δέκα Ῥωμαίοις ἔτη ἐναντίως πολεμήσαντα· ταύτῃ προσάγεσθαι τὸν ἡγούμενον τῆς Ῥωμαϊκῆς στρατιᾶς εἰς εὔνοιαν αὐτῶν καὶ φειδὼ λογισάμενοι. καὶ δὴ ἀφικόμενοι τῶν αὐθεντῶν τοῦ Βοριάνθου τινες· ἆθλα τῶν περὶ τὸν ἄνδρα πεπραγμένων ἠξίουν παρὰ τοῦ ὑπάτου κομίζεσθαι. οἷς ὁ Σκηπίων ἀποκρίνεται, μηδαμῶς εἶναι Ῥωμαίοις ἔννομον ἐπαινεῖσθαι τὰς κατὰ τῶν στρατηγῶν τοῖς ἀρχομένοις ἐπιχειρουμένας ἐπιβουλάς.

Ὅτι ἐπὶ ὑπάτων Γαΐου Κεκιλίου Μετέλλου, καὶ Γναίου Κάρ-

χει

43 αἰον Cod. 44 μορίανθος Cod. 45 ἐπερήσεως Cod. 46 Quæ seq. exscripsit Suidas v. Βορίανθος.

κων[45], ἐπὶ τῆς ρξζ Ὀλυμπιάδος ὁ δουλικὸς πόλεμος ἐγένετο ἐν Σικελίᾳ. οἱ γὰρ ταύτην νεμόμενοι τὴν χώραν, πολλῇ τῶν ἐπιτηδείων ἐντρυφῶντες δαψιλείᾳ, οὐ σταθμητὸν ἐκτήσαντο δούλιον πλῆθος· πρός γε τὰς τῶν ἀγρῶν ἐξασκοῦντες αὐτοὶ τριβὰς, καὶ πρός γε τῇ πανοπλίᾳ γυμνάζοντες, οὐ μόνον τοὺς περιοίκους ἐληΐζοντο, ἀλλὰ καὶ τοῖς διοδευομένοις ξένοις ἐπαφιέντες τούτους, τῶν ἐπιφερομένων αὐτοὺς ἀφῃροῦντο φορτίων. καὶ τοῖς μὲν δραπέταις οὐδὲν τῆς λείας παρεῖχον, αὐτοὶ δὲ πολλῶν γεγενημένοι κύριοι χρημάτων, ἐκράτουν μανικῶς ἁπάσης τῆς Λιβύης. οἱ γοῦν δραπέται τῇ σπάνει τῶν ἀναγκαίων βεβιασμένοι, τῇ τε τῶν ὅπλων θαρροῦντες ἀσκήσει, καὶ τῇ καθαρᾷ συνελαυνόμενοι δίκῃ, ἐπὶ τοὺς αὐθέντας τῶν δεινῶν μεταβάλλουσι τὰς χεῖρας, σύνθημα νυκτερινὸν ἐπαγγείλαντες παντὶ τῷ δουλικῷ πλήθει· Εὔνουν τέ τινα λεγόμενον δραπέτην, φύσει τε μιαρὸν καὶ πανοῦργον, καὶ τῆς μυσαρᾶς μιαιφονίας αὐθέντην ἀποδεικνύντες.

Ἐπειδὴ δὲ οὗτος τῆς νυκτερικῆς ἐκείνης μανίας βασιλεὺς ὠνομάσθη, συνεσκεύαζε[46] τὰς ἀρχὰς δορυφόρους τε πλείστους, καὶ τῶν δραμάτων ἄρχοντας ἀπεδείκνυ. καὶ πάλαι μὲν τοῖς ἑαυτοῦ δεσπόταις ταῦτα τερατευόμενος ἐπήγγελτο· ἐπειδὴ δὲ τῆς ὀλεθρίας ἐπελάβετο δυναστείας, μυριάδας τὲ πλείους ἢ τεσσαράκοντα συναθροίσας, ἐν αὐτοῖς τοῖς οἴκοις ἀναιρεῖ τοὺς δεσπότας· τοὺς μὲν αἰκίας ὑποβάλλων, τοὺς δὲ καὶ κατὰ τῶν ῥευμάτων ἀκοντίζων, ἑτέρους δὲ τῶν κεφαλῶν ζημιῶν διετίθει· γυναικῶν δὲ, ὅσαι μὲν ἐν παρθενίᾳ ὑπῆρχον, συνηρπάζοντο δουλεύειν τοῖς δραπέταις ἠναγκασμέναι. ὥστε[47] δὲ τὸ πρὶν ἤδη τοῖς ἀνδράσι συνῴκουν, πρὸς βίαν ᾐσχύνοντο. τοῦ δὲ πάθους καὶ ταῖς ἄλλαις πόλεσιν ἐπιδημοῦντος, μέλλοντός τε καὶ ἐπ' αὐτῇ ἐπιφοιτᾶν τῇ Ῥώμῃ, Πόπλιος Σκιπίων κατ' αὐτῶν στρατεύσας, τούτων τοὺς μὲν ἀναιρεῖ, τοὺς δὲ ὑπὸ ζυγὸν τίθησιν.

Ὅτι μετὰ τὴν τῶν ἀποστατῶν δούλων καθαίρεσιν, Σκιπίων Ἀφρικανὸς κατὰ τὸ βουλευτήριον Τιβέριον Γράκχον[48], ἄνδρα τῶν ἐν τέλει στρατηγῶν, νεωτέρων ἁπτόμενον, καὶ τὸν δῆμον ἀνασείοντα, ξύλῳ παίσας κατέκτανεν.

45 an Κάρβωνος. 46 συνεσκίαζε Cod. 47 Leg. ὅσαι. 48 Βάκχον Cod.

Ὅτι ἐν τούτῳ τῷ χρόνῳ, ἐπαναστάντος τοῦ δήμου, Σκιπίων Ἀφρικανὸς φυγὰς τῆς πόλεως γίνεται, ζημιοῦται δὲ καὶ τὴν ἑαυτοῦ γυναῖκα σὺν παρθένῳ παιδὶ, καὶ τῆς οἰκίας ἅμα τοῖς ὑπάρχουσιν ἀποστερεῖται. τὰ μὲν γὰρ πυρὶ κατεφλέχθη, τὰ δὲ ὑπὸ τοῦ δήμου διηρπάγη τε καὶ ἀνῃρέθη· ὡς δόγματι τῆς βουλῆς μετὰ ταῦτα ἐκ τοῦ δημοσίου μοίραν οὐ μικρὰν τῷ ἀνδρὶ ἐπιδοθῆναι.

Ὅτι Ποπλίου Σκιπίωνος, ἐπίκλησιν Νάσικα[49], καὶ Καλαβιστίου[50] ὑπατευόντων, αὖθις ἐς τὴν Λιβύην ἐπεραιοῦντο Ῥωμαῖοι, ἐναντία Ἰουγούρθα τῷ Νουμίδων δυνάστῃ πολεμίσοντες. αἰτία δὲ τῆς πρὸς τὸν ἄνδρα διαφορᾶς τοιάδέ τις ἦν. Μασσανάσης ἐγεγόνει κατὰ τοὺς ἄνω χρόνους βασιλεὺς τῆς Νουμιδίας, Ῥωμαίοις γεγονὼς πιστὸς σύμμαχος. τούτῳ παῖδες γίνονται, ΜασθαναβαλλόςΜασθαναβαλλός τε καὶ Γολούσσας, καὶ τρίτος Μιψίχας. τελευτησάντων δὲ τῶν ἑτέρων νέων ἔτι, Μιψίχας χρόνοις ὕστερον τὴν βασιλείαν ἐκδέχεται· γενομένοις δὲ ἀφ' ἑαυτοῦ δύο παισὶ Ἀδερβάλλῳ τε καὶ Ἐμψάδῳ, τὸ τῆς Νουμιδίας παραπέμπει τούτῳ κράτος, συνάρχοντα τοῖς ἑαυτοῦ παισὶν ἀποφήνας τουτονὶ τὸν Ἰουγούρθαν, Μασθαναβάλλου μὲν τοῦ ἀδελφοῦ παῖδα τυγχάνοντα, τεχθέντα δὲ ἐκ παλλακίδος.

Ὁ δὲ Ἰουγούρθας, τοῦ θείου μεταστάντος, οὐκ ἀγαπήσας τὴν οἰκείαν τῆς βασιλείας μοῖραν, ἐπιβουλεύει τοῖς περὶ τὸν Ἀδέρβαλλον, ἅμα τῷ παπῴῳ καὶ πατρῴῳ κλήρῳ· καὶ τὴν πρὸς Ῥωμαίους εὔνοιάν τε καὶ φιλίαν διαδεξάμενος, καὶ διαφθείρας τοὺς ἄνδρας, αὐτὸς ἁπάσης παρανόμως ἐκράτει τῆς Νουμιδίας. ἐδόκει δὴ οὖν τῷ δήμῳ, μὴ περιορᾶν ἀνδρῶν καθεν φίλων τε καὶ συμμάχων συμφορὰν, ἀλλ' ἀμύνειν πάσῃ δυνάμει· καὶ δὴ στρατεύειν ἐπ' αὐτὸν ἅτερος τῶν ὑπάτων Βιστίας[52] προστάττεται· ὃς τοῖς δώροις τοῦ Ἰουγούρθου διαφθαρεὶς, εἰς διαλλαγὰς αἰσχράς τε καὶ τῆς Ῥωμαίων δυνάμεως ἀναξίας ἀφίκετο. Ταύτας οὖν διαλύσαν, καὶ ἀκύρους εἶναι ψηφισάμενον τὸ συνέδριον, ἀπαλλάττει τῆς ἀρχῆς

49 ασικα Cod. 50 Sallust. Jug. c. 27. Consules declarati P. Scipio Nasica, L. Bestia Calpurnius. 51 δηϊγούρθας Cod. 52 . . . τιας Cod.

τὸν Βιστίαν, ἡγεμόνα δὲ τῷ κατόπιν ἐνιαυτῷ τοῦδε τοῦ πολέμου Σπόριον Ποστούμιον Ἀλβίνον[53] ἀποδείκνυσιν. ἐπειδὴ δὲ καὶ οὗτος ἀμαθῶς τε καὶ λίαν ἀσθενῶς διὰ τοῦ ἀδελφοῦ τοῖς ἐναντίοις προσεπολέμησεν, ἥττων τῶν βασιλικῶν χρημάτων γενόμενος, τρίτον Κοΐντον[54] Κεκίλιον Μέτελλον τὸν ὕπατον ἐπὶ τὸν αὐτὸν τοῦτον ἐκπέμπει πόλεμον.

Ὃς ἀφικόμενος, τὴν μὲν στρατιὰν διεφθαρμένην ὑπὸ τῆς κακίας τῶν ἔμπροσθεν ἡγησαμένων, φρονήματι γενναίῳ καὶ μετρίᾳ τῶν ἁμαρτανομένων ἐπανορθώσει πρὸς τὸν Ῥωμαϊκὸν ἐπανήγαγε κόσμον, οὐδὲν ἀπηνὲς οὐδὲ πικρὸν ἐς οὐδένα τῶν ὑπηκόων εἰγασμένος· τὸν δὲ Ἰουγούρθαν συχναῖς ἐταπείνωσε μάχαις· πόλεις τῶν Νουμίδων πολλὰς κατὰ κράτος ἐξελὼν, καὶ τῶν ἐλεφάντων τοὺς μὲν διαφθείρας, τοὺς δὲ ζῶντας χειρωσάμενος.

Οὐ πόρρω γοῦν ἀπέχων τοῦ τέλους τῶν πραττομένων, παρελύθη τῆς ἀρχῆς, Γαΐου Μαρίου τὴν ἀρχὴν διαδεξαμένου. παραλαβὼν δὲ τὰς δυνάμεις ὁ Μάριος, κρατεῖ μὲν ἀντιταξαμένων τῶν περὶ τὸν Ἰουγούρθαν τὸν βασιλέα τῶν Μαυρουσίων, πόλεις δὲ καὶ οὗτος τινὰς τῶν Νουμίδων καθελὼν, ὡς πέρας εὐτυχὲς δι' ὀλίγου τοῦ παντὸς ἀγῶνος ἀφίκετο, ἔχων ὑπὸ χεῖρα τὸν βασιλέα τῶν ἐναντίων· προδοθέντα μὲν ὑπὸ Βόκχου τοῦ Μαυρουσίου συμμάχου τοῖς ἐναντίοις, ἀχθέντα δὲ αἰχμάλωτον ὑπὸ Κορνηλίου Σύλλου, ἀνδρὸς μεγάλου τε καὶ γενναίου τὰ πολεμικά.

Ὁ γάρ τοι Βόκχος τιθασσευθεὶς ὑπὸ τοῦ Σύλλου, καὶ φιλοφροσύνῃ λόγου πρὸς εὔνοιαν ὑπαχθεὶς, τὸν μὲν Ἰουγούρθαν καταφυγόντα μετὰ τὴν ἧτταν ὡς αὐτὸν, καίτοι γαμβρὸν ὄντα, σὺν ὀλίγοις στρατιώταις ἀφικόμενος τῷ Σύλλᾳ δίδωσιν ἄγειν, αὐτὸς δὲ τὰ Ῥωμαίων εἵλετο. οὕτως ἄρα λόγος μέτριος καὶ φιλοφροσύνη μείζονα πολλάκις τῶν ὅπλων καὶ τῶν πολυανθρώπων καθώρθωσε στρατοπέδων.

Ὁ γοῦν Σύλλας ἐπὶ τούτων μεγαλαυχούμενος, καὶ πᾶν τὸ πραχθὲν περὶ τὸν Ἰουγούρθαν οἰκειούμενος, ἐς τοῦτο προῆλθε φιλοτιμίας, ὡς ἐντυπῶσαι δακτυλίῳ τὴν εἰκόνα τῆς πράξεως· ἐνεγέγλυπτο γὰρ ὁ μὲν Βόκχος παραδιδοὺς, ὁ δὲ Σύλλας τὸν Ἰουγούρ-

[53] ἀλκινον Cod. [54] καύτον Cod.

θαν παραλαμβάνων· ἐφ' ᾧ δὴ χαλεπαίνειν αὐτῷ καὶ φθονεῖν ἀδήλως ὁ Μάριος ἤρξατο.

Ὅτι Τρύφων τὸν βασιλέα Συρίας Ἀντίοχον, οὗ μικρὸν πρόσθεν σύμμαχος ἐγεγόνει, διεχρήσατο δόλῳ· αὐτός τε τὴν ἀρχὴν διαδεξάμενος, αὐτίκα ὑπὸ τῶν Σύρων διαφθείρεται. κρατεῖ δὲ τῆς ἡγεμονίας Ἀντίοχος ὁ Σιδήτης, Δημητρίου μὲν παῖς τοῦ προτέρου γεγονὼς, ἀδελφὸς δὲ τοῦ δευτέρου Δημητρίου.

Ὅτι Ἀντίοχος ὁ Σιδήτης ἐπίκλην, ὁ τὴν Ἱερουσαλὴμ πορθήσας, Συρίας βασιλεὺς, Ἀρσάκῃ τῶν[55] Παρθυαίων δυνάστῃ προσπολεμήσας, ἀναιρεῖται, ἐνάτῳ τῆς βασιλείας ἐνιαυτῷ. Σέλευκος δὲ ἐπὶ τούτῳ τὴν ἀρχὴν διαδέχεται. ἀλλ' ὁ μὲν ὑπὸ Δημητρίου αὖθις ἐπανελθόντος καθαιρεῖται τῆς ἐξουσίας, καταφεύγει τε πρὸς τὸν Παρθυαῖον, καὶ τὴν αὐτοῦ θυγατέρα λαβὼν, μένει κατὰ τὴν χώραν.

Σκυθῶν δὲ τότε τὴν μέσην τῶν ποταμῶν ἐπιτρεχόντων, καὶ τὴν Ἀρσάκου βασιλείαν ληϊζομένων, αὐτός τε ὁ Παρθυαῖος κατὰ τὸν πόλεμον ἀναιρεῖται, καὶ ὁ μετὰ τοῦτον τὴν ἡγεμονίαν παρειληφὼς, ὑπόφορος γίνεται Σκύθαις. Ἀλέξανδρος δὲ ὁ πρεσβύτερος, ἐκ τῆς Ἀραβίας ἥκων, πολύ τε πλῆθος ἀκοντιστῶν ἐπαγόμενος, Δημητρίῳ κατὰ τὴν Συρίαν ἐπολέμει. ἐπὶ πολύ τε αὐτοῖς τῆς μάχης ἐκτεινομένης φεύγει Δημήτριος εἰς Τύρον, καὶ συλληφθεὶς ἀναιρεῖται, ἔτη δ̄ τῆς ἀρχῆς ἀπολαύσας. συνδιαφθείρεται δὲ τούτῳ κατὰ τὴν Δαμασκὸν καὶ ὁ παῖς Σέλευκος, ὑπὸ τῆς ἑαυτοῦ μητρὸς δολοφονηθεὶς Ἀπάμης.

Ὅτι Μιθριδάτης ὁ τοῦ Πόντου βασιλεὺς χαλεπὸς ὢν καὶ τραχὺς, καταστασιασθεὶς ὑπὸ τοῦ παιδὸς Φαρνάκου παρὰ τοῖς οἰκείοις στρατιώταις, πρός τε θάνατον ἀναγκαῖον συνελασθεὶς, φάρμακον δηλητήριον ἐκπιὼν, τελευτᾷ περὶ τὸν Βόσπορον.

Ὅτι Κάσσιος ὁ ταμίας πρῶτος τὸν τοῦ Καίσαρος φόνον ἐπὶ νοῦν ἐβάλλετο, τοὺς περὶ Βροῦτον εἰς τὴν τοῦ ἔργου κοινωνίαν προελόμενος· μετὰ δὲ τὴν τοῦ Κράσσου συμφορὰν, ὁ πολιτικὸς διεδέξατο πόλεμος, ἐπάρατός τε καὶ πολλῶν δακρύων γεγονὼς αἴτιος.

Οτι δὴ πρὸς ταῖς ἄλλαις ταῖς κατ' αὐτὸν συμβεβηκυίαις

[55] τῷς.

συμφοραῖς, καὶ ἡ τύχη τοῦ δήμου τοῦ Ῥωμαίων, ἐκ τοῦ ἡγεμονικοῦ μετέστη πρὸς τὸ ὑπήκοον. Γάϊος δὴ Καῖσαρ ἀναστρέφων ἐκ τῆς Γαλατίας, πολλῶν τε καὶ ἀλκίμων ἐθνῶν νικητὴς, ὑπατείαν ἐπήγγειλεν· ἀναμφιλόγως οἱ διὰ τῶν πεπραγμένων προσθήσεσθαι ταύτην ὑπολαμβάνων. ἀντειπόντων δὲ τῇ ἐξαιτήσει, Μαρκέλλου τε τοῦ ὑπάτου, καὶ Βιβούλου, ἔτι τε Πομπηΐου, καὶ τοῦ φιλοσόφου Κάτωνος, ἐπανιέναι πρὸς τὴν πόλιν, τὰς δυνάμεις διαφεὶς παρατάττεται. οἱ δὲ οὐκ ὑπατείαν, ἀλλὰ θριάμβου καταγωγὴν αἰτοῦντι τῷ Καίσαρι, ἐναντιωθῆναι τοὺς περὶ τὸν Πομπήϊον· οἱ δὲ προσθήκην τινὰ τοῦ ὡρισμένου χρόνου λαβεῖν βουλόμενοι, ἐπὶ τῷ πάντας ὁμοῦ τοὺς βαρβάρους καταγωνίσασθαι· οὐ προσδεχθῆναι μὲν ἀπὸ τῆς συγκλήτου βουλῆς· Κουρίωνος δὲ τοῦ κατ' ἐκεῖνο δημαρχοῦντος, μόνου ψηφισαμένου, διαλύει μὲν τὸν πρὸς τοὺς βαρβάρους πόλεμον ὁ Καῖσαρ, θυμωθεὶς δὲ, πολέμια κατὰ τῆς βουλῆς φρονεῖν ἤρξατο.

Ἄρα δὲ ἐξ Ἀριμηνοῦ πόλεως, οὗ τὰς δυνάμεις εἶχεν ἠθροισμένας, συντεταγμένην ἐπῆγε τῇ πόλει τὴν στρατιάν. οἱ δὲ ὕπατοι καὶ ὁ Πομπήϊος ἅμα τῇ βουλῇ καὶ παντὶ τῶν ἀστῶν γνωριμωτέρῳ, καταδείσαντες τὴν τοῦ Καίσαρος ὁρμὴν, τὴν μὲν πόλιν ἐκλείπουσιν, ἐς δὲ τὴν Μακεδονίαν καὶ τὴν ἤπειρον φεύγοντες ᾤχοντο.

Καὶ ὁ μὲν Πομπήϊος σὺν τοῖς ἀπὸ τῆς βουλῆς ἐνταῦθα δυνάμεις ἤθροιζε, καὶ τὰ πρὸς τὸν πόλεμον ἐξηρτύετο. Καῖσαρ δὲ παρελθὼν εἰς τὴν Ῥώμην, οὐδενὸς ἐναντιουμένου, καὶ ἀποδείξας ἑαυτὸν δικτάτορα, τούς τε δημοσίους θησαυροὺς ἀναρρήξας, εἰς τοὺς στρατιώτας ἐκένωσεν. καὶ εὐθέως πρὸς τὰς ἐν Ἰβηρίᾳ δυνάμεις τοῦ Πομπηΐου τρέπεται, ὡς μηδεὶς ὑπολείποιτο κατὰ νώτου πολέμιος.

Ἐπειδὴ γὰρ ὁ Πομπήϊος ἔγνω προκατειλῆφθαι τὰ ἐν Ἰβηρίᾳ, ἐπὶ τὸ Βρεττήσιον[56] στρατοπεδεύσας, ἐς χεῖρας τῷ Καίσαρι γίνεται. διαμαρτήσας δὲ τῆς ἐλπίδος, αὖθις ἐπὶ τὰ Δυρράχιον καταφεύγει, πολύν τε διατρίψας χρόνον, ἅπαντα τὰ τοῦ πολέμου παρεσκευάζετο, καίτοι πρὸς μικρὸν ἀναβαλλόμενος ἐπεξελθεῖν τῷ πολέμῳ ἕνεκεν σημείων τινῶν.

[56] βριττήσιον Cod.

Αἱ μὲν οὖν Ῥωμαίων δυνάμεις μετέωροι πρὸς τὴν κατ' ἀλλήλων διάκειντο μάχην· ἥτε σύγκλητος τὰ δίκαια τῆς Ῥώμης κατὰ τὴν Θετταλονικὴν μεταγαγοῦσα, προσεκάθη τῶν πραττομένων· αὐτός τε Καῖσαρ καὶ Πομπήϊος διὰ τῶν ὅπλων ἐκρίνοντο. τρεῖς δ' οὖν στρατειὰς ἐνταῦθα καὶ μεγάλας Καῖσαρ καταγωνισάμενος, ὑφ' ἡγεμόνας ταττομένας Λουκίῳ[57] τε Ἀφρανίῳ[58] καὶ Μάρκῳ Πετρονίῳ καὶ Μάρκῳ Βάρωνι, ἐν οὐ πολλῷ χρόνῳ, διὰ μάχης ἐλθὼν τῷ Πομπηΐῳ φεύγει τὸ πρῶτον ἐλαττωθεὶς, καὶ μικρὸν ἀποσχὼν ἐλαττωθῆναι παντάπασιν. οὐ γὰρ ἂν ὑπεξέδυ τὸ κακὸν, εἰ μὴ νὺξ ἐπιγενομένη τῷ ἔργῳ, τὸν μὲν ἅμα τοῖς ὑπολειπομένοις τῶν οἰκείων διέσωσεν, Πομπήϊον δὲ τὴν στρατιὰν ἀπάγειν θᾶττον ἢ δεῖ παρεσκεύασε· κατὰ σκότος ποιεῖσθαι τὴν δίωξιν οὐ προελόμενον. φασὶ γοῦν τὸν Καίσαρα παρόσον ἦλθε κινδύνου λογιζόμενον, πολλάκις εἰπεῖν, ὡς μάχεσθαι μὲν ἀγαθὸς εἴη Πομπήϊος, νικᾶν δὲ ἀμαθῶς ἔχει[59]. οὐ γὰρ ἐν ἑτέρῳ χρόνῳ ἢ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γεγενῆσθαι τοῖς ἐναντίοις ἁλώσιμος. μετὰ δὲ τοῦτο πόλεως Θεσσαλονίκης Φαρσάλου πλησίον, μεγάλας αὖθις ἑκάτεροι δυνάμεις ἀγείραντες, συνήεσαν. Πομπηΐῳ μὲν οὖν τέσσαρες μυριάδες ὁπλιτῶν ἦσαν, καὶ ἱππεῖς πλείους ἢ τετρακισχίλιοι, καθ' ἑκάτερον τῶν κεράτων νενεμημένοι· πρὸς δὲ τούτοις τὸ ἐξ ἁπάντων τῶν ἑώων ἐθνῶν συμμαχικὸν, καὶ πᾶν ὃ ἦν ἐπίσημον Ῥωμαίων εἵπετο· οἵ τε ἀπὸ τῆς βουλῆς, πλῆθος οὐκ εὐαρίθμητον ὂν συνετάττοντο· ἐνστρατηγικοί τε καὶ ὑπατικοὶ ἄνδρες ἦσαν, πολλῶν ἤδη στρατοπέδων ἐξηγησάμενοι, καὶ πολλοὺς διαπεπραγμένοι πολέμους. Καίσαρι γεμὴν οὐδὲ ὅλαι τρεῖς μυριάδες ἀπεπλήρουν τὴν φάλαγγα, καὶ οἱ ἱππεῖς χίλιοι. οὐδεπώποτε δὲ τοσαίδε Ῥωμαϊκαὶ συνῆλθον ἐς τὸ αὐτὸ δυνάμεις, οὐδὲ ὑπὸ βελτίοσιν ἡγεμόσι ταττόμεναι· αἳ ῥαδίως ἂν ἅπασαν ἐσχατιὰν τῆς γῆς ὑποκύψαι Ῥωμαίοις ἠνάγκασαν, εἰ πρὸς ὀθνείους ἀλλὰ μὴ πρὸς ἐμφυλίους ἀγῶνας ἤχθησαν.

Τότε δ' οὖν συνελθόντες ἐμάχοντο καρτερῶς, οὐδέτεροι διά τε ἀρετὴν καὶ τὴν εἰς τοὺς ἐναντίους ἀπέχθειαν εἴκοντες. πολλῆς τε διαφορᾶς ἀφ' ἑκατέρων γενομένης, τέλος οἱ περὶ τὸν Πομπήϊον

57 λουβίῳ Cod. 58 ἀφρενίᾳ Cod. 59 ἔχοι.

ἐκλείπουσι, καὶ πολλοὶ μὲν αὐτοῦ πίπτουσι, πολλοὶ δὲ σποράδες ἀπεχώρουν, τὸ στρατόπεδον ἔρημον διαρπάσαι τοῖς ἐναντίοις παραδόντες. αὐτὸς δὲ Πομπήϊος ὀλίγοις ἅμα τῶν ἑταίρων καὶ τοῖς φιλτάτοις ἀπεχώρει, Αἴγυπτον καταλαβεῖν ἐν σπουδῇ ποιούμενος· ὡς ἂν δοθείη οἱ τῇ πρὸς τοῦτό τε δυναστεύοντος ὠφελείᾳ, οὗπερ δὴ πάλαι τὸν πατέρα ὑπὸ τῶν πολιτῶν φυγαδευθέντα, εἰς τὴν βασιλείαν ἀποκατέστησεν.

Ὁ δὲ Πτολεμαῖος ἀναπεισθεὶς ὑπὸ Θεοδότου τοῦ Χίου, πονηροῦ τὸν τρόπον ῥήτορος, τῆς τῶν κρατούντων γενέσθαι μοίρας, ἐν οὐδενὶ δὲ θέσθαι τὰ τῶν φίλων ἀτυχούντων· πρὶν καταπλεῦσαι μηδὲν μήτε ὀδυρόμενον ἀνερεῖ τὸν Πομπήϊον. ὡς γὰρ ᾔσθετο ὅτι οὔτε λαθεῖν, οὔτε διαφυγεῖν δύναται, συνεκαλύψατο ἅμα καὶ ἀπώλετο. ἀνοσίᾳ τε πράξει μεῖζον ἔτι προστιθεὶς ὁ Πτολεμαῖος ἀσέβημα, τῆς κεφαλῆς ἀφαιρεῖται τὸν ἄνδρα.

Μετὰ δὲ τὸ πάθος τοῦ Πομπηΐου παρῆν εὐθὺς καὶ ὁ Καῖσαρ ἐς Αἴγυπτον· πάλαι μὲν διώκων τὸν πολέμιον· τότε δὲ ὡς παρὰ φίλον τὸν Πτολεμαῖον ἀφιγμένος. ὁ δὲ ἄρα παραπλήσια καὶ κατὰ τοῦ Καίσαρος ἐβουλεύετο, ἀνελεῖν τὸν ἄνδρα λόχῳ διεγνωκώς. ἀνοιχθείσης δὲ τῆς ἐπιβουλῆς, πολέμιος ὁ Πτολεμαῖος ἀναφαίνεται[59]· καὶ διὰ μάχης ἐλθὼν τοῖς Ῥωμαίοις, κατ' αὐτὸν τὸν ἀγῶνα διαφθείρεται. μικρὸν γοῦν ὕστερον ἐν τοῖς νεκροῖς ἀνευρέθη κρικωτὸν θώρακα χρυσοῦν περικείμενος. Αἴγυπτον δὲ Καῖσαρ ἑλὼν, Κλεοπάτρᾳ τὴν ἀρχὴν περιδίδωσιν· ἀδελφῇ μὲν τοῦ πρότερον βασιλεύοντος οὔσῃ, ἀπὸ δὲ τῆς ὥρας αὐτῷ τοῦ σώματος ἐγνωσμένης. φασὶ γὰρ αὐτὴν τῷδε πρώτῳ Ῥωμαίων ἐς κοινωνίαν λέχους ἐλθεῖν. ἐνδήμουντος δὲ διὰ ταύτην τοῦ Καίσαρος ἐν Αἰγύπτῳ, λόγος κατέσχε τὸ πλῆθος, ὡς καὶ ἐπανάστασιν αὐτῷ παρὰ τῶν ἐγχωρίων γενέσθαι, καὶ πολλὰς μυριάδας ὑπὸ τῶν Ῥωμαϊκῶν ὅπλων ἐντεῦθεν διαφθαρῆναι.

Ὁ δὲ Καῖσαρ ἀκούσας τὸν Μιθριδάτου παῖδα Φαρνάκην αὖθις νεωτερίζειν ἀρξάμενον, ἀπῆρε μὲν ἀπὸ τῆς Αἰγύπτου· καὶ καταστρατευσάμενος ἐπ' αὐτὸν, καὶ περικλείσας ἐν τόπῳ τινὶ τῆς Θετταλίας, πρὸς αὐτόχειρα θάνατον τοῦτον ἐλθεῖν ἠνάγκασεν· ἐς

59 Cod. αναφένεται.

ταύτην αὐτὸν ἀγαγὼν τὴν τελευτὴν τοῦ βίου, ἐς ἣν αὐτὸς πρότερον τὸν πατέρα συνήλασεν.

Ἐπειδὴ ταῦτα διαπραξάμενος ἐπανῆλθεν ἐς τὴν Ῥώμην· τρίτον ἑαυτὸν ὕπατον ἀνειπὼν, καὶ κοινωνὸν τῆς ἀρχῆς προσελόμενος Μάρκον Αἰμίλιον Λέπιδον· ὃς κατὰ τὸν ἔμπροσθεν ἐνιαυτὸν ἵππαρχος ἦν αὐτῷ κατὰ μοναρχίαν ἐξηγουμένῳ· πολλούς τε τῶν Πομπηϊανῶν ἀνακαλεσάμενος, τῷτε δήμῳ Ῥωμαίων μεγάλας δωρεὰς καὶ ἀφέσεις χρεῶν χαρισάμενος, στρατηγούς τε τῶν ἀναγκαίων ἐπιμελητὰς, καὶ ἱερεῖς ὑπὲρ τὸ νενομισμένον καταστήσας τῇ πόλει, τούς τε ἱππεας καὶ ἑκατοντάρχας, ἄλλους τέ τινας καταλέξας, Σαλουστίῳ τὴν πολιτικὴν διοίκησιν καταλιμπάνει καὶ τοὺς γεγηρακότας στρατιώτας, αὐτός τε ἐπὶ τὴν Λιβύην ἐπεραιοῦτο[60]· ἔνθα τὸ πολὺ καὶ γνωριμώτατον τῆς Ῥωμαϊκῆς εὐγενείας συνελθὼν, συμμάχῳ τε χρώμενον Ἰώβᾳ[61] τῷ βασιλεῖ τῶν Μαυρουσίων, ἐνενεοῦτο τὸν πόλεμον.

Ἡγοῦντο δὲ τῶν συνεληλυθότων ἐνταῦθα Ῥωμαίων, Πόπλιος Κορνήλιος, Σκιπίωνος Ἀφρικανοῦ γεγονὼς, κηδεστὴς δὲ Πομπηΐου τυγχάνων, καὶ Μάρκος Πετρήϊος καὶ Κοΐντος[62] Βάρος, καὶ Μάρκος Πόρκιος Κάτων ὁ φιλόσοφος, καὶ Κορνήλιος Φαῦστος Σύλλου τοῦ μοναρχήσαντος παῖς ὤν· οἷς ἀντιταξάμενος ὁ Καῖσαρ, μετὰ πολλὰς προσβολὰς, καὶ διαφόρους τῶν πραττομένων τύχας, κρατεῖ παντάπασιν· ὡς Κάτωνα μὲν καὶ Σκιπίωνα, Πετρηΐον τε καὶ Ἰώβαν[63] αὐτόχειρας σφᾶς αὐτοὺς ἀνελεῖν, Φαῦστόν τε τὸν παῖδα Σύλλου συνοικοῦντα θυγατρὶ Πομπηΐου, πρὸς αὐτοῦ διαφθαρῆναι τοῦ Καίσαρος.

Ἐνιαυτὸν δὴ οὖν ὕστερον ἀναστρέψας ἐπὶ τὴν Ῥώμην ὁ Γαΐος, τέταρτον ἑαυτὸν ἀπέδειξεν ὕπατον, καὶ τὰς δυνάμεις ἀναλαβὼν, εὐθὺ τὰς Ἰβηρίας ἐχώρει. οἱ γὰρ δὴ τοῦ Πομπηΐου παῖδες, ἑαυτοῖς τε καὶ τῷ πατρὶ καθεστῶτες ὁμώνυμοι, Γναῖος Πομπηΐος, καὶ Σέξτος Πομπήϊος, μεγάλας ἐγείραντες αὖθις δυνάμεις, ἀνενεοῦντο τὸν πόλεμον. ἐπεὶ γοῦν Καῖσαρ ἀφίκετο, πολλαὶ μὲν καὶ καρτεραὶ συνίσταντο μάχαι· ἐσχάτη δὲ πόλεως Μούνδης πλησίον γίνεται· καθ᾽ ἣν[64] φασι παρὰ τόσον ἐλθεῖν κινδύνου τὸν Καίσαρα, ὡς

60 Cod. ἐπερεοῦτο. 61 Cod. ἰωβατῷ. 62 Cod. κύντος.
63 Cod. ὤβαν. 64 Cod. καθὴν.

παραρρηγμένης ἤδη τῆς οἰκείας φάλαγγος, σπᾶσαι καθ' ἑαυτοῦ τὸ ξίφος, τεθνάναι βουλόμενον πρὶν μετὰ τοσήνδε τῶν πολεμικῶν ἔργων δόξαν, ὑπὸ χεῖρα δύω μειρακίων πέσοι ἀνὴρ ἤδη πρὸς γῆρας σχεδὸν ἀφιγμένος. ἀνακαλεσάμενος δὲ ὅμως τοὺς φεύγοντας, καὶ τὰς τάξεις ἀνανεωσάμενος· ἐπιπίπτει τοῖς ἐναντίοις, καὶ κρατεῖ περιφανῶς. τῶν δὲ Πομπηΐου παίδων, ὁ μὲν πρεσβύτερος ἐν τῇ παρατάξει διαφθείρεται· ὁ δὲ νεώτερος ἀγαπητῶς διασώζεται.

Ὁ τοίνυν Καῖσαρ, ἁπάντων ἤδη τῶν ἐμφυλίων πολεμίων κατειργασμένων, ἐπὶ τὴν Ῥώμην ἀνεστρέφετο. τό τε φρόνημα ταῖς συνέχεσιν[64] ἀνδραγαθίαις ἐξωγκώμενος, καὶ παρὰ τὸ σύνηθες τῇ Ῥωμαίων ἐλευθερίᾳ πρὸς τοὺς ἐντυγχάνοντας ἀλαζονευόμενος· ἐπειγοῦντάς τε τιμὰς, καὶ τὸ κύριος τοῦ δήμου παρελόμενος αὐτὸς ἐπέτρεπεν οἷς ἐβούλετο· καὶ τῆς βουλῆς πρὸς αὐτὸν ἰούσης, οὐχ ὑπανίστατο, ἀλλὰ βασιλικοῖς, εἴτε ἀληθέστερον εἰπεῖν τυραννικοῖς χαίρων δῆλος ἦν ἐπιτηδεύμασιν. εἰκόνας τε γὰρ καὶ ἀνδριάντας καὶ ἀνιδρύματα τινὲς αὐτῷ τῶν κολάκων προσέφερον, ἄλλοι τε καὶ βασιλέα προσηγόρευον.

Οὕτω τοίνυν πάντων τῶν ἐν μνήμῃ Ῥωμαίων κρείττων φανεὶς, διὰ τὴν ὑπὲρ ἄνθρωπον δύναμιν θεὸς ὀνομάσθη. εἰσὶ δὲ ἀπὸ τῶν Τρωϊκῶν ἐπὶ Ἰουλιον Καίσαρα ἐνιαυτοὶ χίλιοι ρκδ.

Ἐπεὶ δὲ Καῖσαρ ὑπερόγκῳ φρονήματι ἐς τὴν σύγκλητον διεγένετο, βουλεύουσι κατ' αὐτοῦ θάνατον, φθόνῳ τε τοῦ προσήκοντος, καὶ μίσει τοῦ προτετιμημένου, ἄνδρες ὑπὲρ ξ̄, τῶν τε ἀπὸ τῆς συγκλήτου, καὶ τῶν ἐς τοὺς ἱππέας τελούντων, ὅρκῳ τὴν κατ' αὐτοῦ σύστασιν βεβαιωσάμενοι. ἐνῆγον δὲ ἄρα μάλιστα πάντων τοὺς συνωμότας ἐς τὴν ἐπιχείρησιν Βροῦτοι δύω, γένους ὄντες ἀνέκαθεν αὐστηροτάτου· ἐς γὰρ δὴ τὸν παλαιὸν Βροῦτον τοῦ αἵματος ἀνέφερον τὴν ἀρχὴν, τοὺς τυράνους ἐν τοῖς ἀνωτάτω χρόνοις ἐκβαλὰν[65], πρῶτος ἀπεδείχθη παρὰ Ῥωμαίοις ὕπατος.

Καί τι φασί τινες, δημοτικοῦ γεγενῆσθαι πατρὸς αὐτοῦ, ἄρτι καὶ πρώην ἐς ἄρχοντας παρεληλυθότος· οὐ γὰρ τῷ παλαιῷ γε Βρούτῳ λειφθῆναι[66] γένος, ἀνελόντι τοὺς υἱέας· οὓς ὁ φιλόσοφος ἀντιλέγων Ποσειδώνιος, τοὺς μὲν ἐν ἡλικίᾳ φησὶν ἀπολωλέναι τοῦ

[64] Cod. συνέσχεσιν. [65] Cod. ἐκβαλᾶν. [66] Cod. φηφθῆνα.

Βρούτου παῖδας, τρίτον δὲ λειφθῆναι νήπιον, ἀφ' οὗ τὸ γένος εἰς τούςδε καθήκειν. μήτηρ δὲ αὐτοῖς ἀδελφὴ τοῦ φιλοσόφου Κάτωνος· ὃν μάλιστα Ῥωμαίων ὁ πρεσβύτερος ἐζήλωσε Βροῦτος, θεῖον ὄντα καὶ κηδεστὴν ὕστερον γενόμενον. Πορκία γὰρ δὴ τῇ[67] * ἐπὶ δὲ τοῖς Βρούτοις, Γαΐος Κάσσιος[68] ἦν ὁ ἐν τῇ συνωμοσίᾳ, ὁ Κράσσῳ ἐπὶ Παρθυαίους συστρατευσάμενος, καὶ Σερβίλιος Κάσκας[69], ὃς δὴ καὶ πρῶτος σπᾶσαι τὸ ξίφος κατὰ τοῦ Καίσαρος λέγεται. ἐπιστάντος δὲ τοῦ καιροῦ, καθ' ὃν ἔδει τὴν βουλὴν συνελθοῦσαν χρηματίσαι τι περὶ τῶν κοινῶν, παρῆν καὶ ὁ Καῖσαρ ἐς τὸ βουλευτήριον, μεθέξων τῶν γινομένων. ὡς δὲ τὰ ξίφη διεκόμισαν ἐν κιβωτίῳ τινὶ κατακρύψαντες, τρόπῳ δὲ συμβολαίων παρὰ τὸ συνέδριον ἤγαγον· αὐτίκα ἀναστάντες, καὶ περιστάντες τὸν Καίσαρα, κατετέτρωσκον. ἐπιθεμένων δὲ αὐτῶν, τὰ μὲν πρῶτα διώθει τοὺς ἐπιόντας, καὶ κατὰ δύναμιν ἠμύνετο· ἐπεὶ δὲ τὸν Βροῦτον, γυμνῷ τῷ ξίφει ἐπ' αὐτὸν χωροῦντα, καὶ σὺν τοῖς πολεμίοις τεταγμένον ἐθεάσατο, ἐγκαλυψάμενος, παρέδωκε παίειν τὸ σῶμα. τρεῖς γοῦν καὶ κ̄ πληγὰς ἀναδεξάμενος, ἀναλίσκεται· ἐτῶν δὲ τῇ πόλει μετὰ τὸν ἀνοικισμὸν ἐννέα που πρὸς τοῖς ψ̄ γεγονότων.

Ἐπειδὴ Καῖσαρ ἀνῃρέθη κατὰ τὸ βουλευτήριον, αὖθις ἐμφύλιος ἀνήφθη πόλεμος. τοὺς μὲν γὰρ αὐθέντας τοῦ Καίσαρος, οἷα τῆς κοινῆς ἐλευθερίας προστάτας, περιεῖπε τὸ συνέδριον· ὅγε μὴν ὕπατος Ἀντώνιος, τοῖς ἀχθομένοις τῇ τοῦ Καίσαρος τελευτῇ προσθέμενος· πιέζειν τοὺς ἄνδρας, καὶ καταναλίσκειν ἐκ παντὸς ἐπενόει τρόπου· καὶ οὐ καθῆκεν, ἄχρις οὗ φυγάδας τῆς πόλεως τοὺς περὶ τὸν Βροῦτον κατέστησεν· οἱ μὲν γὰρ ἐπεξῆλθον, δείσαντες τὴν τοῦ Ἀντωνίου δύναμιν δημαγωγοῦντος κατ' αὐτῶν τὸ πλῆθος.

Ἡ δὲ βουλὴ ἀρχάς τε καὶ τινὰς τοῖς ἀνδράσι προσένειμεν, ἄρχειν Συρίας τε καὶ Μακεδονίας ψηφισαμένη. ταραχθείσης δὲ τῆς πόλεως ἐν ἑαυτῇ, πολλά τε καὶ ἔκνομα τὸν Ἀντώνιον διαπραττόμενον, πολέμιον ἀνεῖπεν ἡ βουλή· ἐπί τε τῇ συλλήψει τοῦ ἄνδρος ἤδη τῆς πόλεως σὺν ταῖς οἰκείαις δυνάμεσιν ἀπεληλυθότος, Πάνσαν τε καὶ Ἴρκτιον τοὺς ὑπάτους ἐκπέμπει, τρίτον ἡγέμονα τούτοις ἐπιτάξασα τὸν Ὀκταούιον, ἔτι νέον ὄντα: ζη[70].

67 Deest aliquid. 68 Cod. κάσιος. 69 Cod. κασκας (ος) δὴ.
70 i. e. ζήτει, quod procul dubio ad al. tit. spectat.

Ὅτι μετὰ τὸ ἀνελεῖν Βροῦτον καὶ Κάσσιον τοὺς αὐθέντας Καίσαρα τὸν Αὔγουστον, καὶ διαλαχεῖν[70] κλήρῳ τὴν ἀρχὴν, Ἀντώνιος ὁ ὕπατος, πόλεμον ἔγνω κινεῖν κατὰ τὴν Ἰταλίαν ἐμφύλιον. ἦν δὲ οὗτος ἀδελφὸς Μάρκου Ἀντωνίου, τοῦ σὺν Καίσαρι Βρούτῳ καὶ Κασσίῳ[71] συμπολεμήσαντος. οὐ πολλῷ γε μὴν χρόνῳ ἐν Περουσίῳ πόλει Τυρρηνικῇ σφόδρα τῶν ἀναγκαίων ἐνδείᾳ πιεσθεὶς, ἥλω μὴν, οὐ μὲν ἀνῃρέθη, ἀλλ' ἐξηλάθη τῆς Ῥώμης πρὸς τοῦ Καίσαρος, σὺν τῇ γαμετῇ τοῦ Ἀντωνίου Φολουΐα· οὓς ὁ Καῖσαρ ἤλασεν ὡς νεωτεροποιοὺς καὶ πολυπράγμονας.

Ὅτι Ἡρώδης ὁ τὸν πρόδρομον ἀποκεφαλίσας, γενόμενος ἐμπληθὴς, ἐκρίνετο μῆνας η̄, καὶ κατὰ τὸν αὐτοῦ κοιτῶνα ἀνῃρέθη ξίφει· συνειδυίας, ὡς φασὶ, καὶ τῆς γυναικὸς αὐτοῦ.

Ὅτι ἐπὶ Τιβερίου τοῦ βασιλέως γενόμενος ὁ Κύριος Ἰησοῦς[73] ἐτῶν λγ', ὑπὸ τῶν Ἰουδαίων κατηγορεῖτο, ὡς καταλύων αὐτῶν τὴν δόξαν, καὶ ἑτέραν ἀντεισάγων καινήν. καὶ συναχθέντες ἅπαντες ἐν Ἱεροσολύμοις, στάσιν ἐκίνουν κατ' αὐτοῦ, βλασφημίας καταχέοντες εἴς τε τὸν Θεὸν καὶ τὸν Καίσαρα. ἐντεῦθεν παρρησίαν λαβόντες, καὶ κρατήσαντες αὐτὸν ἐν νυκτὶ, παρέδωκαν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι· ὅστις εἴτε διὰ δειλίαν τοῦ πλήθους, εἴτε δι' ἐπαγγελίαν χρημάτων, μηδεμίαν αἰτίαν εὑρηκὼς, ἐκέλευσεν αὐτὸν σταυρωθῆναι. Καὶ σταυρωθέντος αὐτοῦ, σεισμὸς ἐγένετο μέγας, καὶ σκότος ἐπὶ πᾶσαν τὴν γῆν. γευσάμενος δὲ θανάτου, ἀνέστη ἀπὸ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελήφθη εἰς τοὺς οὐράνους. μάρτυρες γεγόνασι πολλοὶ, θεασάμενοι καὶ συγγράψαντες.

Ὅτι ποτὲ τὸν δῆμον συνελθόντα ἐν ἱπποδρομίῳ, καὶ τοῦτον ἐλέγχοντα ὑπὸ τῶν στρατιωτῶν διέφθειρεν· ἐξ οὗπερ πάντες ἐσιώπησαν, ἄχρις οὗ Κάσσιός[73] τε καὶ Χεραίας, Κορνήλιός τε καὶ Σαβῖνος, καίτοι χιλιαρχίας παρ' αὐτοῦ πεπιστευμένοι, συνωμόσαντο[74]· πάντες τε ὡς εἰπεῖν οἱ περὶ αὐτὸν, ὑπέρ τε σφῶν καὶ τῶν κοινῶν ἐκινήθησαν· καὶ τηρήσαντες αὐτὸν ἐκ τοῦ θεάτρου ἐρχόμενον, ὅτε δὴ τοὺς ἐκ τῆς Ἑλλάδος παῖδας ἐπὶ τὸν ἴδιον ὕμνον μετεπέμπετο, ἐν στενωπῷ τινὶ τόπῳ προσπεσόντες τιτρώ-

70 Cod. διαλαχὴν. 71 Cod. κασίῳ. 72 Cod. Ἰεσοῦς.
73 Cod. κάσιος. 74 Cod. συνομόσατο.

σκουσιν, ἄλλοι τε ἐκ τῶν σαρκῶν αὐτοῦ ἐγεύσαντο. καὶ τὰ μὲν Γαΐου τοιαῦτα· τρισὶν ἔτεσι καὶ μησὶ θ̄, ἡμέρας τε μ̄ καὶ κ̄ βασιλεύσαντος. καὶ αὐτὸς τοῖς ἔργοις, ὡς οὐκ ἦν θεὸς, ἐξέμαθεν. ὑφ' ὧν τε καὶ μὴ παρὼν προσεκυνεῖτο, τότε κατεπτύετο· καὶ ὑφ' ὧν τε Ζεὺς καὶ θεὸς ὠνομάζετό τε καὶ ἐγράφετο, σφάγιον ἐγίνετο· ἀνδριάντες τε αὐτοῦ καὶ εἰκόνες ἐσύροντο, μεμνημένου μάλιστα τοῦ δήμου, ὧν ἐπεπόνθει δεινῶν. Οἱ δὲ στρατιῶται ὅσοι μὲν ἐκ τοῦ Γερμανικοῦ μέρους ἦσαν, ἐθορύβουν τε καὶ ἐστασίαζον, ὥστε καὶ σφαγὰς ποιεῖν· ὅσοι δὲ ἄλλως πῶς ἐπὶ τῇ βουλῇ ἐποιήσαντο, πεισθέντες τοῖς ὅρκοις ἡσύχασαν.

Τούτων δὲ περὶ τὸν Γάϊον πραττομένων, Σέντιός τε καὶ Σεκοῦνδος οἱ ὕπατοι, εὐθὺς ἐκ τῶν θησαυρῶν τὰ χρήματα εἰς τὸ Καπιτώλιον[75] μετεκόμισαν, φυλακάς τε τοὺς πλείους τῆς γερουσίας ἐπέστησαν, καὶ στρατιώτας ἱκανοὺς, ἵνα μὴ διαρπαγὴ ὑπὸ τοῦ πλήθους γένηται. οὗτοί τε ἅμα τοῖς ἐπάρχοις, καὶ τοῖς περὶ Σαβῖνον καὶ Χεραίαν, τὸ πρακτέον ἐσκοποῦντο.

Ὅτι ὁ Κλαύδιος ὁ βασιλεὺς τῶν Ῥωμαίων, τόν τε Χεραίαν καὶ τοὺς ἄλλους, καίπερ ἐπὶ τὸν τοῦ Γαΐου θάνατον ἡσθεὶς, πρῶτα μὲν τῆς πόλεως ἐξέβαλεν, ἔπειτα καὶ ἐδολοφόνησεν. οὐ γὰρ ὅτι τὴν ἀρχὴν διὰ τὴν ἐκείνων πρᾶξιν εἰλήφει χάριν αὐτοῖς εἶχεν, ἀλλ' ὅτι ἐτόλμησαν αὐτοκράτορα ἀποσφάξαι ἐδυσχέραινεν.

Ὅτι Κλαύδιος ὑπὸ Ἀγριππίνης ἀναιρεῖται τρόπῳ τοιῷδε. αὕτη γὰρ φάρμακον δηλητήριον ὑπὸ Λουκούστης ἀνελομένη, ἐν τοῖς καλουμένοις μύκησιν[76] ἐνέβαλεν. ὁ δὲ ὑπό τε τοῦ οἴνου, καὶ τῆς ἄλλης διαίτης, μηδέν τι τοιοῦτον ὑποπτεύων, ἐπεβουλεύθη. καὶ ἐκ μὲν τοῦ συμποσίου, ὡς καὶ ὑπερκορὴς μέθῃ ἐξεκομίσθη, διά τε τῆς νυκτὸς ἐτελεύτησε, βιώσας ἔτη ξ̄ καὶ γ, καὶ μῆνας β̄ ἡμέρας ῑγ, αὐταρχήσας δὲ ἔτη ῑ καὶ γ̄. ταῦτα ἡ Ἀγριππίνα ποιῆσαι ἠδυνήθη, ὅτι τὸν Νάρκισσον[77] συνέβη παρεῖναι[78], ἐπεὶ παρόντος αὐτοῦ οὐκ ἐδεδράκει τοῦτο· τοιοῦτός τις φύλαξ τοῦ δεσπότου ἦν. ἀποθανόντος δὲ τοῦ Κλαυδίου, καὶ αὐτὸς εὐθὺς διεφθάρη, παρὰ τῷ Μεσσαλίνης μνημείῳ, ἔκ τινος συντυχίας, ὅπερ εἰς τιμωρίαν ἐκείνης ἐνομίσθη. καὶ Κλαύδιος μὲν ὑπὸ τῆς Ἀγριππίνης τῆς γυναικὸς

75 καπιτόλιον Cod. 76 μήκυσιν Cod. 77 ἄρκισσον Cod. 78 μὴ παρ. leg.

τῆς τε ἀδελφῆς, δι' ἣν τά τε ἄλλα καὶ ἐπιόρκησεν, ἐπεβουλεύθη ἐν τῷ σιτίῳ, καὶ διεφθάρη κακῶς, ἵνα τε ὁ υἱὸς αὐτῆς μοναρχήσῃ, καὶ ὁ Βρεττανικὸς, αἵ τε ἀδελφαὶ αὐτοῦ ἀπόλωνται.

Ὅτι ἐν τῇ Ἰβηρίᾳ[78], Γάϊος Ἰούλιος Οὐΐνδιξ ἐπανίσταται τῷ Νέρωνι[79], πολλούς τε τῶν τῆς συγκλήτου βουλῆς φυγάδων προσλαβόμενος, Γάλβαν ἀποδείκνυσι βασιλέα· ὃς τὰς δυνάμεις εὐθέως ἐξοπλίσας, καὶ πάντα τὰ πρὸς τὸν πόλεμον παρασκευασάμενος, ἐπὶ τὴν Ῥώμην ἐλαύνει. ὁ γοῦν Νέρων, οὐ μετρίως ἐπὶ τούτῳ ταραχθεὶς, στρατηγὸν τοῦ πολέμου Ῥοῦφον Γάλλον ἐκπέμπει· ὃς οὐδὲ ἐς χεῖρας ἐλθεῖν ἀνασχόμενος πρὸς τὸν Γάλβαν, ὁμολογεῖται καὶ σπένδεται πρὸς τὸν Οὐΐνδικα· αὐτὸς μὲν τῶν Γαλλιῶν ἄρχειν ἐπιλεξάμενος, Οὐΐνδικι δὲ τὴν Ἰβηρίαν προσήκειν, καὶ τῷ Γάλβᾳ πᾶσαν ὁμοῦ τὴν Ἰταλίαν, καὶ ὅσα τῇ Ῥωμαίων ἀρχῇ πρὸς ὑπακοὴν ἔθνη τυγχάνει.

Τούτων αὐτοῖς διομολογηθέντων, τινὲς τῶν τοῦ Ῥούφου στρατιωτῶν ἐπιβουλεύουσι τῷ Οὐΐνδικι, ἀγνοίᾳ μὲν τῶν ὁμιληθέντων, ζήλῳ δὲ τῆς πρὸς αὐτὸν δυναστείας. ἀλλ' ὁ μὲν Οὐΐνδιξ, καίτοι ῥᾳδίως δυνάμενος σωθῆναι, ἀγανακτήσας καὶ ὀλοφυρόμενος, ὅτι ἐκ τῶν ὁμοφρονούντων ἐκακώθη, καὶ ὅτι τὰ ἐναντία τῷ Νέρωνι ἀμφότεροι πράττοντες ἑαυτοὺς ἀπώλλυσαν· καὶ προσέτι τοῦ ἀνθρωπείου βίου καταγνοὺς, καί τι πρὸς τὸ δαιμόνιον εἰπὼν, ὅτι τοιούτου πράγματος ἀρξάμενος οὐκ ἐπλήρωσεν, ἑαυτὸν προσκατειργάσατο. ὁ γοῦν Ῥοῦφος δεινῶς ἐπὶ τῷ τοιούτῳ πάθει ὑπεραλγήσας, καί τινας τῶν στρατιωτῶν κολάσας ἐν ἀφασίᾳ κατέστη. ταῦτα ὡς ἠγγέλθη τῷ Νέρωνι, οὐδεμίαν τοῦ λοιποῦ τῶν ὅπλων ἐλπίδα ἐποιήσατο, ἀλλ' ἐβουλεύσατο ἀμφ' αὐτὸν ἄλλο πρᾶξαι. καὶ ἄλλων ἄλλα λεγόντων, τέλος ἔγνω τούς τε βουλευτὰς ἀποκτεῖναι, καὶ τὴν πόλιν καταπρῆσαι νύκτωρ, ἔς τε τὴν Ἀλεξάνδρειαν πλεῦσαι· εἰπὼν, "ὅτι κἂν τῆς ἀρχῆς ἐκπέσωμεν, τὸ δὲ τέχνιον ἡμᾶς θρέψει." οἱ δὲ τῆς βουλῆς ἀκούσαντες ταῦτα, πρὸς τοὺς δορυφόρους καὶ τοὺς ἄλλους, οἳ τὴν βασίλειον φρουροῦσιν αὐλὴν προσδιαλεχθέντες, πείθουσί τε αὐτοὺς ἅμα γενέσθαι, καὶ μεταποιήσασθαι τῆς Ῥωμαίων ἐπικρατείας. ἐπειδὴ δὲ καὶ οὗτοι τῆς τῶν βουλευσάντων

78 Ἰκηρία Cod. 79 νέρωνι Cod.

ἐγένοντο γνώμης, αὐτίκα μὲν τὸν τοῦ στρατοπέδου ἔπαρχον Σκίπουλον ἀναιροῦσιν· ἀφίστανται δὲ τῆς τοῦ βασιλέως φρουρᾶς.

Ὁ δὲ Νέρων ὡς καὶ ὑπὸ τῶν σωματοφυλάκων κατελείφθη, ἀποκτεῖναι μὲν ἑαυτὸν οὐκ ἐτόλμησεν, ἵνα τὴν αἰσχύνην κερδάνῃ· φυγεῖν δὲ ἐπεχείρησε, πρότερον κεραυνωθείσης αὐτοῦ τῆς τραπέζης· ἐσθῆτά τε φαύλην ἐνδυσάμενος, καὶ ἐφ' ἵππον οὐδὲν βελτίονα ἀναβὰς, κατακεκαλυμμένος[80] πρὸς χωρίον τι λεγόμενον Καισαρίου μετὰ Ἐπαφροδίτου καὶ Σπόρου κατέφυγε. νυκτὸς δὲ ἔτι οὔσης, καὶ αὐτοῦ ταῦτα πράσσοντος, σεισμὸς ἐξαίσιος ἐν τῇ Ῥώμῃ γέγονεν. καὶ αὐτὸν γνωρισθέντα ὑπό τινων ἀποβῆναι μὲν τοῦ ἵππου παραχρῆμα, ἔς τινα δὲ πλησίον καταφυγεῖν καλαμῶνα· ἐν ᾧ μέχρι πολλοῦ ἐρριμμένος, πάντα μὲν προϊόντα ὑπετοπεῖτο, πᾶσαν δὲ φωνὴν, ὡς καὶ ἀναζητοῦσαν ὑπέτρεμε, θρηνῶν τε καὶ ὀλοφυρόμενος ἐν οἷς ἦν πρότερον, καὶ ὅτι ἐν κοπρίᾳ ἔρριπτο.

Νέρων μὲν οὖν αὐτὸς παρ' ἑαυτῷ ἐτραγῴδει, καὶ ὀψέ ποτε ἐπεὶ μηδεὶς αὐτὸν ἑώρα, μετῆλθεν εἰς τὸ πλησίον ἄντρον, καὶ διψήσας ἔπιεν ὕδωρ. ἡ δὲ τῶν Ῥωμαίων βουλὴ πολέμιον αὐτὸν ἀνειποῦσα, δοῦναι δίκας τῶν κατὰ τὴν ἀρχὴν ἡμαρτημένων, τοιόνδέ τινα τρόπον ἐψηφίσατο. ἀχθῆναι μὲν γὰρ ἐς τὸ δεσμωτήριον γυμνὸν, κεραίας ἐπιβεβλημένος τῷ τραχήλῳ προστάττεται, μετὰ δὲ σφοδρὸν αἰκισμὸν τοῦ σώματος, ὠσθῆναι κατά τινος πέτρας.

Ἃ δὴ προαισθόμενος ὁ Νέρων, τούς τε χωροῦντας ἐπ' αὐτὸν καταδείσας, προσέταξε τοῖς παροῦσι καὶ ἑαυτὸν καὶ ἑαυτοὺς ἀποκτεῖναι. ἐπεὶ δέ γε οὐχ ὑπήκουσαν, τὸ μὲν ὅτι οὐκ ἐτόλμων, τὸ δὲ ὅτι τὴν ταφὴν αὐτοῦ προεφασίσαντο, δεινῶς ἀλγήσας ἐστέναξεν, ὅτι μηδὲν ἐδύνατο. μετὰ δὲ τοῦτον τὸν Σπόρον βουληθεὶς ἀποκτεῖναι διήμαρτεν, ἀποφυγόντος ἐκείνου. τότε ἔφη· "ἐγὼ οὐδὲ φίλον "οὐδὲ ἐχθρὸν ἔχω·" καὶ τοῦτο εἰπὼν, ἑαυτὸν ἐπάταξεν· δυσθανατοῦντα δὲ ὁ Ἐπαφρόδιτος προσκατειργάσατο. καὶ ὁ μὲν Νέρων φὺς ἄριστα καὶ τραφεὶς κάκιστα, οὕτω τῆς ἀρχῆς ἐξέπεσε, λ̄ μὲν ἐξ αὐτῆς ὠδῖνος[81] γεγονὼς ἔτη, βασιλεύσας δὲ ιδ̄ δυεῖν μηνῶν ἀποδέοντα. καὶ ἡ πόλις στεφανώμασι καὶ δᾳδουχίαις κεκόσμητο[82], εὐχάς τε ἀληθεῖς καὶ ἑορτὰς ἐπετέλουν, καὶ τούς τε δυνηθέντας

[80] κατακεκαλυμένος Cod. [81] ὤδυνος Cod. [82] κεκόσμητε Cod.

ἐπὶ τοῦ τυράννου φονεύοντες, ὡς καὶ αὐτὸν ἐκεῖνον αἰκίζοντες διετέλουν.

Ὅτι Γάλβας ὁ μετὰ Νέρωνα θαυμαζόμενος, ἐν τοῖς κατὰ τὴν ἀρχὴν ἐπιτηδεύμασιν, ἔδοξέ πως εἶναι τραχύς τε καὶ πρόχειρος ἐν ταῖς τῶν ἁμαρτανομένων ἐπανορθώσεσι· βραχὺν γάρ τινα πρὸς τὸν τῆς ἡγεμονίας διατελέσας, ἐπιβουλευθεὶς ὑπὸ τοῦ Ὄθωνος, ἀναιρεῖται κατὰ μέσην ἀγοράν.

Ὅτι Ὄθων ἀνελὼν τὸν Γάλβαν, ὡς παρῆλθεν εἰς τὴν ἡγεμονίαν, Βιτέλλιος ὑπὸ τῶν Γαλατικῶν τε καὶ Γερμανικῶν στρατοπέδων αὐτοκράτωρ ἀναγορευθεὶς, ἤλασεν ἐπ' αὐτόν. Ὄθων δὲ σὺν ταῖς οἰκείαις ὑπαντήσας δυνάμεσιν, ἐλαττοῦται κατὰ τὴν πρώτην συμβολὴν, καὶ τοῖς παροῦσιν ἀθύμως διατεθεὶς, καί τοι στρατιᾶς αὐτάρκους αὐτῷ καθεστηκυίας, ὑπεξάγειν ἑαυτὸν ἐκ παντὸς ἔγνω τρόπου.

Δεομένων δὲ τῶν στρατιωτῶν, μὴ ταχέως οὕτω τὰς περὶ τοῦ παντὸς καταβαλεῖν ἐλπίδας· ἀποκρινάμενος, οὐδαμῶς ἄξιον ἑαυτὸν ἡγεῖσθαι τοσαύτης ἐμφυλίου ταραχῆς καὶ κινήσεως· ἀκουσίως ὑποδέχεται τὸν θάνατον, ὀγδόῳ καὶ λ̄ τῆς ἡλικίας ἔτει, τῆς γε μὴν βασιλείας ἡμέρᾳ ε̄ καὶ ϟ̄. ἡ δὲ στρατιὰ ἐπένθησεν αὐτὸν ἡττηθέντες τοῦ πάθους. καὶ ὁ μὲν τὴν ἀσέλγειαν τοῦ ἔμπροσθεν βίου ἐν τούτοις θαυμαστῶς συνεσκιάσατο· βεβαίως τὸν τοιόνδε πόλεμον τῷ ἑαυτοῦ κατασβέσας αἵματι.

Ὅτι Βιτέλλιος βασιλεύσας κακῶς καὶ αἰσχρῶς, τῶν Ἰουδαίων νεωτερίζειν ἀρξαμένων, Βεσπασιανὸν στρατηγὸν ἐκπέμπει τῆς ἕω, τὴν τούτων κελεύσας αὐτῷ καταλῦσαι θρασύτητα. ὡς οὖν ἐπολιόρκει τὴν Ἱερουσαλὴμ, οἱ στρατιῶται περὶ αὐτὸν ἀθροισθέντες, ἀναγορεύουσιν αὐτὸν βασιλέα. ὅπερ ἀκηκοὼς Βιτέλλιος, Σαβῖνον τὸν ἀδελφὸν Βεσπασιανοῦ ἐν τῷ Καπιτωλίῳ προσφυγόντα συγκατέπρησε τῷ ἱερῷ.

Κινήσεως δὲ ἐντεῦθεν μεγίστης γενομένης, ἐπειδὴ καὶ ὁ Βεσπασιανοῦ στρατὸς ἐγγίζειν ἔμελλε τῇ πόλει, συνδραμόντες ἅπαντες κρατοῦσι τὸν Βιτέλλιον, καὶ προσάγουσι τοῖς Βεσπασιανοῦ στρατιώταις, καὶ κατακρίνουσιν αὐτὸν τελευτῆς ἀσχήμονος, τῆς ἐπὶ τῷ Νέρωνι πρώην ἐψηφισμένης. εἱλκύσθη γὰρ διὰ πάσης τῆς πόλεως γυμνὸς ἐσθήματος, ἀνελκομένου μὲν αὐτῷ τοῦ κρανίου διὰ

τῆς κόμης, τοῦ δὲ ξίφους ὑποβεβλημένου τῷ ἀνθερεῶνι, βαλλόμενος ὑπὸ τῶν προστυγχανόντων, τέλος διατμηθεὶς τὸν λαιμὸν ἐνεβλήθη τῷ Θύβριδι, ἕβδομον καὶ ν̄ ἔτος ἄγων.

Ὅτι ὁ Βεσπασιανὸς οὕτως ἄρα τὸ πεπρωμένον ἐπὶ τοῖς παισὶ ἐγίνωσκε τέλος, βίου τε αὐτῶν πέρι, καὶ τῆς ἐς τὴν ἡγεμονίαν παρόδου, ὡς πολλάκις μηνυθείσης ἐπιβουλῆς, μηδὲν μὲν ἐργάσασθαι τοὺς ἐπ' αὐτῷ συνεστῶτας κακὸν, διαῤῥήδην δὲ ἐν τῷ βουλευτηρίῳ ὑπὸ τῇ πάντων ἀκοῇ προσειπεῖν, ἢ τοὺς παῖδας ἕξειν, ἢ μηδένα παντελῶς τῆς βασιλείας διάδοχον.

Ὅτι ἐπὶ Τίτου τοῦ Ῥωμαίων βασιλέως, ἀνήρ τις ὢν τὸ γένος, Τερέντιος Μάξιμος ὄνομα, τά τε ἄλλα καὶ τὴν φωνὴν προσεοικὼς τῷ Νέρωνι· καὶ γὰρ δὴ καὶ οὗτος ᾖδε πρὸς κιθάραν, Νέρων τε εἶναι ἐπλάττετο, καὶ διαπεφευγέναι πάλαι τοὺς ἐπ' αὐτὸν σταλέντας στρατιώτας, ἐν ἀφανεῖ δέ που πεποιῆσθαι τὰς διατριβὰς ἐς τόδε. πολλοὺς γοῦν ἔκ τε τῆς κάτω Ἀσίας τούτοις ἀπατήσας τοῖς λόγοις, ἕπεσθαι οἱ ἀνέπεισεν. καὶ ἐπὶ τὸν Εὐφράτην προϊὼν πολλῷ πλείους προσεποιήσατο. τέλος πρὸς Παρθυαίους, ὡς καὶ ὀφειλομένης αὐτῷ πρὸς ἐκείνων ἀμοιβῆς τινος διὰ τὴν τῆς Ἀρμενίας ἀπόδοσιν, κατέφυγεν. οὐ μὴν ἄξιόν τι τῆς ἐπινοίας εἰργάσατο, ἀλλὰ φωραθεὶς ὃς ἦν, ταχέως ἀπώλετο.

Ὅτι πολλῶν ἀγαθῶν ἕνεκα πέρα τοῦ συνήθους πρὸς πάντων ποθούμενός τε καὶ θαυμαζόμενος νόσῳ τελευτᾷ τὸν βίον προστὰς τῆς ἡγεμονίας Ῥωμαίων β̄ ἔτη πρὸς μησὶν η. γεγόναμεν οὖν πολλοῖς, οὐ διὰ μικρὰς ὑπονοίας ἐπιβουλευθέντα μὲν πρὸς τοῦ ἀδελφοῦ τεθνηκέναι, λαγὸν θαλάσσιον ἐν δείπνῳ τινὶ προσενεγκάμενον.

Φασὶ δὲ προειπεῖν αὐτὸν τὸν Ἀπολλώνιον, φυλάττεσθαι μάλιστα τὴν ἀπὸ τῶν οἰκειοτάτων ἐπιβουλὴν, τοῦ δὲ ἐρομένου, "ἀποθα-"νοῦμαι δὲ τίνα τρόπον;" εἰπεῖν τὸν Ἀπολλώνιον· "ὅν γε Ὀδυσσεὺς "λέγεται," φασὶ γὰρ κακείνῳ ἐκ θαλάττης ἀφικέσθαι τὸν θάνατον. φασὶ δὲ αὐτὸν ἔτι ἔμπνουν ὄντα, καὶ τυχὸν περιγενόμενον, ἐς λάρνακα πλήρη χιόνος ἐμβαλὼν, ὡς ἂν θάττον ἀπὸ ψύχους ἐκλείποι, αὐτὸν ἐπὶ τὴν Ῥώμην παραληψόμενος τὴν βασιλείαν ἀφίππευσεν.

Ὁδ' οὖν Τίτος ψυχοραγῶν ἤδη ἔφη "ἓν μόνον ἐπλεμμέλησα·" τὸ δὲ τί τοῦτο ἦν, αὐτὸς μὲν οὐ διεσάφησεν· οἱ δὲ παρόντες ἐς τὸν

Δομετιανὸν, οὐκ ἔξω τοῦ εἰκότος ἀποτείνειν ἐλογίσαντο, ὅτι αὐτὸν ἐπιβουλεύσαντά οἱ πολλάκις λαβὼν μεθῆκεν, καὶ περιέμεινεν αὐτὸς ὑπ' ἐκείνου διαφθαρῆναι, καὶ τὴν ἀρχὴν εἰς ἄνδρα κακὸν καὶ ἀνοσιουργὸν περιελθεῖν.

Ὅτι ἅπασιν ὁ Δομετιανὸς διὰ τὸ φονικὸν καὶ θηριῶδες τῆς γνώμης ἔχθιστος ὢν, πρὸς τῶν οἰκείων συστάντων ἐπ' αὐτῷ, κατακτείνεται[82], ε̄ καὶ λ̄ γεγονὼς ἔτη, ἄρξας δὲ ῑε̄. τὸ γε μὴν σῶμα τοῦ ἀνδρὸς ὑπὸ τῶν ἀτιμωτάτων τῆς πόλεως ἀφορηθὲν, ἀσήμῳ τε καὶ ἀπρεπεῖ παρεδόθη ταφῇ. ἐπιβουλεῦσαι δὲ μάλιστα τούτῳ τὸν φόνον, Παρθένιόν τε καὶ Σιγηρὸν τοὺς προκοίτους, καὶ ἐντελλόντων τὰ τῆς ἀρχῆς διέποντα βιβλίδια. οὔτε τῆς Δομετίας τῆς τοῦ τυράννου γαμετῆς, ηκτο[83] γὰρ δὴ ταύτην παῖδα τοῦ Τίτου τυγχάνουσαν ἀγνοούσης τὴν ἐπιβουλὴν, οὔτε Νορβάνου καὶ Σεκούνδου τῶν ὑπάρχων.

Τούτους γὰρ δὴ μαθόντας, ὅτι σφᾶς ἐκποδὼν ἀθρόως ὁ Δομετιανὸς ποιήσασθαι διέγνωκε, καὶ τίνα καὶ γράμματα περὶ τούτου θεασαμένους, οὐκ ἀναβάλλεσθαι τὴν πρᾶξιν, ἀλλ' ἐς τὴν ἐπιοῦσαν εὐθέως παρασκευασαμένους εἰσπέμψαι σὺν ξιφειδίῳ Στέφανον τὸν ἀπελεύθερον· καὶ τοῦτον προσπεσόντα Δομετιανῷ καθεύδοντι τὸ μεθημερινὸν, πατάξαι μὲν, οὐ μὴν καιρίαν. ἀναπηδήσαντος γοῦν ἐκείνου, καὶ τὸν Στέφανον καταβάλλοντος, δείσαντας τοὺς περὶ τὸν Παρθένιον μὴ καὶ περιγένηται, ἐπεισελθεῖν, καὶ παντελῶς αὐτὸν προσκατεργάσασθαι.

Προσημῆναι δὲ τῷ Δομετιανῷ τὴν τελευτὴν ἄλλα τε πολλὰ, τοῦτο μὲν τέρατα, τοῦτο δὲ ὄψεις ὀνείρων, καὶ μάλιστα πάντων, Λαργίκνον ἀστρολόγον τινά· τοῦτον γὰρ δή παρὰ τοῖς Γαλάταις προειπόντα δημοσίᾳ τὴν τελευτὴν τοῦ τυράννου, καὶ τὸν χρόνον ἀπολώσαντα[84] πρὸς τοῦ ὑπάρχου, ἀναπεμφθῆναι τῷ Δομετιανῷ ἐπὶ κολάσει, καὶ αὖθις τὰ αὐτὰ εἰπόντα, καὶ τὴν ἡμέραν προαγορεύσαντα, καταδικασθῆναι μὲν, οὐ μὴν ἀποθανεῖν, τοῦ τυράννου ἀναβαλλομένου τὴν τιμωρίαν ἐς τὸν ῥηθέντα χρόνον, ὅπως δὴ διαφυγὼν δικαιότερον αὐτὸν ὡς ψευσάμενον κολάσειεν, κἂν τούτῳ ἀναιρεθέντος τοῦ Δομετιανοῦ, διαφυγεῖν τὸν ἄνδρα.

82 Hinc sanandus in Suida ult. exc. v. Δομετιανός. 83 Sic.
84 Sic.

Κακείνου δὲ θαυμαστὸν παρὰ τὴν τοῦδε τελευτὴν συμβέβηκεν. Ἀπολλώνιον γὰρ τὸν Τυανεία κατ᾽ ἐκείνην τὴν ἡμέραν, μᾶλλον δὲ παρ᾽ αὐτὸν τὸν καιρὸν τῆς σφαγῆς, προειπεῖν Ἐφεσίοις ἐν κοινῷ τὸ περὶ τὸν Δομετιανὸν πάθος, τοῖσδε τοῖς ῥήμασι, "καλῶς, ὦ Στέφανε, εὖγε ὦ Στέφανε, παιὲ τὸν μιαιφόνον, ἔπληξας, ἔτρωσας, ἀπέκτεινας."

Ὅτι Νέρβας, ἐπειδὴ πρός τινων διὰ τὸ γῆρας καταφρονηθεὶς ἐπεβουλεύθη πολλάκις, καὶ τὸν Πετρώνιον καὶ τὸν Παρθένιον, προσφιλεστάτους ὄντας, ἐκδοῦναι τοῖς στρατιώταις, πρὸς Κλιανοῦ τοῦ τῶν δορυφόρων ἡγουμένου ἐβιάσθη, ἐφ᾽ οἷς δὴ καὶ σφόδρα ἠνιᾶτο· λέγεται δὲ Τραϊανῷ ἄλλα τέ τινα τελευτῶν αὐτοχειρὶ ἐπιστεῖλαι, καὶ τὸν Ὁμηρικὸν ἐπιθεῖναι[84] στίχον,

Τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσιν.

Ὅτι ὁ Τραϊανὸς τὸ πιστὸν πρὸς τοὺς φίλους οὕτως εἶχεν ἀκίνητον, ὥστε Σούραν Λικίννιον[85], ἄνδρα μέγα μὲν παρ᾽ αὐτῷ δυνάμενον, διαβληθέντα δὲ πρός τινων φθονούντων οἱ τῆς εὐπραγίας, μήτε ὑποπτεύσας, μήτε μισήσας, ἐγκειμένων τῶν διαβαλλόντων καὶ ἐπιβουλεύειν αὐτῷ τὸν ἄνδρα φασκόντων, ἐπὶ δεῖπνον ὡς τὸν Λικίννιον ἀπῆλθε ἄκλητος, καὶ πᾶσαν τὴν φρουρὰν ἀποπεμψάμενος, πρῶτα μὲν τὸν ἰατρὸν τὸν τοῦ Λικιννίου καλέσας, ὑπ᾽ ἐκείνου τοὺς ὀφθαλμοὺς ἀπηλείψατο, ἔπειτα δὲ τὸν κουρέα μετακαλεσάμενος, ξυρεῖν ἐκείνῳ τὸ γένειον παραδέδωκεν. ἐπεὶ δ᾽ ἀπῆλθεν οἴκαδε πρὸς τοὺς εἰωθότας διαβάλλειν τὸν ἄνδρα, "εἰ ἤθελέ με Σούρας ἀποκτεῖναι, χθὲς ἂν ἀπέκτεινεν." οὕτως ἄρα τὸ πιστὸν τῆς γνώμης ἐξῆν[86] αὐτῷ συνήδει πεπραγότι μᾶλλον ἢ ἐξ ὧν ἕτεροι ἐδόξαζον, ἐβεβαιοῦτο. διὸ δὴ ζῶν τε ὁμοίως ἔτι καὶ μετὰ τοῦτο τοῦ βίου παυσάμενος, κατ᾽ ἴσον προσεκυνεῖτο τοῖς κρείττοσιν.

Ὅτι Κάσσιος ὁ τῆς Συρίας ἡγούμενος, ἀνὴρ δεινὸς τὰ πολέμια, πλεῖστά τε καὶ λόγου ἄξια κατὰ τὸν Παρθικὸν πόλεμον ἀποδειξάμενος, ἄλλως δὲ οὖν νεωτεροποιός, καινοτομεῖν ἐπήρθη, πρὸς τῆς Φαυστίνης τῆς τοῦ Μάρκου γαμετῆς ἐς τήνδε προαχθεὶς τὴν ἔννοιαν. αὐτὴ γὰρ τὸν Μάρκον ἀρρωστήσαντα τεθνή-

84 ἐπιθῆναι Cod. 85 λίννιον Cod. 86 Leg. ἐξ ὧν.

ξεσθαί τε καὶ ἄλλως νοσώδη ὄντα οἰηθεῖσα, τὸ μὴ εἰς ἕτερον περιελθούσης τῆς ἡγεμονίας ἰδιωτεύσῃ, τοῦ Κομόδου ἔτι νέου ὄντος, καὶ ἄρχειν οὐκ ἐπιτηδείου, ἔπεισε τὸν Κάσσιον, κρύφα πέμψασα τῶν αὐτῇ πιστῶν τινὰς, ἐπιθέσθαι τῇ βασιλείᾳ, ἢν αἴσθηται τὸν Μάρκον τεθνεῶτα· συνοικήσειν τε αὐτῷ καὶ τἄλλα συμπράξειν ὑποσχομένη. ὡς φήμης τινὸς ψευδοῦς τεθνηκέναι οἱ δηλωσάσης τὸν βασιλέα, προεξανέστη τῆς ἀληθείας, ἄκων τε πολέμιος ἀνεφάνη τῷ αὐτοκράτορι.

Τούτων μὲν οὖν ἕνεκα ὁ Μάρκος τόν τε Κόμοδον ἐκ τῆς Ῥώμης διεπέμψατο, καὶ ἐπὶ τὴν Συρίαν ἐκ τῆς Παιονίας ἐστάλη, οὐ μὴν ὅπλων αὐτῷ κατὰ τῶν ἐπαναστάντων ἐδέησεν. ὁ γάρ τοι Κάσσιος[84] ἀναιρεθεὶς πρός τινος τῶν ἀμφ' αὐτὸν ἔφθασεν. καθ' ἡσυχίαν δ' οὖν τήν τε Συρίαν καὶ Αἴγυπτον ἐπελθὼν, οὔτε δῆμον οὔτε πόλιν, οὔτε ἰδιώτην, οὔτε ἄρχοντα ἐσπουδακέναι τὰ τοῦ Κασσίου δόξαντα ἐπολυπραγμόνησεν ἢ ἐκόλασεν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐν Ῥώμῃ συνειλημένων. ἐξεληλεγμένοι γὰρ ἦσαν κἀνταῦθα τῶν βουλευτῶν συχνοὶ, τὰ τοῦ Κασσίου[85] περιφανῶς ἐσπουδακότες, ἐπέστειλε τῇ βουλῇ, μηδὲν χαλεπόν γνῶναι. τούτοις ἄντικρυς τοῖς ῥήμασι χρησάμενος· αὐτὰ γὰρ εἰρήσεται, τὴν χρηστότητα τοῦ ἀνδρὸς σαφῶς ἐνδεικνύμενα. ἦν δ' οὖν τοιαῦτα· "ἱκετεύω "ὑμᾶς ὦ βουλὴ, καθαράν μου τὴν ἀρχὴν ἀπὸ παντὸς αἵματος "βουλευτικοῦ φυλάξασθαι· μὴ γένοιτο τινὰ ἐξ ὑμῶν ἐπ' ἐμοῦ ἢ "τῇ ἐμῇ ἢ τῇ ὑμετέρᾳ ψήφῳ θανατωθῆναι." καὶ τέλος ἔφη, "ὅτι "ἂν μὴ τούτου τύχω, ἀποίσομαι πρὸς τὸν θάνατον·" καὶ οὐκ ἐπῆρε τὸν Μάρκον, οὐδὲ προσηγάγετο, ἐκβῆναι τῶν συνήθων λογισμῶν, οὐ τὸ ἄδικον καὶ ἀνόσιον τῶν τετολμημένων, οὐχ ἡ ἀπιστία τῶν τολμησάντων, οὐ τὸ ὑπὲρ ὁμοίων ἐς αὖθις δέος.

[86]Ὅτι μέχρι μέν τινος ὁ Κόμοδος πάντα ἔπραττε τοῖς πατρικοῖς φίλοις συμβούλοις χρώμενος. ἐπειδὴ δὲ Περέννιον ἔπαρχον τῶν στρατοπέδων κατέστησεν, ἄνδρα τὸ μὲν γένος Ἰταλιώτην, πονηρὸν τὸ ἦθος, αὐτὸς μὲν τρυφαῖς καὶ συμποσίαις ἐσχόλαζεν, οὗτος πάσης τῆς ἀρχῆς τὴν ἐξουσίαν ἐνδυσάμενος, τούς τε πατρῴους φίλους πρώτους διαβάλλειν ἤρξατο· καὶ ὅσοι πλούσιοι ἦσαν,

[84] κάσιος Cod. [85] κασίου Cod. [86] Cf. Herodian. Hist. i. 8.

τούτους εἰς ὑποψίαν ἀγὼν, τὸ μειράκιον ἐξεφόβει, ὡς ἂν αὐτὸς[86] διαχρησάμενος, ἀφορμὴν αὐτῷ παράσχοι ἁρπάζειν τὰ ἐκείνων. μέχρι μὲν οὖν τινὸς ἐπεῖχε τὸν νέον ἡ τοῦ πατρὸς μνήμη, καὶ ἡ τῶν φίλων αἰδώς· ἀλλ' ὥσπέρ τινος βασκάνου τύχης ἀνατρεπούσης αὐτοῦ τὴν κοσμίαν ἀρχὴν, συνέβη τί τοιοῦτον. Λουκίλλα ἦν τῷ Κομόδῳ πρεσβυτάτη ἀδελφὴ, αὕτη πρότερον Λουκίῳ Βήρῳ[87] αὐτοκράτορι συνῴκει, ὃν κοινωνὸν τῆς βασιλείας Μάρκος ἐποιήσατο. ἐπειδὴ οὖν συνέβη τὸν Λούκιον τελευτῆσαι, μενόντων τῇ Λουκίλλῃ τῶν τῆς βασιλείας συμβόλων, Πομπηϊανῷ ὁ πατὴρ ἐξέδοτο αὐτήν· ἀλλὰ καὶ ὁ Κόμοδος ἐφύλαττε τὰς τιμὰς τῇ ἀδελφῇ. ἐπειδὴ δὲ ἠγάγετο αὐτὸς Σκιρπίναν[88], ἀνάγκη τε ἐγένετο τὴν προεδρίαν ἀπονέμεσθαι τῇ τοῦ βασιλεύοντος γυναικὶ, δυσφόρως τοῦτο φέρουσα ἡ Λουκίλλα, τῷ μὲν ἀνδρὶ οὐκ ἐθάρρησεν εἰπεῖν, Κοδράτῳ δέ τινι, εἰς ὃν καὶ διεβάλλετο, ὑπέθετο τὸν Κόμοδον ἀνελεῖν· ὁ δὲ Κυντιανῷ νεανίᾳ θρασυτάτῳ τε καὶ φονικωτάτῳ τὴν ὀλεθρίαν ἀπέτρεψε πρᾶξιν. ὅστις λαβὼν ἐγχειρίδιον, καὶ ὑποστὰς ἐν τῇ τοῦ θεάτρου εἰσόδῳ, ἔστι δὲ αὕτη ζοφώδης, ὥρμησε κατὰ τοῦ Κομόδου. ὡς δὲ διήμαρτε τῆς πληγῆς, κρατηθεὶς ὑπὸ τῶν σωματοφυλάκων, ἅπαντα διήλεγξε. καὶ αὐτὸς μὲν παραχρῆμα δίκην ἀνοίας ὑπέσχεν· ὁ δὲ Κόμοδος ἔκτοτε κοινοὺς ἐχθροὺς ἅπαντας ἐλογίζετο. ὑπῆρξε δὲ καὶ τῷ Περεννίῳ πρόφασις, ἣν ἐζήτει· τήν τε γὰρ ἀδελφὴν ὁ Κόμοδος διεχρήσατο, καὶ πάντας ἀφειδῶς τούς τε ὄντας ἐν τῇ συνωμοσίᾳ, καὶ τοὺς ὡς ἔτυχε διαβαλλομένους ἀπεσκευάζετο, μάλιστα τοὺς πατρῴους καὶ ἀναγκαίους φίλους.

Τοῦτο τοῦ Περεννίου κατασκευάζοντος· ποιησάμενός τε γὰρ ἑαυτὸν ὑπὸ ἐξουσίαν, ἐπιβούλευε τῇ ἀρχῇ· τόν τε Κόμοδον κατεργάσασθαι βουλόμενος, καὶ τοῖς ἑαυτοῦ παισὶ τὴν βασιλείαν διανεῖμαι. ἐγνώσθη δὲ ἡ ἐπιβουλὴ παραδόξως, ὑπὸ φιλόσοφου τινὸς ἐν τῷ θεάτρῳ μεγάλῃ τῇ φωνῇ ἀνακράζοντος· καὶ ὁ μὲν ὑπὸ τοῦ Περεννίου δίκας τῆς παρρήσιας λαβὼν, πυρὶ παρεδόθη· ὁ δὲ Κόμοδος ὑπετόπει τε τὸν Περέννιον, καὶ ἐμέμνητο τῶν λεχθέντων. ὀλίγου δὲ χρόνου διελθόντος, στρατιῶται τινὲς τῶν Ἰλλυριῶν,

86 αὐτοὺς Leg. cum Herod. 87 κήρῳ Cod. 88 Leg. Κρισπῖναν.

λαθόντες τὸν Περεννίου παῖδα, νομίσματα ἐκόμισαν ἐκτετυπωμένα τὴν ἐκείνου εἰκόνα· ἅπερ ἑωρακὼς ὁ Κόμοδος, πεισθεὶς δὲ τοῖς λεχθεῖσιν αὐτῷ πολλάκις, πέμψας διὰ νυκτὸς, ἀποτέμνει τὴν κεφαλὴν τοῦ Περεννίου, καὶ τὴν ταχίστην ἐκπέμπει πρὸς τὸν αὐτοῦ παῖδα, ὃς ἦν ἔπαρχος τοῦ[87] ἐν Ἰλλυριοῖς στρατοπέδου, τὰ ἐπὶ τῆς Ῥώμης ἔτι ἀγνοοῦντι. κελεύει τε αὐτὸν διά τε φιλικῶν γραμμάτων ἥκειν ἐν τῇ Ῥώμῃ· ὡς καὶ τοῦ πατρὸς αὐτοῦ βουλομένου, καὶ τὴν ὕπατον ἀρχὴν αὐτοῦ ληψομένου. ὁ δὲ τῶν ἀγγέλων εἰπόντων ταῦτα, ἀσχάλλων μὲν ὅτι ἀτελῆ κατέλειπε τὰ τῆς τυραννίδος, θαρρῶν δὲ τῇ τοῦ πατρὸς δύναμει, ποιεῖται τὴν ὁδοιπόριαν. γενομένου δὲ αὐτοῦ κατὰ τὴν Ἰταλίαν, οἷς τοῦτο ἐντέλτατο, διεχρήσαντο. τοιοῦτον μὲν δὴ τέλος ἐκείνους κατέλαβεν.

Ὁ δὲ Κόμοδος δύω τοὺς ἐπάρχους καταστήσας· ἀσφαλέστερον ᾤηθη πράττειν. χρόνου δέ τινος διαδραμόντος, ἑτέρα τὶς ἐπιβουλὴ κατ' αὐτοὺς γέγονεν. Μάτερνός τις, ἐκ τῶν στρατιωτῶν φυγὰς, πολλὰ καὶ δεινὰ[88] διαφόρως τολμήσας, πείσας τέ τινας ἀπὸ τῶν αὐτῶν ἔργων, χεῖρα πολλὴν κακούργων συναθροίζει· καὶ πρότερον μὲν τὰς πλησίον ἐλῄστευσε πόλεις· εἶτα καὶ μείζονα τολμήσας, εἰς τὴν Ἰταλίαν εἰσέδυ· καὶ ἐπιτηρήσας ἡμέραν, ἐν ᾗ ὁ βασιλεὺς πανδημεὶ ἑορτὰς ἐπιτελεῖ, καὶ πάντες τὰ ἑαυτῶν σχήματα διήλαττον ὡς ἐβούλοντο, καιρὸν ἐπιτήδειον νομίσας, λαβών τε δορυφόρου σχῆμα ἐπεπήδησε διαχρήσασθαι τῷ Κομόδῳ. ἀλλ' εἷς τῶν σὺν αὐτῷ κακούργων παροξυνθεὶς ὑπὸ φθόνου, προδιαγγέλλει τοῖς τοῦ βασιλέως οἰκείοις· καὶ συλλαβόντες τὸν Μάτερνον, ἀπέτεμεν αὐτοῦ τὸν αὐχένα. Κόμοδος δὲ τοῖς ἑαυτοῦ θέοις ὁμολογήσας χαριστηρίους τινὰς, ὑπέρ τε τῆς σωτηρίας καὶ τῆς βασιλείας ἐπανηγύριζεν.

Ὁ δὲ Κόμοδος ἐκφυγὼν τὴν Ματέρνου ἐπιβουλὴν, πλειονί τε φρουρᾷ ἐχρήσατο, καὶ σπανίως τοῖς δήμοις ἐφαίνετο· τὰ πλεῖστα ἐν προαστείοις διατρίβων. συνέβη γὰρ κατ' ἐκεῖνον τὸν χρόνον, καὶ λοιμωδῆ νόσον κατασχεῖν τὴν Ἰταλίαν, καὶ πολλοὺς διαφθείρειν. ἐπέσχε δὲ καὶ λιμὸς κατ' αὐτὸ τοὺς ἀνθρώπους, ἐκ τοιαύτης αἰτίας. Κλέανδρός τις, τῷ μὲν γένει Φρὺξ, συναυξηθείς τε τῷ

87 τοὺς Cod. 88 δυνὰ Cod.

Κομόδῳ, εἰς τοῦτον ὑπ' αὐτοῦ τιμῆς προῆλθεν, ὡς καὶ τὴν τοῦ σώματος φρουρὰν, καὶ τοῦ θαλάμου καὶ τῶν στρατιωτῶν πρόνοιαν ἐγχειρισθῆναι· ὑπὸ δὲ πλούτου καὶ τρυφῆς ἀνεπείσθη, καὶ πρὸς βασιλείας ἐπιθυμίαν προῆλθεν· ὠνούμενος δὲ πλεῖστον σῖτον, ἀπέκλειεν, ἐλπίζων τόν τε δῆμον καὶ τὸ στρατόπεδον ἐν σπάνει καταστήσας, ἐπιδόσεσι λαμπραῖς [89] ἁλόντας ὑπαγέσθαι· καὶ γυμνάσιον καὶ λουτρὸν μέγιστον κατασκεύασας, τούτους ἐδελέαζεν. οἱ δὲ Ῥωμαῖοι ἀπεχθῶς ἔχοντες πρὸς αὐτὸν, καὶ τῶν δεινῶν τὰς αἰτίας εἰς ἐκεῖνον ἀναφέροντες, τὰ μὲν πρῶτα ἐν τοῖς θεάτροις κακῶς ἠγόρευον· τὸ δὲ τελευταῖον, καὶ ἐν τῷ προαστείῳ τοῦ Κομόδου πανδημεὶ ἐπελθόντες κατεύου[90], καὶ τὸν Κλέανδρον πρὸς θάνατον ᾔτουν. ταραχῆς δὲ οὔσης, τῷ μὲν Κομόδῳ ἐκώλυσεν γνωσθῆναι, αὐτὸς δὲ στρατιώτας ἐπαφῆκεν τῷ δήμῳ, καὶ μεχρὶ τῆς πόλεως διωκόμενον [91] ἔκοπτεν· ὡς δὲ ἐν τῇ πόλει εἰσῆλθεν, οἱ ἐν αὐτῇ μείναντες, αἰσθόμενοι τὸ κατειληφὸς πάθος, ἀποκλείσαντες τὰς εἰσόδους, ἐκ τῶν δομάτων λίθοις καὶ κεράμοις ἔβαλλον τοὺς ἱππέας· οἱ δὲ ἔπασχον ἅπερ ἐδράκεισαν· τιτρωσκόμενοι τοίνυν καὶ μὴ φέροντες εἰς φυγὴν ἐτράπησαν· πολλοὶ δὲ καὶ διεφθάρησαν.

Ἐμφυλίου τε πολέμου τηλικούτου τὴν Ῥώμην κατέχοντος, ἄλλως μὲν οὐδεὶς ἀγγεῖλαι τῷ Κομόδῳ τὰ πραττόμενα ἐβούλετο, δέει τῆς Κλεάνδρου ἐξουσίας· ἡ δὲ πρεσβυτάτη τῶν ἀδελφῶν τοῦ βασιλέως λυσαμένη τὰς τρίχας, καὶ ῥίψασα ἑαυτὴν ἐπὶ τῆς γῆς, ἅπαντα διηγόρευε τὰ τῷ Κλεάνδρῳ πεπραγμένα, καὶ ὅτι τῆς βασιλείας ἐκβάλλονται, εἰ μὴ τὴν ταχίστην πρὸς θάνατον ἐκδοθείη· τότε καὶ τῶν παρόντων τινὲς ἐθάρρησαν, καὶ τοῖς τῆς ἀδελφῆς λόγοις τὸν Κόμοδον ἐξετάραξαν. ἐκπλαγεὶς δὲ ἐκεῖνος, τόν τε ἐπικείμενον κίνδυνον καταλαβὼν, τὴν κεφαλὴν ἀποτμηθῆναι κελεύει τοῦ Κλεάνδρου, καὶ ἐπὶ δόρατος μακροῦ ἐκπέμπει τῷ δήμῳ· ὁ δὲ παραχρῆμα τῆς μανίας ἐπαύσατο, προσανελὼν μέντοι καὶ τοὺς υἱοὺς τοῦ Κλεάνδρου. καὶ ὁ μὲν Κλέανδρος οὕτω τε ἤνθησεν ἐν ὀλίγῳ, καὶ οὕτω διεμαράνθη.

Ὁ δὲ Κόμοδος εἰσελθὼν ἐν τῷ ἄστει μεγαλοφρόνως ὑπεδέχθη· παραθεὶς [92] δὲ τοσούτων κινδύνων, ἀπίστως προσεφέρετο πᾶσιν·

89 λαπραῖς Cod. 90 Leg. κατεβόων. 91 διοκόμενον Cod.
92 Leg. πειραθεὶς.

ἀφειδῶς τε φονεύων, καὶ πάσαις διαβολαῖς πιστεύων, σχολάζων τε ἀλλεπαλλήλαις καὶ ἀκολάστοις τοῦ σώματος ἡδοναῖς, ἡνιόχοις τε καὶ ὑποκριταῖς καὶ θηρίων σφαγαῖς· ὑπὸ δέ τινος τύχης ἐλαυνόμενος, εἰς τοσοῦτον μανίας καὶ παροινίας προυχώρησεν, ὡς τὴν ἰδίαν προσηγορίαν παραιτήσασθαι. ζήτει εν τῷ περὶ κακίας καὶ ἀρετῆς[90].

Ὅτι μετὰ τοῦτο ὁ Κόμοδος ἐπὶ τοῖς οἰκείοις ἀσχάλλων, τοὺς μὲν ἀπιπέμψατο· αὐτὸς δὲ ἐπανελθὼν ἐς τὸ δωμάτιον, ὡς δῆθεν καθευδήσων, λαβὼν δέλτον, γράφει ὅσους χρὴ φονευθῆναι. ὧν πρῶτον ἦν Μαρκία, εἵποντο δὲ Λαῖτος καὶ Ἔκλεκτος· ἐπὶ δὲ τούτοις πολὺ πλῆθος τῶν τῆς συγκλήτου πρωτευόντων· ὡς πότε τὰς Στυμφαλίδας[91] ὄρνεις κατατοξεῦσαι τούτους ἐν τῷ θεάτρῳ βουλόμενος. τοὺς μὲν γὰρ ὡς πρεσβύτας καὶ πατρῴους φίλους αἰδούμενος ἔχειν αἰσχροῦ βίου σεμνοὺς ἐπόπτας· τῶν δὲ πλουσίων τὰς οὐσίας χαρίσασθαι βουλόμενος μονομάχοις. τὴν δὲ δέλτον τίθησιν ἐπὶ τοῦ σκίμποδος, ἔνθα μηδεὶς εἰσῄει· παιδίον δέ τι μικρὸν, ὅπερ ἠγάπα ὁ Κόμοδος καὶ ἐπετέρπετο, Φιλοκόμοδόν τε ὠνόμασεν· τοῦτον λαβὼν τὴν δέλτον[92], ἔπαιζεν ἐπὶ τοῦ σκίμποδος. αἰφνιδίου δὲ τοῦ Κομόδου προελθόντος, ἔμεινε παρὰ τῷ παιδίῳ τὸ γραμματίον· ὅπερ ἀνελομένη ἡ Μαρκία, δεδοικυῖα μή τι τῶν ἀναγκαίων ὑπὸ νηπιότητος διαφθείρει, γνωρίσασα τὴν τοῦ Κομόδου χεῖρα, διεξῆλθε, καὶ εὗρεν αὐτὸ θανατηφόρον, καὶ προπάντων αὐτῇ· ἀνοιμώξασα[93] δὲ καθ' ἑαυτὴν, τὸν Ἐκλεκτὸν μεταπέμπεται· δοῦσα δὲ τὸ γραμμάτιον, "ὅρα" ἔφη, "ποίαν μέλλομεν "παννυχίζειν[94] ἑορτήν·" ὁ δὲ ἀναγνοὺς, κατεπλάγη· καὶ τοῦτο διά τινος πιστοτάτου παραπέμπει παραχρῆμα τῷ Λαίτῳ· ταραχθεὶς δὲ κακεῖνος ἀφικνεῖται πρὸς Μαρκίαν, ὡς δὴ συσκεψόμενος αὐτοῖς· οὐδὲ γὰρ ἦν καιρὸς μελλήσεως. ἀρέσκει δὲ δοῦναι φάρμακον τῷ Κομόδῳ· ὑπέσχετο δὲ ῥᾷστα δώσειν ἡ Μαρκία· εἰώθη γὰρ αὐτὴ κιρνᾶν αὐτῷ ἐν τῷ δείπνῳ τὴν πρώτην δόσιν. ἐλθόντι δὲ αὐτῷ ἀπὸ λουτροῦ δίδωσι[95] καλῶς κεράσασα· ὁ δὲ πιὼν ἀναισθήτως, αὐτίκα ἔπεσεν εἰς ὕπνον, ὑπό τε τοῦ κόπου, καὶ τῆς

90 Hæc sine dubio spectant ad excerpta Const. Porphyrog. Valesii p. 822. quæ Suid. descripsit v. Κόμοδος. 91 τυμφαλίδας Cod. 92 δέλθον Cod. 93 ἀνοιμόξασα Cod. 94 πανυχίζειν Cod. 95 δίδοσι Cod.

ἀλλεπαλλήλου ἡδονῆς ἑλκόμενος· καὶ μικρόν τι ἡσυχάσας, ἤρξατο ἐμεῖν σὺν τῇ προεγκειμένῃ τροφῇ καὶ τὸ φάρμακον· ἡ δὲ Μαρκία φοβηθεῖσα μὴ εἰς πᾶν ἐξεμεθῇ, ἢ διὰ τὴν πλήμην[95] τῆς τροφῆς, ἢ διὰ τὸ προλαμβανόμενον ὑπὸ τῶν βασιλέων ἀλεξιφάρμακον, καὶ πάντες ἀπόλωνται, μεγακαλεῖ[96] καὶ νύκτωρ τὸν Λαῖτον καὶ τὸν Ἐκλεκτόν· οἱ δὲ ὡς ταῦτα ἐπύθοντο, θαρροῦσι τοῦτο· Ναρκίσῳ τινὶ ἀκμαιοτάτῳ ἀποπνίξαι τὸν Κόμοδον· ὁ δὲ εἰσδραμὼν καὶ παρειμένον εὑρὼν[98] ὑπὸ τοῦ φαρμάκου καὶ τῆς μέθης, ἀποσφίγξας τὸν τράχηλον, φονεύει. τοιούτῳ μὲν τέλει βίου ὁ Κόμοδος, βασιλεύσας ἔτεσι ιγ̅ μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, ἐχρήσατο.

Οἱ δὲ ἐπιβουλεύσαντες αὐτῷ, κρύψαι τὸ γενόμενον βουλευσάμενοι, εἰς στρωμνήν[99] τινα εὐτελῆ ὑποβαλόντες τὸ σωμάτιον, καὶ καταράψαντες δι' οἰκετῶν, πάντας λαθόντες τῆς βασιλείου αὐλῆς ἐξεφόρησαν· αὐτοὶ δὲ τὸ πρακτέον ἐβουλεύοντο, φήμην ἐγκατασπείραντες, ὅτι ἐν τῷ μονομαχίῳ ἀποπληξίᾳ ὁ Κόμοδος ἐτελεύτησεν. ἔδοξεν δὲ αὐτοῖς ἐπιλέξασθαι ἄνδρα πρεσβύτην τινὰ, τὸν διαδεξόμενον τὴν ἀρχὴν, ὅπως ἀπὸ τῆς πικρᾶς καὶ ἀκολάστου τυραννίδος πάντες ἀναπνεύσειεν.

Καθ' ἑαυτοὺς δὲ λογιζόμενοι, οὐδένα οὕτως ἐπιτήδειον εὕρισκον ὡς Περτίνακα, τὸ μὲν γένος Ἰταλιώτην, ἐν πολλαῖς πράξεσι στρατιωτικαῖς εὐδοκιμήσαντα, μόνον τῶν Μάρκου φίλου περιλειφθέντα· πρὸς ὃν τῆς νυκτὸς ἀκμαζούσης παραγίνονται, αὐτοί τε καί τινες ὀλίγοι τῶν συνωμοτῶν. ἐπιστάντες δὲ ταῖς θύραις διεγείρουσι τὸν φύλακα. ἀνοίξας δὲ ἐκεῖνος, καὶ θεασάμενος στρατιώτας καὶ τὸν ἔπαρχον, ἀγγέλλει[1] τῷ δεσπότῃ· ὁ δὲ ἥκειν αὐτοὺς κελεύει, προσδοκῶν παραχρῆμα ἀποτέμνεσθαι. εἰσελθόντας δὲ αὐτοὺς ἠσπάσατο, καὶ τὸ κελευσθὲν γένεσθαι προέτρεπεν. τοῦτο γὰρ, ἔφη, διὰ παντὸς ἐνενόει, μόνος περιλειφθεὶς τῶν πατρῴων αὐτοῦ φίλων. προέτεινέ τε πολλάκις τὸν τράχηλον ἀπὸ τοῦ σκίμποδος. πρὸς ταῦτα ὁ Λαῖτος, "παῦσαι," φησὶν, "ἀνάξια σαυτοῦ, "καὶ τῶν προβεβιωμένων σοι λέγων. οὐ γὰρ ἐπ' ὀλέθρῳ τῷ σῷ

95 Leg. πλησμόνην. 96 Leg. μετακαλεῖ. 97 παρειμένων εὑρεῖν Cod.
98 τράχυλον Cod. 99 στρομνήν Cod. 1 ἀγγέλει Cod.

"ἥκομεν[2], ἀλλ' ἐπὶ σωτηρίᾳ, τῇ τε ἡμῶν αὐτῶν καὶ τῆς Ῥώμης· "κεῖται μὲν ὁ τύραννος, δίκην δοὺς τὴν προσήκουσαν· ἥπερ αὐτὸς "ἡμᾶς δρᾶσαι διενοεῖτο. ἡμεῖς δὲ ἥκομεν τὴν βασιλείαν ἐγχει"ριοῦντες· ὃν ἴσμεν προύχοντα ἐν τῇ συγκλήτῳ, βουλῇ, βίῳ, "μεγέθει, ἀξιώματι, ἡλικίᾳ, σεμνότητι, πόθῳ τε τοῦ δήμου."

Ὁ δὲ Περτίναξ. "παύσασθε χλευάζοντες πρεσβύτην." "ἀλλὰ "μὴν," ἔφη, ὁ Ἔκλεκτος· "ἀνάγνωθι τὸ γραμμάτιον, γνωρίζεις "δὲ τὴν Κομόδου χεῖρα·" ἐπιγνοὺς δὲ τὰ γεγραμμένα ὁ Περτίναξ· πεισθείς τε ἀνδράσι, καὶ πρότερον αὐτοῦ φίλοις· πάντα πυθόμενος τὰ πεπραγμένα, ἐπιδίδωσιν ἑαυτόν· καὶ συμπαραλαβόντες, καὶ τῶν λοιπῶν ὅσοι παρῆσαν, ἐπὶ τὸ στρατόπεδον ἠπείγοντο. διαπέμπουσι δέ τινας, τοὺς διαβοήσαντας, ὅτι Κόμοδος τέθνηκεν, Περτίναξ δὲ ἐπὶ τὸ στρατόπεδον ἄπεισι βασιλεύς. διαδραμούσης δὲ τῆς φήμης, πᾶς ὁ δῆμος ἐνθουσιῶντι ἐοικὼς ἐξεβάκχευε καὶ διέτρεχε, βοῶν τε ἀπεπρῆ· καὶ ὅσα πρότερον ἐπεῖχεν ὁ φόβος, ταῦτα προελθούσης ἀδείας καὶ ἐλευθερίας ἐλέγετο. ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ στρατοπέδῳ, ὅ τε Λαῖτος καὶ Ἐκλεκτὸς, εἰσῆλθον ἄγοντες τὸν Περτίνακα, καὶ ἀναγορεύεται βασιλεύς.

Ὅτι εὐταξίας καὶ εὐμοιρίας κατεχούσης τὸν βίον, βασιλεύοντος Περτίνακος, μόνοι οἱ δορυφόροι ἀσχάλλοντες μνήμῃ μάλιστα τῆς προγεγενημένης αὐτοῖς τυραννίδος, ἁρπαγάς[3] τε καὶ βίας ποθοῦντες, ἐβουλεύσαντο ἀποσκευάσασθαι τὸν Περτίνακα, ζητῆσαι δέ τινα τὸν πάλιν αὐτοῖς παρέξοντα ἀκόλαστον ἐξουσίαν. αἰφνιδίως[4] τοίνυν, οὐδενὸς προσδοκῶντος, ἀλλὰ πάντων ἡσυχαζόντων, προσπηδῶσι τοῖς βασιλείοις τὰ ξίφη σπασάμενοι. οἱ δὲ ἐν τῇ βασιλείῳ ὑπηρεσίαι ταραχθέντες, οὐκ ἔμενον, ἀλλ' ἕκαστος, ἣν εἶχεν φρουρὰν καταλιπὼν, ἔφυγεν. ὀλίγοι δέ τινες ἀπαγγείλαντες τῷ Περτίνακι τὴν ἔφοδον, συνεβούλευον φυγεῖν, καὶ τῇ τοῦ δήμου, καὶ τῇ τῆς συγκλήτου βοηθείᾳ, ἑαυτὸν ἐπιδοῦναι. ὁ δὲ οὐχ ἀνασχόμενος, βασιλείας οὐκ ἄξια ταῦτα νομίσας, ἐξῆλθε τοῦ δωματίου, προσδοκῶν πείθειν αὐτοὺς, καὶ παύσειν τῆς ἀλόγου ὀργῆς, αἰδουμένους τὸ τοῦ βασιλέως σχῆμα, καὶ τὴν τοῦ ἀνδρὸς φιλοσοφίαν. ἔτι δὲ λαλοῦντος τοῦ πρεσβύτου, καὶ πολλὰ παραινοῦντος,

[2] ἧκομεν Cod. [3] ἁρπαγάσθαι Cod. [4] ἐφνιδιὸς Cod.

ἐπίπτουσί τε αὐτῷ καὶ φονεύουσιν. δράσαντες ὄντως ὠμὸν ἔργον· καὶ δεδιότες τὸν ἔφοδον τὴν τοῦ δήμου, εἰς τὸ στρατόπεδον δρόμῳ[5] ἀναχωρήσαντες, καὶ τὰς πύλας ἀποκλείσαντες, ἐπὶ τοῦ τείχους ἀνῆλθον, φρουρὰς καταστήσαντες, ἀμυνούμενοι τοῖς ἐπιοῦσιν.

Ἐπειδὴ δὲ διεφοίτησεν εἰς τὸν δῆμον ἡ τοῦ βασιλέως ἀναίρεσις, ταραχή τε καὶ πένθος πάντας κατεῖχε, διέθεόν τε ἐνθουσιῶσιν ἐοικότες, μηδὲ εὑρεῖν μηδὲ ἀμύνασθαι δυνάμενοι τοῖς δεδρακόσι. μιᾶς δέ που καὶ δευτέρας ἡμέρας διαδραμούσης, οἱ μὲν δημόται ἕκαστος καθ' ἑαυτὸν δεδιὼς ὑπανεχώρει· οἱ δὲ ἐν ἀξιώμασιν ὄντες, ἐς τὰ πορρωτάτω τῆς πόλεως κτήματα ἀπεδίδρασκον, ὡς ἂν μή τι δεινὸν ἐκ τῆς ἐσομένης ἀρχῆς παρόντες πάθοιεν. τοιοῦτον μὲν δὴ τέλος τῷ Περτίνακι, βασιλεύσαντι μῆνας ἕξ.

Οἱ δὲ στρατιῶται, ὡς εἶδον μηδένα τολμῶντα ὑπεξελθεῖν τῷ φόνῳ, ἀναβάντες ἐπὶ τὸ τεῖχος ἐκήρυττον, "τίς βούλεται τὴν βασιλείαν ὠνήσασθαι;" ὡς διεφοίτησεν ἡ φήμη, Ἰουλιανός τις ἤδη μὲν τετελεκὼς τὴν ὕπατον ἀρχὴν, ἐν εὐπορίᾳ[6] δὲ πολλῇ[7], ζῶν δὲ κραιπάλαις καὶ τρυφαῖς, καὶ ἄλλοις κακοῖς. ἐκ ταύτης τῆς αἰτίας, οἵ τε στρατιῶται ἠγανάκτουν, καὶ ὁ δῆμος αἰσθόμενος ἐν καταφρονήσει αὐτὸν ἐποιεῖτο, καὶ Νίγρον ἐν τοῖς θεάτροις ἐπεκάλει, βοηθόν τε αὐτὸν γενέσθαι τὴν ταχίστην τῇ Ῥωμαίων ἀρχῇ[8] ἠξίου, ὡς ἐφύβριστα πασχούσῃ. καὶ τοῦτον ἀναγορεύουσι βασιλέα. ὁ δὲ καὶ αὐτὸς ἐξυπτιάζεται πρὸς τὴν τῶν πραγμάτων ἐπιμέλειαν, καὶ ἀνειμένως τοῖς Ἀντιοχεῦσι συνευφραίνετο, εἰς ἑορτὰς καὶ θέας ἐπιδιδοὺς, τῆς τε εἰς τὴν Ῥώμην ἀφόδου ἠμέλει, τοῖς τε Ἰλλυρικοῖς στρατεύμασι, δέον ἐπιφοιτῆσαι τὴν ταχίστην καὶ φθάσαι, οἰκειωσάμενον αὐτὰ, οὐδὲ τῶν πραττομένων τί αὐτοῖς ἐδήλου, ἐλπίζων πάντας ὁμογνώμονας ἔσεσθαι τῇ Ῥωμαίων ἀρχῇ. ταῦτα δὲ αὐτοῦ πράττοντος, διηγγέλθη εἰς Ἰλλυριοὺς καὶ πᾶν τὸ ἐκεῖσε στρατιωτικὸν, ὃ ταῖς ὄχθαις Ἴστρου τε καὶ Ῥήνου[9] ἐπικείμενον, ἀπείργει τοὺς ἐπέκεινα βαρβάρους, καὶ φρουρεῖ τὴν Ῥωμαίων ἀρχήν. ἡγεῖτο δὲ τούτων Σεβῆρος, τὸ μὲν γένος Λίβυς, εἰς δὲ πραγμάτων διοίκησιν γενναῖος. οὗτος πυθόμενος τὴν Ῥωμαίων

[5] δρώμῳ Cod. [6] ἂν εὐπορίαι Cod. [7] πολλὴ Cod. [8] ἀρχῇ quæ deerat Cod. suppl. [9] ῥίνου Cod.

ἀρχὴν μετέωρον φερομένην, ἁρπάσαι καταγνοὺς, τοῦ μὲν ῥαθυμίαν, τοῦ δὲ δυσπραγίαν. ἐνέπειθον δὲ αὐτὸν καὶ ὀνείρατα καὶ χρησμοὶ καὶ σύμβολα. τό γε τελευταῖον ᾠήθη τὸν Περτίνακα ἰδεῖν ἐφ' ἵππου προϊόντα, τὸν δὲ ἵππον ἐκεῖνον μὲν ἀποσεισάμενον, Σεβῆρον δὲ ἀναλαβόντα. οὕτω τοίνυν ὁ Σεβῆρος ἀρθεὶς τὴν γνώμην ἀπόπειραν τῶν στρατιωτῶν ἐποιεῖτο. τὰ μὲν πρῶτα κατ' ὀλίγους ἡγεμόνας τε καὶ χιλιάρχους οἰκειούμενος, περὶ τῆς Ῥωμαίων ἀρχῆς διελέγετο ὡς ἐρέῤῥιπτο[9], οὐδενὸς ὄντος τοῦ κατ' ἀξίαν αὐτὴν λαμβάνοντος, καὶ Περτίνακος φόνον ζητοῦντος, ἡγεμὼν γὰρ τῶν Ἰλλυριῶν ἐπὶ Μάρκου καταστὰς ὁ Περτίναξ μνήμης εἶχε παρ' αὐτοῖς μεγάλως.

Τοιαῦτα τοίνυν λέγοντος τοῦ Σεβήρου, ἐπέδωσαν ἑαυτοὺς οἱ στρατιῶται, μάλιστα διὰ τὸν Περτίνακος φόνον, ὥστε παραχρῆμα καὶ αὐτοκράτορα ἀποδεῖξαι τὸν Σεβῆρον. ὁ δὲ τὴν ἀρχὴν ὑποδεξάμενος, καί τινα προδιαλεχθεὶς τῷ στρατοπέδῳ, εὐθέως τὴν ἐπὶ τὴν Ῥώμην ἄφιξιν προηγόρευσεν, ὀλίγον τινὰ δοὺς καιρὸν τοῖς στρατιώταις ἀναπαύσεως. ὡς δὲ τῆς ὁδοιπορίας ἤρξατο, οὐδαμοῦ τροφὴν βασιλικὴν ἐνδεικνύμενος, ἀλλὰ σὺν τοῖς στρατιώταις διαιτώμενος, ἐπέστη τε τοῖς τῆς Ἰταλίας ὅροις· τήν τε φήμην προφθάσας τοῖς ἐκεῖσε παρὼν ὤφθη· καὶ πάντες αὐτὸν δαφνηφοροῦντες καὶ ταῖς πύλαις ἠνεωγμέναις ἐδέχοντο. τὸ γὰρ πλῆθος τοῦ στρατοῦ τὴν δύναμιν καὶ τὸ πλῆθος ἀκούων, οὔτε δὲ τῷ δήμῳ πιστεύων, οὔτε τοῖς στρατιώταις θαῤῥῶν οὓς ἐψεύσατο, καὶ διὰ τοῦτο οὐδὲ τῆς πόλεως προσελθεῖν ἐτόλμα, ἀλλὰ τὰ ἔνδον παρασκευάζετο, ὡς τὴν Σεβήρου μάχην ἐν τῇ πόλει ποιησόμενος.

Ἐκείνου δὲ ταῦτα βουλομένου, ὁ Σεβῆρος κατέλαβε τὰ τείχη, καὶ κελεύει διὰ πάσης ὁδοῦ λανθάνοντας καὶ κρύπτοντας τὰ ὅπλα ἐν ἰδιωτῶν σχήματι εἰσδύναι τοὺς στρατιώτας, καὶ ἤδη οἱ πολέμιοι ἔνδον ἦσαν, τοῦ Ἰουλιανοῦ ἐξυπτιάζοντος καὶ ἀγνοοῦντος τὰ πραττόμενα. ἐπειδὴ δὲ ταῦτα διάπιστα τῷ δήμῳ ἐγένετο, ἐν πολλῇ ταραχῇ ὄντι διά τε τὴν δύναμιν τοῦ Σεβήρου, τὰ ἐκείνου φρονεῖν προσεποιοῦντο, τοῦ μὲν Ἰουλιανοῦ καταγινώσκοντες ἀνανδρείαν, τοῦ δὲ Νίγρου μέλλησίν τε καὶ ῥαθυμίαν. ὁ δὲ Ἰουλιανὸς

9 Sic.

ἀφασίᾳ τε καταληφθεὶς πέμπει πρὸς τὸν Σεβῆρον, κοινωνὸν αὐτὸν τῆς βασιλείας ἀποφηνάμενος.

Ἡ δὲ σύγκλητος ὁρῶσα τὸν Ἰουλιανὸν ἐν ἀπογνώσει, τῶν δὲ Σεβήρου πάντας ἤδη προσχωροῦντας, συνέδριον ποιησαμένη ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ᾧ ποτε οἱ ὕπατοι τὰ πράγματα διῴκουν, ψηφίζεται, τὸν μὲν ἀναιρεθῆναι, ἀποδεχθῆναι δὲ μόνον αὐτοκράτορα Σεβῆρον. πρεσβείαν τε πρὸς αὐτὸν ἐκπέμπει διὰ τῶν ἐξοχωτάτων τῆς βουλῆς, πάσας τε αὐτῷ προσφέρει τὰς σεβασμίους τιμάς· ἐπὶ δὲ τὸν Ἰουλιανὸν, χιλίαρχον ἀποκτενοῦντα, ἄνανδρον καὶ ἄθλιον πρεσβύτην ἰδίοις χρήμασιν ὠνησάμενον οὕτω πονηρὸν τέλος. ὁ μὲν οὖν εὑρεθεὶς ἔρημος, αἰσχρῶς ὀλοφυρόμενος ἐφονεύθη.

Ἐπεὶ δὲ τὰ παρὰ τῆς συγκλήτου ἐδηλώθη τῷ Σεβήρῳ, ἥτε τοῦ Ἰουλιανοῦ ἀναίρεσις, ἀναβὰς ἐπὶ τοῦ βήματος, αὐτοκράτωρ καὶ Αὔγουστος ὑπὸ Ῥωμαίων ἀνηγορεύθη. ὁ δὲ Σεβῆρος θυμῷ καὶ ὀργῇ εὐθέως πρὸς τοὺς ἐν Ῥώμῃ φίλους αὐτοῦ ἐχρήσατο, καὶ τοῦ Ἀλβίνου τὴν κεφαλὴν δημοσίᾳ ἀνασταυρωθῆναι ἔπεμψεν· αὐτὸς δὲ τὰ κατὰ τὴν Βρεττανίαν διοικήσας, δύο τε ἡγεμόνας ἀντὶ ἑνὸς καταστήσας, πάντας τε τοὺς Ἀλβίνου φίλους φονεύσας, εἰς τὴν Ῥώμην εἰσήλασεν.

Ὅτι Σεβῆρος τῷ υἱῷ Ἀντωνίνῳ τὴν τοῦ Πλαυτιανοῦ[9] θυγατέρα κατεγγύησεν[10], ὃς ἦν ἔπαρχος. ὁ δὲ Ἀντωνῖνος ἀπαρεσκόμενος τῷ γάμῳ, τήν τε γυναῖκα ἐμυσάττετο, καὶ τῷ πατρὶ αὐτῆς ἠπείλει. ὁ δὲ Πλαυτιανὸς ὁρῶν τὸν μὲν Σεβῆρον πρεσβύτην καὶ ὑπὸ νόσου ὀχλούμενον, τὸν δὲ Ἀντωνῖνον ἐμβριθῆ καὶ θρασὺν νεανίαν, δεδιώς τε αὐτοῦ τὰς ἀπειλὰς, δρᾶσαι τι μᾶλλον φθάσας ἢ παθεῖν ἀναμείνας, μηχανᾶται τὸν Σατουρνῖνον[11] ἀναπεῖσαι, ὃς ἦν χιλίαρχος τῶν στρατιωτῶν, οἰκειότατος δὲ τοῦ Πλαυτιανοῦ· ὑποσχόμενος αὐτῷ τὴν ἐπαρχότητα παρασχεῖν, εἰ τῆς βασιλείας ἐπιτύχοι. ταῦτά τε καὶ τοιαῦτα ἀκούσας ὁ ἀνὴρ, ἐξεπλάγη μὲν τὴν ψυχὴν, οὐκ ἐτόλμησε δὲ ἀντειπεῖν, ὡς μὴ παρ' αὐτὰ κολασθείη. εἰδὼς δὲ ἀδύνατον ὂν δύο βασιλεῖς διαχρήσασθαι, καὶ ταῦτα ἐν διαφόροις οἴκοις διατρίβοντας, μηνύει[12] τε ἑαυτὸν τῷ Σεβήρῳ, καὶ διαγ-

9 πλατιανοῦ Cod. 10 κατεγύησεν Cod. 11 σατουρῖνον Cod.
12 μεινύει Cod.

γέλλει[13] ἅπαντα, δεικνύει τε αὐτῷ καὶ γραμματεῖον τῆς ὑποσχέσεως. τοιαῦτα δέ τινα λέγοντος αὐτοῦ, ὡς εἶδε τὸν Σεβῆρον μὴ πιστεύοντα διὰ τὸ πρὸς Πλαυτιανὸν φίλτρον, ἀλλὰ μᾶλλον καὶ τὸν υἱὸν ὑποπτεύοντα, ἔφη· "δέσποτα, κελεύσατέ μοι δηλῶσαι "αὐτῷ διά τινος τῶν ἐμῶν, ὅτι δεῖ τὸ ἔργον κατείργασται[14], καὶ "εὐθέως ὁρᾶτε αὐτὸν ἐνταῦθα προερχόμενον, οἰόμενον ἔρημα τὰ "βασίλεια καταλήψεσθαι, ἡσυχίαν δὲ εἶναι τῶν πραττομένων "κελεύσατε."

Ταῦτα εἰπὼν ἐντέλλεται τινὶ τῶν πιστοτάτων· ὁ δὲ ἄγει τὸν Πλαυτιανὸν παραχρῆμα ἐνδυσάμενον θώρακα τῆς τοῦ σώματος ἀσφαλείας χάριν. ὡς δὲ πάντες αὐτὸν ὑπεδέχοντο, οἰόμενοι ὑπὸ τῶν βασιλέων κεκλῆσθαι, ὅ τε χιλίαρχος ἐνεδρεύων προσεῖπεν αὐτοκράτορα, καὶ τῆς χειρὸς λαβόμενος εἰς τὸ δωμάτιον εἰσήγαγεν, ἔνθα ἔφασκεν ἐρρίφθαι τὰ τῶν βασιλέων σώματα· ἤδη δὲ παρεσκευάκει ὁ Σεβῆρος νεανίας τῶν περὶ αὐτὸν σωματοφυλάκων, οἳ συλληψόμενοι εἰσελθόντα ἐτάχθησαν. ὁ δὲ Πλαυτιανὸς, ὡς εἶδε τοὺς βασιλεῖς ἑστῶτας, ἑαυτὸν δὲ συνεχόμενον, ἀπολογεῖσθαι ἐβούλετο· ὡς δὲ καὶ τὸ τοῦ θώρακος ὑπεφάνη μέρος, τότε ὁ Ἀντωνῖνος τοῖς σωματοφύλαξιν ἐπέτρεψεν ἀνελεῖν αὐτὸν, καὶ δημοσίᾳ ῥίψαι. ὁ μὲν οὖν Πλαυτιανὸς τοιούτῳ ἐχρήσατο τέλει.

Ὁ δὲ Σεβῆρος τοῦ λοιποῦ δύο ἐπάρχους τῶν στρατοπέδων κατέστησεν, αὐτὸς δὲ τὰ πλεῖστα διέτριβεν ἐν τοῖς βασιλικοῖς προαστείοις, τοῖς παραλίοις τῆς Καμπανίας, δικάζων τε καὶ τὰ πολιτικὰ διοικῶν· τὴν δὲ τοῦ Πλαυτιανοῦ θυγατέρα, καὶ τὸν ταύτης ἀδελφὸν εἰς Σικελίαν ἐξέπεμψεν, αὐτάρκη δοὺς περιουσίαν, μιμησάμενος τὸν Σεβαστόν· καὶ γὰρ ἐκεῖνος τοῖς Ἀντωνίου παισὶν οὕτως ἐχρήσατο. ἐπειρᾶτο δὲ καὶ τοὺς παῖδας συνάγειν εἰς φιλίαν, μύθοις τε ἀρχαίοις χρώμενος, καὶ τὰ παρασκευασμένα ὑποδεικνύς· οἱ δὲ οὐδαμῶς ἐπείθοντο, ἀλλὰ καὶ εἰς τὸ χεῖρον ἐτράποντο, οἷά τε νεανίαι ὄντες, καὶ ὑπὸ βασιλικῆς ἐξουσίας εἰς πάσας ἡδονῶν ῥοπὰς ἀπλήστως ὁρμώμενοι· καὶ ἤσχαλλεν ἐπὶ τῷ τοιούτῳ βίῳ τῶν παίδων. νικήσας δὲ τοὺς Βρεττανικοὺς, καὶ ἤδη γηραιὸς

13 διαγγέλει Cod. 14 Cod. κατείργασθαι (with στ written above). aut leg. δεῖ τὸ ἔργ. κατεργάζεσθαι: aut, ὅτι δὴ τὸ εργ. κατείργασται.

ὢν, καὶ ὑπὸ τῆς νόσου ὀχλούμενος, ἠναγκάζετο οἴκοι μένειν· τὸν δὲ Ἀντωνῖνον ἐπειρᾶτο ἐκπέμπειν, διοικήσοντα τὰ τῶν στρατοπέδων· ὅστις τοῦ μὲν πολέμου κατεφρόνει, μοναρχήσειν δὲ ἠπείγετο, καὶ τὸν πατέρα βραδύνοντα πρὸς τὸν θάνατον, ὀχληρὸν ἐνόμιζεν, καὶ τοὺς μὲν ἰατροὺς καὶ ὑπηρέτας ἀνέπειθε κακουργῆσαι περὶ τὴν θεραπείαν τοῦ γέροντος, ὡς ἂν θᾶττον αὐτοῦ ἀπαλλαγείη. πλὴν ἀλλὰ μόλις ποτὲ Σεβῆρος, λύπῃ τὸ πλεῖστον διαφθαρεὶς, ἀνεπαύσατο, βασιλεύσας ι̅ καὶ η̅ ἔτη.

Ὁ δὲ Ἀντωνῖνος τοῦ πατρὸς ἀποθανόντος λαβόμενος ἐξουσίας, εὐθὺς πάντας φονεύειν ἤρξατο, τούς τε ἰατροὺς μάλιστα, οἳ μὴ ὑπήκουσαν αὐτῷ· ἰδίᾳ τε δώροις καὶ μεγάλαις ὑποσχέσεσι τοὺς τῶν στρατιωτῶν ἡγεμόνας ἐθεράπευεν, ὡς ἂν μόνον αὐτὸν αὐτοκράτορα ἀποδείξωσιν. οὐ μὴν ἔπειθε τὸ στρατιωτικόν. μεμνημένοι γὰρ τοῦ Σεβήρου, ἴσην αὐτοῖς τιμήν τε καὶ εὔνοιαν παρείχοντο. ὁ δὲ Ἀντωνῖνος, ἐπεὶ μὴ προσεχώρει αὐτῷ τὰ τῶν στρατοπέδων, σπεισάμενος εἰρήνην εἰς τοὺς βαρβάρους, ἐπὶ τὴν Ῥώμην ἠπείγετο. καὶ ἐπειδὴ κατέλαβε τὴν μητέρα καὶ τὸν ἀδελφὸν ἐν τοῖς μεθορίοις τῆς Ῥώμης, ἅμα αὐτοῖς ἐπὶ τὴν πόλιν ἀφίκετο. ὡς δὲ αὐτοὺς ὁ δῆμος δαφνηφορῶν ὑπεδέξατο, ἥτε σύγκλητος αὐτοκράτορας προσηγόρευσεν, καὶ κηδεύσαντες τὸν πατέρα, ἀνῆλθον εἰς τὰ βασίλεια· διελόμενοι δὲ αὐτὰ ἑκάτερος ᾤκει, παραφράττεσθαι κελεύσας πάσας εἰσόδους, εἴ τινες λανθάνουσαι ἦσαν. μόναις δὲ δημοσίαις ἐχρῶντο, ἰδίας φρουρὰς ἐπιστήσαντες, οὐδὲ συνιόντες τὴν πρὸς τὸν πατέρα τιμὴν ἐστασίαζον πρὸς ἀλλήλους, ἐμίσουν τε καὶ ἐβουλεύοντο κατ᾽ ἀλλήλων, καὶ τίς πρῶτος τὸν ἕτερον ἀποσκευάσεται. ἐμερίζοντο δὲ καὶ πάντων αἱ γνῶμαι, ὅσοι ἐν ἀξιώμασιν ἦσαν.

Ὁ μὲν γὰρ Γέτας ἐπιεικείας τρόπον ἐπεδείκνυτο, ὁ δὲ Ἀντωνῖνος ὠμότητος. τούτους δὲ ἡ μήτηρ μέλλοντας διαιρεῖσθαι τὴν ἀρχὴν, καὶ τοῦ μὲν Ἀντωνίνου πάντα τὰ ὑπὲρ Εὐρώπην δεχομένου, τοῦ δὲ Γέτα τὴν ἀντικειμένην ἤπειρον, Ἀσίαν καλουμένην πᾶσαν, ἤρεσκε, τὸν μὲν Ἀντωνῖνον ἐπὶ τὸ Βυζάντιον ἱδρῦσαι τὸ στρατόπεδον, τὸν δὲ Γέταν ἐν Χαλκηδόνι τῆς Βιθυνίας. οὕτω τε τήν τε σύγκλητον καὶ τὰ ἔθνη καὶ τοὺς στρατιώτας μερίσασθαι.

Ταῦτα δὲ αὐτῶν διατυπούντων, οἱ μὲν ἄλλοι πάντες σκυθρωποῖς

προσώποις εἰς τὴν γῆν ἔνευσαν· ἡ δὲ Ἰουλία, "γῆν μὲν," ἔφη, "ὦ τέκνα, καὶ θάλασσαν εὑρίσκεται ὅπως νείμησθε[14], τὴν δὲ μη-"τέρα πῶς ἂν διέλησθε, καὶ πῶς ἡ ἀθλία εἰς ἑκάτερον ὑμῶν[15] "νεμηθείην; πρῶτον δὲ ἐμὲ φονεύσατε, καὶ διελόντες ἑκάτερος "παρ' ἑαυτῷ τὸ μέρος θαπτέτω." Ταῦτα λέγουσα μετὰ δακρύων καὶ οἰμωγῆς, ἀμφοτέροις τε τὰς χεῖρας περιβαλοῦσα, καὶ ὑπὸ τὰς ἀγκάλας λαβοῦσα, συνάγειν τε ἐπειρᾶτο· πάντας δὲ οἴκτου λαβόντος, διελύθη τὸ συνέδριον, τὸ δὲ μίσος, καὶ ἡ στάσις ηὔξετο. εἰς πάντα γὰρ τὰ ἐναντία ἀλλήλοις ἐφρόνουν, καὶ οἰνοχόους καὶ ὀψοποιοὺς ἀνέπειθον ἐμβαλεῖν δηλητήρια φάρμακα. οὐ ῥαδίως δὲ αὐτῶν οὐδετέρῳ προὐχώρει, πολλῇ γὰρ ἐχρῶντο περὶ τὰ τοιαῦτα φρουρᾷ· τέλος δὲ μὴ φέρων ὁ Ἀντωνῖνος, ἀλλ' ὑπὸ τῆς περὶ τὴν μοναρχίαν ἐπιθυμίας ἐλαυνόμενος, διὰ ξίφους ἐχώρησεν, καὶ τὸν ἀδελφὸν ἐπὶ τοῖς στήθεσι τῆς μητρὸς καταφυγόντα διεχρήσατο.

Κατεργασθέντος οὖν αὐτῷ τοῦ φόνου, προπηδᾷ τοῦ οἴκου θέων, φερόμενός τε δι' ὅλων τῶν βασιλείων, ἐβόα μέγαν κίνδυνον ἐκπεφευγέναι, μόλις τε σωθῆναι· τούς τε στρατιώτας οἳ φρουροῦσι τὰ βασίλεια, κελεύει αὐτὸν ἁρπάσαντας ἀπάγειν εἰς τὸ στρατόπεδον. πιστεύσαντές τε ἐκεῖνοι, τὸ πεπραγμένον ἔνδον οὐκ εἰδότες, θέοντι αὐτῷ συνεξέδραμον πάντες· ταραχή τε τὸν δῆμον κατεῖχεν, ὁρῶντες περὶ δείλην διὰ μέσης φερόμενον τῆς πόλεως δρόμῳ τὸν βασιλέα. ὡς δὲ εἰσεπήδησεν εἰς τὸ στρατόπεδον, ἔς τε τὸν ναὸν, ἔνθα τὰ σημεῖα ἔκειτο, ῥίψας ἑαυτὸν ὡμολόγει χάριτας τῆς σωτηρίας· καὶ τοῖς μὲν στρατιώταις τὸ πραχθὲν οὐχ ὡμολόγει· ἐβούλετο γὰρ νοεῖσθαι μᾶλλον ἢ ἀκούεσθαι· καὶ διὰ τοῦτο ὅσα ἐν ιη̅ ὁ Σεβῆρος ἤθροισεν, ἐν μιᾷ ἡμέρᾳ εἰς τοὺς στρατιώτας ἐξέχεεν, ἵνα τὸν ἀδελφοῦ θάνατον κυρώσωσι, καὶ τοῦτον αὐτοκράτορα ψηφίσωνται.

Καὶ ἐπιβὰς τοῦ θρόνου, τοῦ τε ἀδελφοῦ πολλὰ κατηγόρει, καὶ τοὺς αὐτοῦ φίλους δριμέα διεβλέπετο. οἱ δὲ καὶ ὀδυρόμενοι ἐπὶ τοῖς πεπραγμένοις, αὐτοκράτορα αὐτὸν καὶ μονάρχην προσηγόρευσαν. ὁ δὲ Ἀντωνῖνος τρέμοντας καὶ ὠχριῶντας τοὺς πλείστους

[14] νείμεσθε Cod. [15] ἡμῶν Cod.

*καταλιπὼν, ἀνέδραμεν ἐπὶ τὰ βασίλεια, ὅσοι τε τῆς συγκλήτου βουλῆς, καὶ ὅσοι γένει ἢ πλούτῳ περιεῖχον, καὶ ἡ Κομμόδου ἀδελφὴ πρεσβῦτις ἤδη, καὶ ὑπὸ πάντων ὡς Μάρκου θυγάτηρ τιμωμένη, προσαπώλετο, διὸ ἐδάκρυσε παρὰ τῇ μητρὶ αὐτοῦ ἐπὶ τῷ τοῦ παιδὸς φόνῳ. τήν τε γυναῖκα γενομένην αὐτῷ Πλαυτίαν οὖσαν ἐν Σικελίᾳ, καὶ τὸν ἀνεψιὸν αὐτοῦ, Σεβήρου τε ὁμώνυμον, καὶ τὸν Περτίνακος υἱὸν, τῆς τε Κομόδου ἀδελφῆς Λουκίλλης υἱὸν, καὶ εἴ τι γένος ἦν βασιλικὸν ἐν συγκλήτῳ ἐξ εὐπατρίδων καταβαῖνον, πᾶν ἐξέκοψεν· εἴς τε τὰ ἔθνη πέμπων ἡγεμόνας τε καὶ ἐπιτρόπους, ὡς ἐκείνου φίλους διεχρήσατο πάντας· πᾶσά τε νὺξ ἔφερε τῶν ἀνθρώπων φόνους πάντων ἀνθρώπων, καὶ ἐν ἱπποδρομίᾳ πολλοὺς ἐφόνευσεν.*

*Ὅτι ἔδει τὸν Ἀντωνίνου βίον τέλος λαβεῖν· περιεργότατος γὰρ ὢν, ἐβουλήθη μαθεῖν τὸν μετ' αὐτὸν βασιλεύσαντα, ὑποπτεύων τε πάντας αὐτῷ πρὸς κολακείαν θεσπίζοντας, ἐπὶ τέλει Ματερνιανῷ*[16] *τινὶ τότε πάσας αὐτῷ τὰς ἐν Ῥώμῃ πράξεις ἐγκεχειρισμένῳ, πιστοτάτῳ τε εἶναι δοκοῦντι, κελεύει τε αὐτῷ μάγων τοὺς ἀρίστους ζητήσαντι, νεκυίᾳ τε χρησάμενον μαθεῖν. ὁ δὲ ὡς τοῖς κελευθεῖσι χρησάμενος, καὶ μαθὼν σημαίνει τῷ βασιλεῖ. οἱ δὲ διακομίζοντες ἐφίστανται τῷ Ἀντωνίνῳ, ἤδη τε σκευὴν ἡνιόχου ἀναλαβόντι, καὶ τοῦ ἅρματος ἐπιβαίνοντι, προσκομίζουσί τε τὸν σύνδεσμον τῶν ἐπιστολῶν, ἐν αἷς ἦν καὶ τὰ περὶ Μακρίνου γράμματα. ὁ δὲ Ἀντωνῖνος ὁρμὴν ἤδη περὶ τὴν ἱπποδρομίαν ἔχων, κελεύει τῷ Μακρίνῳ ἰδιάσαντι ἐντυχεῖν τοῖς γράμμασι, καὶ εἴτι ἐπεῖγον εἴη, ἄγειν πρὸς αὐτόν. ὁ δὲ ἀναγνοὺς, καὶ περιτυχὼν τῇ κατ' αὐτοῦ θανατηφόρῳ γραφῇ, ταύτην μὲν ἀποκρύπτει, περὶ δὲ τῶν λοιπῶν ἀγγέλλει*[17]*. φοβηθεὶς δὲ μὴ καὶ δεύτερον ταῦτα ὁ Ματερνιανὸς ἐπιστείλῃ, τολμᾷ δή τι τοιοῦτον.*

*Ἦν τις ἑκατόνταρχος Μαρτιάλιος, τῶν σωματοφυλάκων Ἀντωνίνου, τούτου τὸν ἀδελφὸν ἀνῃρήκει ἐπὶ ψευδεῖ διαβολῇ, ἠπείλει τε καὶ αὐτῷ τῷ Μαρτιαλίῳ. τοῦτον ἐπιστάμενος ὁ Μακρῖνος ἀλγοῦντα, πείθει ἐπιβουλεῦσαι τῷ Ἀντωνίνῳ. καιροῦ δέ τινος δραξάμενος, ὅτε ὁ βασιλεὺς ἀπὸ τῆς ἐν Κάραις*[18] *αὐλῆς ἐπὶ τὸν νεὼν*

16. *μαρτενίῳ* Cod. 17 *ἀγγέλει* Cod. 18 Leg. *Κάρραις.*

ἠπείγετο τῆς σελήνης, ἀφειστήκει δὲ τῆς πόλεως οὐ μικρὸν, ἐπειχθέντα αὐτὸν πρὸς χρείας ὑποτοπεῖ, καὶ μονωθέντα[18] παίει. καιρίου δὲ τῆς πληγῆς γενομένης, καὶ πεσόντος αὐτοῦ, πηδήσας ἵππῳ ἔφυγεν ὁ Μαρτιάλιος, καὶ ἐπιδιωχθεὶς κατηκοντίσθη.

Οἱ δὲ ἐν τῷ στρατοπέδῳ συνέδραμον ἅπαντες· καὶ πρῶτος ὁ Μακρῖνος ἐπιστὰς τῷ πτώματι, ὀλοφύρεσθαί τε καὶ θνήσκειν προσεποιεῖτο· οἱ δὲ λοιποὶ ἐχαλέπαινον, συστρατιώτην γὰρ καὶ οὐκ ἄρχοντα ᾤοντο ἀποβεβληκέναι, καὶ οὐδεμίαν ἐπιβουλὴν ὑπώπτευον ἐκ τοῦ Μακρίνου. οὕτω μὲν οὖν ἕκαστος εἰς τὰς σκηνὰς ἐπανήεσαν. ὁ δὲ Μακρῖνος πυρὶ παραδοὺς τὸ σῶμα, καὶ τὴν κόνιν ἐν κάλπει βαλὼν ἔπεμψε τῇ μητρὶ αὐτοῦ ἐν Ἀντιοχείᾳ διατριβούσῃ. ἐκείνη δὲ ἐπὶ ταῖς τῶν παίδων συμφοραῖς ἀπεκαρτέρησε. τοιούτῳ μὲν δὴ τέλος ἐχρήσατο Ἀντωνῖνος καὶ ἡ μήτηρ αὐτοῦ. ὁ δὲ χρόνος ἐν ᾧ ἐμονάρχησεν ἐν ἓξ ἔτεσι συνετέλεσεν.

Ὅτι Μακρῖνος ὁ βασιλεὺς Ῥωμαίων ἐν Ἀντιοχείᾳ διατρίβων, τρόπῳ τέ τινι φιλοσόφου τὸν νηὸν[19] καὶ τὸ βῆμα φυλάττων ἐπεβουλεύθη. οἱ γὰρ στρατιῶται παραλαβόντες τὰς Ἀντωνίνου μνήμας, κατεγίνωσκον τῆς Μακρίνου διαίτης, ἐλυποῦντο δὲ διότι μὴ ἐπὶ τὴν Ῥώμην ἠπείγετο, ἀλλ' ἐν ἀλλοδαπῇ διέτριβε χώρᾳ· ἔσθ' ὅτε καὶ τῶν ἀναγκαίων σπανίζοντες. ὁρῶντες δὲ τὸν Μακρῖνον ἐν τρυφῇ καὶ χλιδῇ[20] ζῶντα, προφάσεως ὀλίγης λαβέσθαι ηὔχοντο εἰς τὸ ἀποσκευάσασθαι τὸ λοιπόν. ἐχρῆν δὲ ἄρα Μακρῖνον ἐνιαυτοῦ μόνου τῇ βασιλείᾳ ἐπιτρυφήσαντα ἅμα τῷ βίῳ καὶ τὴν ἀρχὴν καταλῦσαι, μικρὰν καὶ εὐτελῆ πρόφασιν τοῖς στρατιώταις τῆς τύχης παρασχούσης.

Μέσα[21] ἦν τις ὄνομα, τὸ γένος Φοίνισσα, ἀπὸ Ἐμέσου καλουμένης οὕτω πόλεως, ἀδελφὴ δὲ Ἰουλίας τῆς Σεβήρου γυναικὸς, Ἀντωνίνου δὲ μητρός· παρὰ πάντα οὖν τὸν τῆς ἀδελφῆς βίον ἐν τοῖς βασιλείοις διέτριψε. ταύτην ὁ Μακρῖνος, μετὰ τὴν τῆς ἀδελφῆς τελευτὴν, προσέταξεν εἰς τὴν πατρίδα ἐπανελθοῦσαν, ἐν τοῖς οἰκείοις καταβιῶναι, πάντα ἔχουσαν τὰ ἑαυτῆς· πλείστων γὰρ ἦν χρημάτων πλήρης. ἐπανελθοῦσα δὲ διέτριβε τοῖς ἑαυτῆς.

Ἦσαν δὲ θυγατέρες αὐτῇ δύο, Σοαιμὶς[22] μὲν ἡ πρεσβυτέρα, ἡ

18 μονοθέντα Cod. 19 Sic. 20 χληδῃ Cod. 21 Leg. Μαῖσα.
22 σοσγμία Cod.

δὲ ἑτέρα Μαμμαία[23]. παῖδες ἦσαν, τῇ μὲν πρεσβυτέρᾳ, Βασσιανὸς[24] ὄνομα, τῇ δὲ νεωτέρᾳ Ἀλεξιανός· ὑπὸ δὲ ταῖς μητράσι καὶ τῇ μάμμῃ ἀνετρέφοντο. καὶ ὁ μὲν Βασσιανὸς[25] περὶ ἔτη γεγονὼς τεσσαρακαίδεκα, ὁ δὲ Ἀλεξιανὸς δεκάτου ἐπιβεβηκὼς ἔτους. ἱερῶντο, σχήματι βαρβάρῳ, χιτῶνάς τε χρυσοϋφεῖς φοροῦντες, καὶ ἁλουργίδας ἐνδεδυσκόμενοι[26]. οὕτω τε ὁ Βασσιανὸς ὡραῖος τοῖς στρατιώταις ἐφαίνετο, γένος τε βασιλικοῦ ὑπάρχων, καὶ ἀκμῇ ἡλικίας, ἄλλως τε καὶ τοὺς Φοινίκης στρατιώτας ἔχων ὑπερασπίζοντας, ἔτι δὲ καὶ Ἀντωνίνου υἱὸς ἐφημίζετο, βασιλεύς τε παρὰ παντὸς τοῦ στρατεύματος ὠνομάζετο.

Ὡς δὲ ταῦτα διηγγέλθη, ἐπέδωκεν ἑαυτὴν ἡ πρεσβῦτις, ἑλομένη πάντα κίνδυνον ἀναδέξασθαι. νύκτωρ τε λάθρα τῆς πόλεως ὑπεξῆλθε σὺν ταῖς θυγατράσι καὶ τοῖς ἐγγόνοις. καὶ γενόμενοι πρὸς τῷ τείχει τοῦ στρατοπέδου, ῥᾴστα ὑπεδέχθησαν. εὐθέως τε τὸν παῖδα, πᾶν τὸ στρατόπεδον Ἀντωνῖνον προσηγόρευσεν, τῇ τε πορφυρᾷ χλανίδι περιβαλόντες ἦγον· πάντα τε τὰ ἐπιτήδεια, καὶ παῖδας καὶ γυναῖκας, ὅσα τε εἶχον ἐν κώμαις ἢ ἀγροῖς τοῖς πλησίον εἰσκομίσαντες, καὶ τὰς πύλας ἀποκλείσαντες, ἑαυτοὺς παρεσκεύαζον.

Ὡς δὲ ταῦτα ἀπηγγέλθη τῷ Μακρίνῳ ἐν Ἀντιοχείᾳ διατρίβοντι, ἥ τε φήμη διέδραμεν ἀνὰ τὰ λοιπὰ στρατόπεδα, ὅτι τε Ἀντωνίνου υἱὸς εὑρέθη, καὶ ὅτι ἡ Ἰουλίας ἀδελφὴ χρήματα δίδωσι· πάντα τὰ λεγόμενα ἀληθῆ πιστεύσαντες τάς τε ψυχὰς ἐξεπτόηντο. ἐνῆγε δὲ αὐτοὺς εἰς πραγμάτων καινοτομίαν τὸ Μακρίνου μῖσος καὶ ἡ Ἀντωνίνου μνήμη· καὶ πρό γε πάντων ἡ τῶν χρημάτων ἐλπὶς, ὡς πολλοὺς καὶ αὐτομολοῦντας φοιτᾷν.

Ὁ δὲ Μακρῖνος καταφρονῶν τοῦ πράγματος ὡς παιδαριώδους, χρώμενος δὲ τῇ συνήθει ῥαθυμίᾳ, αὐτὸς μὲν οἴκοι μένει, πέμπει δὲ ἕνα τῶν ἐπάρχων τοῦ στρατοπέδου, δύναμιν δοὺς ὅσην ᾤετο ἐκπορθήσειν τοὺς ἀνθεστηκότας. ἦν δὲ ὁ ἔπαρχος Ἰουλιανός. οὗτος ὡς τῷ τείχει τοῦ στρατοπέδου παρέστη, οἱ ἔνδοθεν στρατιῶται ἀνελθόντες ἐπὶ τοὺς πύργους, τὸν παῖδα τὰ ἔξωθεν στρατῷ δεικνύουσι,

[23] μαμεία Cod. [24] Βασιανὸς Cod. [25] Βασιανὸς Cod. [26] ἐνδυδισκόμενοι Cod.

καὶ Ἀντωνίνου υἱὸν εὐφημοῦντες, βαλάντιά τε χρημάτων μεστὰ ἐπεδείκνυον. οἱ δὲ πιστεύσαντες αὐτοῖς, τοῦ μὲν Ἰουλιανοῦ τὴν κεφαλὴν ἀποτέμνουσιν, καὶ πέμπουσι τῷ Μακρίνῳ· αὐτοὶ δὲ πάντες εἰς τὸ στρατόπεδον εἰσεδέχθησαν. οὕτως ἡ δύναμις αὐξηθεῖσα, οὐ μόνον ἦν πρὸς τὸ ἀπομάχεσθαι πολιορκίᾳ, ἀλλὰ καὶ ἐξ ἀντιστάσεως ἀγωνίζεσθαι ἀξιόχρεως.

Ὁ δὲ Μακρῖνος, ὡς ταῦτα ἐπύθετο, ἀθροίσας πάντα ὃν εἶχε στρατὸν ἀπῄει· καὶ ὁ Ἀντωνῖνος οὐκ ἀναμείνας, ὑπήντησε. συμμιξάντων δὲ ἀλλήλοις τῶν στρατοπέδων, προσεδόθη τὲ ὁ Μακρῖνος, καὶ φοβηθεὶς ἀποδιδράσκει ἐν ἰδιώτου σχήματι. καὶ ὁ μὲν ἔφευγεν, ὁ δὲ στρατὸς ἑκατέρωθεν ἐμάχετο, ἄχρις οὗ Ἀντωνῖνος διεκηρυκεύσατο, τήν τε Μακρίνου φυγὴν διαγγέλλων, καὶ ἀμνησίαν τοῖς ὑπὲρ ἐκείνου μαχομένοις ἔνορκον ὑπισχνούμενος. οἱ μὲν οὖν πεισθέντες[23] προσεχώρησαν. ὁ δὲ Ἀντωνῖνος ἐκπέμπει τοὺς διώξοντας τὸν Μακρῖνον, καὶ καταλαβόντες αὐτὸν ἐν Χαλκηδόνι τῆς Βιθυνίας κρυπτόμενον, τῆς κεφαλῆς ἀπέτεμον· ἐλέγετο δὲ εἰς τὴν Ῥώμην σπεύδειν. τέλει μὲν δὴ τοιούτῳ ἐχρήσατο ὁ Μακρῖνος, συναιρεθέντος αὐτῷ καὶ τοῦ παιδὸς, βασιλεύσας ἐνιαυτὸν ἕνα.

Ὅτι οἱ στρατιῶται ὁρῶντες τὸν Ἀντωνῖνον τὸν νέον καλλωπιζόμενον καὶ ἀνάνδρως κοσμούμενον· ἐπιρρεπεστέρας τὰς γνώμας πρὸς τὸν τῆς Μαμαίας Ἀλέξανδρον εἶχον, καὶ ἐλπίδας κρείττους· ἐφρούρουν τε αὐτὸν παντοίως ὁρῶντες ἐπιβουλευόμενον ὑπὸ τοῦ Ἀντωνίνου. ἥτε μήτηρ αὐτοῦ, οὔτε ποτὸν, οὔτε ἐδώδιμόν τι εἴα τὸν παῖδα προφέρεσθαι τῶν ὑπ' ἐκείνου πεμπομένων. ὀψοποιοῖς τε καὶ οἰνοχόοις ὁ παῖς ἐχρῆτο, οὐ τοῖς βασιλικοῖς, ἀλλὰ τοῖς τῆς μητέρος. ἐδίδου καὶ χρήματα λαθραίως τοῖς στρατιώταις. ταῦτα μαθὼν ὁ Ἀντωνῖνος, παντὶ τρόπῳ ἐπεβούλευε τῷ Ἀλεξάνδρῳ καὶ τῇ μητρὶ αὐτοῦ· ἀλλὰ τὰς ἐπιβουλὰς διεκώλυεν ἡ κοινὴ μάμμη. ὡς δὲ τὰ τῆς ἐπιβουλῆς αὐτῷ οὐ[24] προυχώρει, παραλῦσαι τῆς τοῦ Καίσαρος τιμῆς ἠθέλησε τὸν παῖδα· καὶ οὔτε ἐν ταῖς προσαγορεύσεσιν, οὔτε ἐν ταῖς προόδοις Ἀλέξανδρος ἑωρᾶτο· οἱ δὲ στρατιῶται, ἐπεζήτουν τε αὐτὸν καὶ ἠγανάκτουν, μηδὲ τὴν συνήθη φρουρὰν τῷ Ἀντωνίνῳ πέμποντες.

23 πισθέντες Cod. 24 Om. supplevi.

Ὁ δὲ Ἀντωνῖνος, ἐν δέει πολλῷ γενόμενος, παραλαβὼν τὸν Ἀλέξανδρον κατῆλθεν εἰς τὸ στρατόπεδον· οἱ δὲ ἀνοίξαντες τὰς πύλας, ἐδέξαντο αὐτοὺς, ὑπερφυῶς τὸν Ἀλέξανδρον εὐφημοῦντες. ἐφ' οἷς ὁ Ἀντωνῖνος ἀγανακτήσας, ἐκέλευσε τινὰς πρὸς τιμωρίαν ἐκδοθῆναι. ἐκεῖνοι δὲ μᾶλλον ταραχθέντες, ἄλλως τε καὶ τὸν Ἀντωνῖνον[25] ἀποσκευάσασθαι θέλοντες, ἀσχημονοῦντα βασιλέα. τότε δὴ καὶ τοῖς συλλαμβανομένοις ἐπαμύνειν δεῖν ἡγούμενοι· καιρὸν εὔκαιρον, καὶ πρόφασιν δικαίαν νομίζοντες, τὸν μὲν Ἀντωνῖνον, αὐτόν τε καὶ τὴν μητέρα Σοαγμίδα, παρῆν γὰρ, ἀναιροῦσι, τούς τε περὶ αὐτὸν πάντας, ὅσοι ἔνδον κατελήφθησαν, ὑπήρεται καὶ συνεργοὶ ἐδόκουν εἶναι τῶν ἁμαρτημάτων. τὰ δὲ σώματα τοῦ τε Ἀντωνίνου καὶ τῆς μητρὸς, παρέδοσαν σύρειν τε καὶ ὑβρίζειν τοῖς βουλομένοις· ἅπερ ἐπὶ πολὺ διὰ μέσης τῆς πόλεως συρέντα καὶ λωβηθέντα, εἰς τὰς ὀχθὰς ἀπερρίφη τοῦ Θύβριδος. Ἀντωνῖνος μὲν οὖν, εἰς ἕκτον ἔτος ἐλάσας τῆς βασιλείας, καὶ χρησάμενος τῷ[26] προειρημένῳ βίῳ, οὕτως ἅμα τῇ μητρὶ κατέστρεψεν.

Ὅτι Ἀλεξάνδρου τοῦ Μαμαίας, μετὰ τὴν ἐν Πέρσαις συμφορὰν, κατὰ τὴν Ἀντιόχειαν διατρίβοντος, ἀγγέλλεται[27] αὐτῷ, ὅτι Γερμανοὶ Ῥῆνον καὶ Ἴστρον διαβάντες, τὴν Ῥωμαίων πορθοῦσιν γῆν, καὶ τὰ ἐπὶ ταῖς ὀχθαῖς[28] στρατόπεδα κατατρέχουσιν, πόλις τε καὶ κώμας ἐμπιπρᾶσι· δεῖσθαι τοίνυν τῆς αὐτοῦ παρουσίας. δηλωθέντα δὲ ταῦτα τὸν Ἀλέξανδρον ἐτάραξε, καὶ τοὺς ἐκ τοῦ Ἰλλυρικοῦ στρατιώτας ἐλύπησε, διπλῇ δοκοῦντας κεχρῆσθαι συμφορᾷ, ἔκ τε ὧν ἐπεπόνθεσαν Πέρσαις μαχόμενοι, καὶ ἐξ ὧν ἐπυνθάνοντο τοὺς οἰκείους ὑπὸ Γερμανῶν ἀπολωλότας. ἠγανάκτουν οὖν καὶ τὸν Ἀλέξανδρον εἶχον ἐν αἰτίᾳ. ἦν δὲ καὶ αὐτῷ δέος περὶ τῆς Ἰταλίας· οὐδὲ γὰρ πολλὴν ὁδὸν ἀπέχει ἀπὸ τῶν Ἰλλυριῶν ἐθνῶν τὰ Ῥωμαίων. ἐπαγγέλλει[29] δὲ καὶ ἄκων τὴν ἔξοδον, καταλιπὼν δύναμιν αὐτάρκη ταῖς Ῥωμαίων ὄχθαις. ἀνύσας δὲ τὴν ὁδοιπορίαν, ἐφίσταται τῷ Ῥήνῳ, καὶ τὰ πρὸς τὸν Γερμανικὸν πόλεμον παρεσκεύαζε· τόν τε ποταμὸν ναυσὶ γεφυρώσας, Παρθυαίους τε καὶ Μαυρουσίους πολλοὺς τῷ Ῥωμαίων στρατῷ συμμίξας, ἤρτυε τὸν πόλεμον. ἔδοξε δὲ πρότερον πρεσβείαν πέμψαι

[25] ἀντώνιον Cod. [26] τῶν Cod. [27] ἀγγέλεται Cod. [28] ὄχθες Cod.
[29] ἐπαγγέλει Cod.

πρὸς αὐτοὺς καὶ χρήματα ἐπαγγείλασθαι, ὡς ἂν τῇ φιλαργυρίᾳ πεισθέντες, παύσωνται τοῦ πολέμου. καὶ οἱ μὲν στρατιῶται χαλεπῶς ἔφερον, διατριβῆς τε ματαίας αὐτῆς γινομένης, καὶ μηδὲν πρόθυμον ἢ γενναῖον[28] παρέχοντος τοῦ Ἀλεξάνδρου, ἀλλ' ἐν ἡνιοχείαις τε καὶ τρυφαῖς σχολάζοντι.

Ἦν δέ τις ἐν τῷ στρατῷ Μαξιμῖνος ὄνομα[29], τὸ μὲν γένος Θρᾷξ, μεσοβάρβαρος. πρότερον μὲν ἐν πεδίῳ ποιμαίνων, ἐν ἀκμῇ δὲ γενόμενος εἰς τοὺς ἱππεῖς στρατιώτας ταγείς· εἶτα καὶ ὀλίγον αὐτὸν χειραγωγούσης τῆς τύχης, καὶ ἐθνῶν ἀρχὰς πιστευθείς. τότε δὴ ὁ Ἀλέξανδρος πάσης αὐτῆς τοῦ στρατοῦ νεολαίας ἐπέστησεν· ὡς ἂν ἀσκοίη τε αὐτοὺς, καὶ εἰς τὸ πολεμεῖν ἐπιτηδείους παρασκευάζοι. ὁ δὲ μετὰ πάσης σπουδῆς τὰ ἐγχειρισμένα ποιούμενος, εὔνοιαν πολλὴν παρὰ τῶν στρατιωτῶν ἐκτίσατο. ὅθεν οἱ νεανίαι, ἐν οἷς ἦν τὸ πολὺ πλῆθος μάλιστα, τῇ μὲν ἀνδρείᾳ τῇ Μαξιμίνου ἔχαιρον, τὸν δὲ Ἀλέξανδρον ἐπέσκωπτον, ὡς ὑπὸ τῆς μητρὸς ἀρχόμενον. ὑπεμίμνησκον δὲ ἀλλήλους, τῶν τε ὑπὸ ταῖς ἀνατολαῖς διὰ μέλλησιν αὐτοῦ πταισμάτων· καὶ ὅτι μηδὲν γενναῖον παρέχοιτο ἐς Γερμανοὺς ἐλθών. ὄντες οὖν καὶ ἄλλως εἰς τὸ καινοτομεῖν[30] ἐπιτήδειοι, καὶ τὸ μὲν τῆς ἀρχῆς βαρὺ διὰ μῆκος ἐξουσίας ἡγούμενοι, ἀκερδές τε ἤδη πάσης προανελομένης φιλοτιμίας· ἐβουλεύσαντο ἀποσκευάσασθαι μὲν τὸν Ἀλέξανδρον, ἀνειπεῖν δ' αὐτοκράτορα καὶ Αὔγουστον τὸν Μαξιμῖνον.

Ἀθροισθέντες οὖν εἰς τὸ πεδίον ὡπλισμένοι, ὡς ἐπὶ τὰ συνήθη γυμνάσια προελθόντα, καὶ ἐπιστάντα αὐτοῖς Μαξιμῖνον, πορφύρᾳ τε περιβαλόντες βασιλικῇ, αὐτοκράτορα ἀναγορεύουσιν. ὁ δὲ τὰ μὲν πρῶτα παρῃτεῖτο, καὶ τὴν πορφύραν ἀπέρριπτεν. ὡς δὲ ἐνέκειντο ξιφήρεις ἀποκτείνειν ἀπειλοῦντες, τοῦ παρόντος κινδύνου τὸν μέλλοντα προσελόμενος, ἀνεδέξατο τὴν τιμήν. ὡς δὲ ταῦτα ἠγγέλθη τῷ Ἀλεξάνδρῳ, ἐν μεγίστῃ ταραχῇ γενόμενος, προπηδήσας τῆς σκηνῆς, ἐνθουσιῶν καὶ δακρύων, καὶ τρέμων, τοῦ τε Μαξιμίνου τῆς ἀπιστίας κατηγόρει, καὶ τοὺς νεανίας ἔλεγε ταῦτα τετολμηκέναι, δώσειν τε πάντα ὑπισχνεῖτο ὅσα αὐτοὶ βούλονται.

28 ἠγε ναῖον Cod. 29 ὄνονα Cod. 30 κενοτομεῖν Cod.

Ὡς δὲ ὁ Μαξιμῖνος ὤφθη πλησίον, βοή τε καὶ ἦχος ἐξηκούσθη, πάλιν ὁ Ἀλέξανδρος τοὺς στρατιώτας ἐλιπάρει, προμαχεῖν καὶ σώζειν ὃν ἀνεθρέψαντο, καὶ ὑφ' ᾧ βασιλεύοντι τεσσαρεσκαίδεκα ἔτεσιν ἀμέμπτως βεβιώκεισαν· πάντας τε εἰς οἶκτον καὶ ἔλεον προκαλούμενος, ὁπλίζεσθαι ἐκέλευσεν. οἱ δὲ στρατιῶται, τὰ μὲν πρῶτα ὑπισχνοῦντο· κατ' ὀλίγους δὲ ἀνεχώρουν, καὶ οὐδὲ ὅπλα λαβεῖν ἤθελον, ἀλλὰ καὶ τὸν ἐπάρχοντα καὶ τοὺς οἰκείους Ἀλεξάνδρου ᾔτουν πρὸς ἀναίρεσιν. Παπιανὸς δὲ ἦν ὁ νομοθέτης. οἱ δὲ καὶ τὴν μητέρα ἐπέμφοντο, καὶ μεχρὶ μέν τινος τοιαῦτα βοῶντες προσέμενον.

Ὡς δὲ ὁ τοῦ Μαξιμίνου στρατὸς ἤγγισεν, βοῶντες οἱ νεανίαι προσεκαλοῦντο τοὺς συστρατιώτας, καταλιπεῖν μὲν γυναῖον μικρόλογον, καὶ μειράκιον δειλὸν μητρὶ δουλεῦον· προσιέναι δὲ συστρατιώτῃ ἐν ὅπλοις ἀεὶ καὶ πολεμικοῖς ἔργοις διῃτημένῳ. πεισθέντες[31] οἱ στρατιῶται, τὸν μὲν Ἀλέξανδρον καταλιμπάνουσιν, αὐτοὶ δὲ προσίασι τῷ Μαξιμίνῳ· αὐτοκράτωρ τε ὑπὸ πάντων ἐκεῖνος ἀναγορεύεται. ὁ δὲ Ἀλεξάνδρος τρέμων καὶ λειποψυχῶν, μόλις εἰς τὴν σκηνὴν ἐπανέρχεται, καὶ τῇ μητρὶ περιπλακεὶς καὶ ἀποδυρόμενός τε καὶ αἰτιώμενος αὐτὴν, ἀνέμενε τὸν φονεύσαντα.

Ὁ δὲ Μαξιμῖνος ὑπὸ πάντων Σεβαστὸς προσαγορευθεὶς, πέμπει τινὰς τοὺς φονεύσοντας τὸν Ἀλέξανδρον καὶ τὴν μητέρα· καὶ εἴ τινες ἀνθίσταντο τῶν σὺν αὐτῷ. οἱ δὲ ἐπιπηδήσαντες τῇ σκηνῇ, αὐτὸν τὲ ἀναιροῦσι καὶ τὴν μητέρα· καὶ εἴτινες ἔδοκουν ἐκείνῳ φίλοι, πλὴν τῶν προσολίγων φυγεῖν δυνηθέντων· πάντας γὰρ ὁ Μαξιμῖνος μετ' οὐ πολὺ συλλαβὼν ἀπέκτεινεν. τέλος μὲν δὴ τοιοῦτο κατέλαβε τὸν Ἀλέξανδρον, καὶ τὴν μητέρα· βασιλεύσαντα ἔτεσι ιδ, ὅσον πρὸς τοὺς ἀρχομένους ἀμέμπτως καὶ ἀναιμωτί. φόνου τε γὰρ καὶ ὠμότητος, ἀκρίτων τε ἔργων ἀλλότριος ἐγένετο, εἰς τε τὸ φιλάνθρωπον καὶ εὐεργετικὸν ἐπιρρεπής. πάνυ γοῦν ἡ Ἀλεξάνδρου βασιλεία εὐδοκίμησεν εἰς τὸ ὁλόκληρον, εἰ μὴ διεβέβλητο αὐτῷ τὰ τῆς μητρὸς, εἰς φιλαργυρίαν τε καὶ μικρολογίαν.

Ὅτι ἐπὶ Μαξιμίνου τοῦ βασιλέως, ἐγένετό τις καὶ Ὀσροηνῶν[32] ἀπόστασις· οἳ πάνυ ἀλγοῦντες ἐπὶ τῇ Ἀλεξάνδρου τελευτῇ, τινι

31 πισθέντες Cod. 32 ὀρσοηνῶν Cod.

Κουαρτίωνι[32], τὴν ὕπατον ἀρχὴν διανύσαντι, φίλῳ δὲ γενομένῳ τοῦ Ἀλεξάνδρου, πορφυρίδα τε ὀλεθρίαν περιέβαλον ἄκοντι, καὶ αὐτοκράτορα ὠνόμασαν. ἐκεῖνος μὲν οὖν ἐν τῇ σκηνῇ κατεύδων ἐπιβουλευθεὶς νύκτωρ ἀνῃρέθη, ὑπὸ τοῦ σύνοντος αὐτῷ φίλου, πρὸς χάριν τοῦ Μαξιμίνου.

Ὅτι διὰ τὴν τραχύτητα καὶ ὠμότητα τοῦ Μαξιμίνου εἰς μῖσος καὶ ἀπόστασιν πάντες παρωξύνοντο, ἄρξασθαι δὲ οὐδεὶς ἐτόλμα, ἄχρις οὗ Λίβυες[33] ἐπανέστησαν, ἐξ αἰτίας τοιᾶσδε.

Ἐπετροπεύεται[34] τῆς Καρχηδονίας[35] χώρας τραχύτατα καὶ μετὰ πάσης ὠμότητος, καταδικὰς[36] τε ποιῶν, καὶ χρημάτων εἰσπράξεις, βουλόμενος εὐδοκιμεῖν παρὰ τῷ Μαξιμίνῳ. ἐκεῖνος τεταρτοὺς[37] ἁρμόζοντας τῇ αὐτοῦ γνώμῃ ἐπελέγετο· διὸ τῆς Λιβύης ἄρχων, πᾶσιν μὲν βιαίως ἐπεφέρετο, νεανίους δέ τινας, τῶν παρ' ἐκείνοις εὖ γεγονότων πλουσίων, καταδίκαις περιβαλὼν, εἰσπράττειν χρήματα εὐθέως ἐπειρᾶτο· πατρῴων τε καὶ προγονικῶν οὐσιῶν αὐτοὺς ἀναιρεῖσθαι. ἐφ' οἷς ἀλγήσαντες οὗτοι, τὰ μὲν χρήματα δωσεῖν ὑπέσχοντο, τριῶν ἡμερῶν αἰτήσαντες ἀνάθεσιν· συνωμοσίαν δὲ ποιησάμενοι, πάντας οὓς ᾔδεισαν, ἢ πεπονθότας τι δεινὸν, ἢ παθεῖν δεδοικότας, πείσαντες, κελεύουσι νύκτωρ κατελθεῖν τοὺς ἐκ τῶν ἀγρῶν νεανίσκους, ξύλα τε καὶ πελέκεις ἐπιφέρεσθαι. οἱ δὲ μέγα τι πλῆθος συνελθόντες, ἅμα τὸ περιόρθριον γένεσθαι, εἰς τοὺς τῶν δεσποτῶν οἴκους ἀπαντῶσι, καὶ σὺν αὐτοῖς πάντες ὁρμῶσι ξιφήρεις· καὶ πρότερον μὲν τὸν ἐπίτροπον αἰφνιδίως ἀναιροῦσι, καὶ πολλοὺς τῶν περὶ αὐτῶν στρατιώτας· ἔπειτα καὶ τὸν τῆς χώρας ἡγούμενον.

Ὡς δὲ ταῦτα αὐτοῖς προεχώρησεν, ἐνέργοις μείζοσιν ἔδοσαν· πᾶν τε τὸ ἔθνος ἀναπείσαντες εἰς ἀπόστασιν, ὅπερ ᾔδεσαν, πάλαι μὲν εὔχεσθαι μίσει Μαξιμίνου, φόβῳ δὲ κωλύεσθαι. μεσαζούσης ἡμέρας, ἐπὶ τὴν τοῦ ἀνθυπάτου ὄντος οἰκίαν· Γορδιανὸς δὲ ἦν ὄνομα, κλήρῳ μὲν τὴν ἀνθύπατον λαχὼν, πρεσβύτης δὲ εἰς ἔτος π̄ ἐληλακώς[38]· πολλῶν τε πρότερον πράξεις ὑπατικὰς, Σαβῖνος δὲ

[32] κου ἀρτίωνι Cod. [33] λίβωνες Cod. [34] Leg. ἐπετρόπευέ τις.
[35] Καρκηδονίας Cod. [36] κατὰ δικὰς Cod. [37] Leg. ἐκεῖνός τε γὰρ τοὺς.
[38] Hic plura exciderunt cf. Herodian. vii. 5. p. 139, 14—p. 143, 14. Bekker.

ἦν ὄνομα αὐτῷ, βουλόμενον κωλῦσαι τὰ γινόμενα· ξύλῳ παισθέντα κατὰ τοῦ κρανίου τελευτῆσαι. καὶ ὁ μὲν δῆμος ἐν τούτοις ἦν. ἡ δὲ σύγκλητος ἅπαξ ἀναρριφθέντος κινδύνου, πάντα ἔπραττεν εἰς τὸ ἀποστῆσαι τὰ ἔθνη, πρεσβείαν πρὸς πάντας ἡγουμένους πέμπουσα, καὶ τὴν Ῥωμαίων γνώμην[38] δηλοῦσα, δεομένη τε συναράσθαι τῇ πατρίδι.

Οἱ πλεῖστοι μὲν οὖν προσήκαντο τὴν πρεσβείαν· ὀλίγοι δέ τινες διεχρήσαντο τοὺς ἐλθόντας. καὶ τὰ μὲν κατὰ τὴν Ῥωμαίων πόλιν τε καὶ γνώμην τοιαῦτα ἦν. ἐν δὲ τῇ Καρχήδονι[39], οὐχ ὡς ἤλπισαν τὰ πράγματα προυχώρει[40]. Καπελιανὸς γὰρ ἦν τις ὄνομα τῶν ἀπὸ συγκλήτου· ἡγεῖτο δὲ Μαυρουσίων τῶν ὑπὸ Ῥωμαίοις Νομάδων, ἔχων καὶ στρατιωτῶν οὐκ εὐκαταφρόνητον δύναμιν. τοῦτον ὁ Γορδιανὸς, τῆς ἀρχῆς παραλύσας, τοῦ ἔθνους ἐξελθεῖν ἐκέλευσεν. ὁ δὲ τὸν στρατὸν ἀθροίσας, κατῆλθεν ἐπὶ τὴν Καρχηδόνα. ὡς δὲ ἀπηγγέλθη τῷ Γορδιανῷ ὁ στρατὸς προσιὼν τῇ πόλει, αὐτός τε ἐν ἐσχάτῳ δέει ἦν· οἵ τε Καρχηδόνιοι ταραχθέντες, οἰόμενοί τε ἐν πλήθει ὄχλου, οὐκ ἐν εὐταξίᾳ στρατοῦ νικᾶν, πανδημεὶ πάντες ἐξίασιν.

Ὁ Γορδιανὸς μὲν οὖν ὁ πρεσβύτης ἅμα τῷ τῆς Καρχηδόνος ἐπιβῆναι, ἐν ἀπογνώσει γενόμενος, ἐννοῶν[43] τὴν δύναμιν Μαξιμίνου, οὐδὲν δὲ ὁρῶν ἐν Λιβύῃ ἀξιόμαχον, ἀνήρτησεν ἑαυτὸν βρόχῳ· κρυπτομένης αὐτοῦ τῆς τελευτῆς, τὸν υἱὸν αὐτοῦ, στρατηγήσοντα τοῦ πλήθους εἵλοντο. γενομένης δὲ συμβολῆς, ἅπαντες οἱ Καρχηδόνιοι διεφθάρησαν· οὐχ ὑπομείναντες γὰρ τὴν ἔφοδον τῶν βαρβάρων, ἀλλὰ πάντα ἃ ἐπιφέροντο ὅπλα ῥίψαντες ἔφευγον· ὠθουμένοι δὲ ὑπ' ἀλλήλων οἱ πλείους ἀπώλοντο· ἔνθα καὶ ὁ τοῦ Γορδιανοῦ υἱὸς ἀνῃρέθη, καὶ οἱ περὶ αὐτὸν πάντες, ὡς διὰ πλῆθος πτωμάτων, μηδὲ τοὺς νεκροὺς ταφῆναι, μηδὲ τοῦ Γορδιανοῦ τοῦ νεοῦ εὑρεθῆναι σῶμα. πολλὴ δὲ οἰμωγὴ[44] κατὰ τὴν πόλιν γυναικῶν τε καὶ παίδων ἐγένετο. τοιούτων μὲν δὴ τέλει ὁ Γορδιανὸς ἐχρήσατο. βιώσας τὰ πρῶτα εὐδαιμόνως, ἐν εἰκόνι τε βασιλείας τελευτήσας.

Ὁ δὲ Καπελλιανὸς εἰς Καρχηδόνα εἰσελθὼν, πάντας τε τοὺς

[38] γνώμη Cod. [39] καλχήδονι Cod. [40] προυχάρει Cod. [41] καρκηδόνα Cod. [42] καρκηδονίοι Cod. [43] ἐνοῶν Cod. [44] οἰμογὴ Cod.

πρωτεύοντας ἀπέκτεινεν, καὶ οἵτινες διεσώθησαν ἐκ τῆς μάχης, ἐφείδετο οὐδενός· οὔτε ἱερῶν συλήσεως, οὔτε χρημάτων ἁρπαγῆς, ἀλλὰ καὶ τὰς λοιπὰς περιῄει πόλεις, τοιαῦτα δρῶν. ὡς δὲ ἐς τὴν Ῥώμην ἐδηλώθη ἡ τοῦ πρεσβύτου τελευτὴ, ἐν πολλῇ ἀφασίᾳ ἐγένοντο. ἔδοξεν οὖν αὐτοῖς συνελθεῖν, καὶ περὶ τῶν πρακτέων σκέψασθαι, καὶ προστησαμένους ἐπιλέξασθαι βασιλέα, συνῆλθον εἰς τὸ Καπιτώλιον· καὶ ψηφίζονται βασιλεῖς, Μαξιμόν τε καὶ Βαλβῖνον, εὐθέως τε αὐτοκράτορας ὀνομάζουσιν.

Ὁ δὲ Μαξιμῖνος ἥσθη[44] μὲν ἐπὶ τῇ τῶν Ἰταλιωτῶν εὐθὺς φυγῇ, ἐλπίζων πάντας τοῦτο ποιήσειν· ὁ δὲ στρατὸς ἤχθετο, ἐν ἀρχῇ λιμοῦ πειρώμενος. διανυκτερεύοντες οὖν ἐπὶ τὰς Ἄλπεις ἤγοντο ὄρη ὑψηλά[45]. ὡς δὲ ταύτας διέβησαν ἀκωλύτως, καταβαίνοντες εἰς τὸ πεδίον, ἤδη ἀνεθάρρησαν τε καὶ ἐπαιώνισαν[46]. ἔνθα ἦν πόλις Ἀκυληΐα, πρὸς ἣν καταχθεὶς ὁ Μαξιμῖνος, εὗρε μὲν τὰς πύλας κεκλεισμένας· τὸν δὲ στρατὸν ἤδη ἀπαγορεύειν, καὶ ἀναχωρεῖν βουλόμενον τῆς πολιορκίας, βαλλόμενον λίθοις τε καὶ δόρασιν. ὁ δὲ Μαξιμῖνος ἀγανακτήσας πρὸς τοὺς στρατηγοὺς, ὡς ἀμελέστερον μαχομένους, αὐτὸς τῆς μάχης εἴχετο.

Οἱ δὲ ἀπὸ τῆς Ἀκυληΐας πανδημεὶ ἐπὶ τῶν τειχῶν νύκτωρ καὶ μεθ' ἡμέραν ἀπεμάχοντο. ἐστρατήγουν δὲ αὐτῶν καὶ πάντα διὰ φροντίδος εἶχον ἄνδρες β̄ ἀπὸ ὑπατείας, ἐπιλεχθέντες δὲ ὑπὸ τῆς συγκλήτου· ὧν ὁ μὲν Κρισπῖνος, ὁ δὲ Μηνόφιλος[47] ἐκαλεῖτο· καὶ μετὰ πολλῆς προνοίας, τὰ ἐπιτήδεια εἰσεκομίσαντο· ἦν δὲ καὶ ὕδατος ἀφθονία. ὁ δὲ Μαξιμῖνος, ἔδοξε πέμπειν ἐν σχήματι πρεσβείας τοὺς κάτωθεν διαλεξομένους· εἰ ἄρα πείσειαν αὐτοὺς ἀνοῖξαι τὰς πύλας. ὁ δὲ Κρισπῖνος περιέθεε, δεόμενος μὴ πείθεσθαι ὑποσχέσεσι τυράννου ἐπιόρκου, ἀλλὰ πρὸς τὴν Ῥωμαίων σύγκλητον εὔνοιαν φυλάττειν· πολλῶν δὲ καὶ χρησμῶν αὐτοῖς καὶ μαντείων αἰσίων γενομένων, ἔπεισεν αὐτοὺς ἀποδιῶξαι τοὺς πρέσβεις.

Ὁ δὲ Μαξιμῖνος ταῦτα μαθὼν, πλείονι τῷ θυμῷ ἐχρήσατο· καὶ γεφυρώσας τὸν παραρρέοντα ποταμὸν, προσήγγισε τῷ τείχει,

44 ἤθη Cod. 45 ὀρῆν ψυλὰ Cod. 46 ἐπαιώνησαν Cod. 47 μινόφιλος Cod.

καὶ τειχομαχεῖν ἤρξατο παντὶ[47] σθένει. πολλῶν δὲ σχεδὸν ἑκάστης ἡμέρας γενομένων προσβολῶν, καὶ παντὸς τοῦ στρατοῦ ὥσπερ σαγηνεύοντος τὴν πόλιν, μετὰ πολλῆς βίας καὶ προθύμου μάχης, ἀντεῖχον οἱ Ἀκυλήσιοι πανδημεὶ ἅμα γυναιξὶ καὶ παισίν[48]· οὐδέ τις ἦν, ὃς μὴ μετεῖχε τῶν ὑπὲρ πατρίδος πόνων· οὐδὲ ᾤετο Μαξιμῖνος ἄλλως αὐτῷ τὴν ἐπὶ Ῥώμην ὁδὸν ἔσεσθαι εὐπρεπῆ, εἰ μὴ πρότερον τὴν ἀντιστάσαν τῆς Ἰταλίας πόλιν κατέλῃ. ὑποσχέσεσί τε οὖν καὶ δωρεαῖς, αὐτός τε καὶ ὁ παῖς αὐτοῦ, ὃν πεποιήκει Καίσαρα, περιθέοντες τὸν στρατὸν ἀνέπειθον.

Οἱ δὲ Ἀκυλήσιοι λίθοις τε, κιρνῶντες θείῳ καὶ ἀσφάλτῳ, καὶ πίσσῃ καὶ ἐλαίῳ, ἔβαλλον τὸν στρατόν· πυρώσαντες γὰρ ταῦτα, ὄμβρου δίκην κατεχώννυον· ὥστε γυμνοῦσθαι αὐτοὺς τῶν ὅπλων καιομένους, καὶ διαφθείρεσθαι τά τε πρόσωπα καὶ τὰς χεῖρας ἀκρωτηριαζομένους· ἀλλὰ μὴν καὶ τὰς προσαγομένας μηχανὰς ταύτῃ τῇ σοφίᾳ κατέκαιον. τῶν μὲν οὖν πρώτων ἡμερῶν ἀντίπαλός πως καὶ ἰσόρροπος ἔμενεν ἡ τύχη τῆς μάχης· χρόνου δὲ γενομένου, ὅ τε στρατὸς τοῦ Μαξιμίνου, ὀκνηρὸς ἐγένετο, καὶ πταίων τῆς ἐλπίδος ἀθύμως διέκειτο. οἱ δὲ Ἀκυλήσιοι, ἐρρώννυντό τε, καὶ τῶν στρατιωτῶν κατεφρόνουν· ὥστε καὶ σκώπτειν[49] τὸν Μαξιμῖνον, καὶ ὕβρεις αἰσχρὰς[50] αὐτὸν ἀπορριπτεῖν· ἐφ᾽ αἷς ἐκεῖνος κινούμενος τοὺς ἰδίους ἐκόλαζεν, ὡς ῥαθύμως καὶ ἀνάνδρως προσφερομένους τῇ πολιορκίᾳ· ὅθεν αὐτῷ περιεγένετο, πρὸς μὲν τῶν οἰκείων μῖσός τε καὶ ὀργὴ, πρὸς δὲ τῶν ἀντιπάλων καταφρόνησις.

Συνέβαινε δὲ τοῖς Ἀκυλησίοις πολλὴν ὑπάρχειν τῶν ἐπιτηδείων ἀφθονίαν. πάντων ἐν τῇ πόλει σεσωρευμένων[51]· ὁ δὲ στρατὸς τουναντίον ἐν σπάνει πάντων ὑπῆρχεν· ὑπὸ σκηναῖς τε αὐτοσχεδίοις καὶ γυμνῷ τῷ ἀέρι διατρίβων. οἱ γὰρ Ῥωμαῖοι πάντα προκατέλαβον, ὑπατικοὺς ἄνδρας προχειρισάμενοι τῆς κατὰ τὴν Ἰταλίαν φρουρᾶς· συνέβαινε δὲ καὶ τὸν στρατὸν δοκοῦντα πολιορκεῖν, αὐτὸν πολιορκεῖσθαι· ὅθεν ἐν ἀπογνώσει γενόμενοι οἱ στρατιῶται, τά τε κατὰ τὴν Ῥώμην, καὶ πᾶσαν τὴν Ἰταλίαν πυθόμενοι, αἰφνιδίως, ἀνα-

[47] ἀντὶ Cod. [48] πεσὶν Cod. [49] σκόπτειν Cod. [50] ἐσχρὰς Cod. mox leg. ες αὐτὸν. [51] σεσορευμένων Cod.

παυομένου τοῦ Μαξιμίνου ἐν τῇ σκηνῇ, καὶ τῆς ἡμέρας ἐκείνης ἐν ἀνέσει τοῦ πολέμου οὔσης, τῶν τε πλείστων εἰς τὰς σκηνὰς ἀνακεχωρηκότων, ἔδοξε τοῖς στρατιώταις, οἱ πρὸς τῇ Ῥωμαίων πόλει στρατόπεδον εἶχον, ὑπὸ τὸ καλούμενον Ἀλβανὸν, ἔνθα παῖδας καὶ γυναῖκας καταλελοίπεσαν, φονεῦσαι τὸν Μαξιμῖνον, ὡς παύσαιντο χρονίου πολιορκίας, μηκέτι πορθοῖεν Ἰταλίαν, ὑπὲρ τυράννου κατεγνωσμένου καὶ μεμισημένου. τολμήσαντές τε οὖν ἐπίασι τῇ σκηνῇ, περὶ μέσην ἡμέραν, συναραμένων αὐτοῖς καὶ τῶν δορυφόρων. τάς τε εἰκόνας ἐκ τῶν σημείων κατασπῶσι, καὶ αὐτὸν σὺν τῷ παιδὶ ἀναιροῦσι. φονεύουσι δὲ καὶ τὸν ἐπάρχοντα τοῦ στρατοῦ· πάντας τε ἀναιροῦσι τοὺς ἐκείνῳ θυμήρεις· ῥίψαντές τε τὰ σώματα τοῖς βουλομένοις ἐνυβρίζειν. τούτων δὲ τὰς κεφαλὰς ἐς τὴν Ῥώμην ἔπεμψαν. τοιούτῳ μὲν δὴ τέλει Μαξιμῖνος καὶ ὁ παῖς αὐτοῦ ἐχρήσαντο, βασιλεύσαντες ἔτη γ̄· δίκας πονηρᾶς ἀρχῆς ὑποσχόντες.

Ὁ δὲ στρατὸς ὡς ἐπύθετο τὰ γινόμενα, πρὸς τὴν Ἀκυληΐαν[52] παραγενόμενος ἐν εἰρηνικῷ σχήματι, ἐντὸς μὲν τῶν τειχῶν οὐχ ὑπεδέχθη, τούς τε ὑπὸ τῆς συγκλήτου ἀναδειχθέντας αὐτοκράτορας εὐφήμει· οὕτω τε ἔμεινεν παρὰ τὰ τείχη, κομιζόμενος τὰ χρειώδη παρὰ τῶν ἔνδον. οἱ δὲ ἱππεῖς, οἱ τὴν Μαξιμίνου κεφαλὴν κομίζοντες, μεταξύ τ' Ἀλσίνου τε καὶ Ῥαβέννης περιέτυχον Μαξίμῳ αὐτοκράτορι, διατρίβοντι ἐν Ῥαβέννῃ· ἔνθα τούς τε ἀπὸ Ῥώμης ἐπιλέκτους, καὶ τοὺς ἀπὸ Ἰταλίας λογάδας ἤθροιζε· ἀφῖκτο δὲ αὐτῷ καὶ συμμάχων πλῆθος. παρασκευάζοντι δὲ αὐτῷ τὰς δυνάμεις προίασι, τὴν κεφαλὴν Μαξιμίνου φέροντες καὶ τοῦ παιδός· εὐθέως τε Μάξιμος πέμπει τοὺς ἱππεῖς ἐς τὴν Ῥώμην, ἀγγέλλοντας[53] τὰ πραχθέντα τῷ δήμῳ· καὶ τὴν κεφαλὴν κομίζοντας τοῦ πολεμίου ἀνεσκολοπισμένην, ὡς πᾶσι περιόπτος εἴη. καὶ οὐδὲ εἰπεῖν ἔστιν λόγῳ, ἐκείνης τῆς ἡμέρας τὴν ἑορτήν. οὐδὲ γὰρ ἡλικία τις ἦν ἡ[54] μὴ πρὸς τοὺς βωμούς[55] τε καὶ τὰ ἱερὰ ἠπείγετο, συνηδόμενοί τε ἀλλήλοις, καὶ ἐς τὸν ἱππόδρομον συνθέοντες, καὶ αὐτὸς[56] ἑκατόμβας[57] ἔθυεν· ἀρχαί τε πᾶσαι καὶ ἡ σύγκλητος,

[52] Cod. ἀκυλίαν. [53] Cod. ἀγγελόντες. [54] Cod. ἢ. [55] Cod. βομους. [56] Βαλβῖνος suppl. ex Herodian. [57] Cod. ἑκατόμενας.

ἕκαστός τε ὥσπερ ἀποσεισάμενος πέλεκυν[57] τοῖς αὐχέσιν ἐπικείμενον, ὑπερευφραίνετο, εἴς τε τὰ ἔθνη ἄλληλοι[58] καὶ κήρυκες διεπέμποντο. καὶ ὁ Μάξιμος ἐπιστὰς τῇ Ἀκυληΐα, ὑπεδέχθη μεγαλοφρόνως· πρεσβείας τε ἐκ πάσης τῆς Ἰταλίας δεχόμενος, εἰκόνας τε καὶ ἀγάλματα καὶ στεφάνους. καὶ αὐτὸς δὲ ὁ στρατὸς, ὁ τὴν Ἀκυληΐαν πορθήσας, προῄει ἐν εἰρηνικῷ σχήματι δαφνηφορῶν, ἀνάγκῃ· ἠγανάκτουν γὰρ ὁρῶντες, τὸν μὲν ὑπ' αὐτῶν ἐπιλεχθέντα βασιλεύειν καθῃρήμενον, κρατοῦντας δὲ τοὺς ὑπὸ τῆς συγκλήτου ᾑρημένους.

Ὁ δὲ Μάξιμος, συγκαλέσας πάντας, βασιλικῶς τε ἀπεφήνατο, ἀμνηστίαν τε πάντων ὑποσχόμενος, καὶ σχημάτων πολλῶν διανομάς· ὀλίγων τε ἡμέρων διατρίψας, τὴν εἰς τὴν Ῥώμην ἐπάνοδον συνεκρότει. καὶ τὸ μὲν ἄλλο στρατιωτικὸν ἀπέπεμψεν εἰς τὰ ἔθνη καὶ εἰς τὰ οἰκεῖα στρατόπεδα· αὐτὸς δὲ ἐπανῆλθεν εἰς τὴν Ῥώμην σὺν τοῖς δορυφόροις καὶ τοῖς ὑπὸ Βαλβίνῳ στρατευομένοις. ἐπανῆλθον δὲ καὶ οἱ ἀπὸ Γερμανίας ἐληλυθότες σύμμαχοι· ἐθάρρει γὰρ αὐτῶν τῇ εὐνοίᾳ, ὡς καὶ τοῦ ἔθνους· ἐπιεικῶς πρότερον ἄρξας, ὅτε ἰδιώτευσεν. εἰσιόντι δὲ αὐτῷ εἰς τὴν Ῥώμην ὅ τε Βαλβῖνος ὑπηντήτο ἐπαγόμενος Γορδιανὸν Καίσαρα· ἥ τε σύγκλητος καὶ ὁ δῆμος εὐφημοῦντες ὥσπερ θριαμβεύοντα ὑπεδέχοντο· ἔχαιρέ τε ὁ δῆμος, αὐτοῖς σεμνυνόμενος εὐπατρίδαις καὶ ἀξίοις τῆς βασιλείας.

Οἱ δὲ στρατιῶται διοίδαινον τὰς ψυχὰς ἐβάρουντο αὐτῶν αὐτὴν τὴν εὐγένειαν, καὶ ἠγανάκτουν ὅτι ἄρα ἔχοιεν ἐκ συγκλήτου βουλῆς βασιλέας· ἐλυποῦντο δὲ αὐτοὺς καὶ οἱ Γερμανοὶ παρόντες· ἀντιπάλους γὰρ ἤλπιζον ἔχειν· τό τε Σεβήρου ὑπόδειγμα αὐτοὺς ἐτάραττεν· ὃ τοὺς Περτίνακα ἀποκτείναντας ἀπέζωσεν. ἐπιτελουμένου δὲ ἀγῶνος τοῦ τῶν Καπιτωλίων, πάντων τε περὶ τὴν πανήγυριν ἀσχολουμένων, αἰφνιδίως ἣν εἶχον γνώμην λανθάνουσαν ἐξέφηναν, καὶ τοῦ θυμοῦ μὴ κρατήσαντες ἀνῆλθον ὁμοθυμαδὸν εἰς τὰ βασίλεια· καὶ τοῖς πρεσβύταις βασιλεῦσιν ἐπεισῆλθον. συνέβαινε δὲ κακείνους μὴ πάνυ τι ἀλλήλοις ὁμονοεῖν· οἷά περ ἡ μοναρχίας ἐπιθυμία εἴωθε ποιεῖν· ὅπερ αὐτοῖς γέγονεν ἀπωλείας αἴτιον. ὡς γὰρ ἐπύθετο ὁ Μάξιμως ἀφικνεῖσθαι τοὺς Πραιτωριανοὺς[59]

57 Cod. πέλεκυ. 58 Leg. ἄγγελοι. 59 Cod. πετρωνιανούς.

καλουμένους, ἐβούλετο μεταπέμψασθαι τοὺς Γερμανοὺς συμμάχους. ὁ δὲ Βαλβῖνος οἰόμενος δόλον τινὰ εἶναι κατ' αὐτοῦ καὶ σόφισμα, ᾔδει γὰρ τοὺς Γερμανοὺς τῷ Μαξίμῳ εὐνοοῦντας, ἐκώλυε, φάσκων οὐ διὰ τοὺς Πραιτωριανοὺς[59] αὐτοὺς ἀφίξεσθαι, ἀλλ' εἰς τὸ περιποιῆσαι τῷ Μαξίμῳ τὴν μοναρχίαν. ἐν ᾧ δὴ περὶ τούτων διεφέροντο, εἰσδραμόντες οἱ στρατιῶται, ἐκστάντων αὐτοῖς τῶν πυλωρῶν, ἁρπάζουσι τοὺς πρεσβύτας. περιρρήξαντες δὲ ἃς εἶχον ἐσθῆτας· γυμνοὺς τῆς βασιλείου αὐλῆς ἐξάγουσιν μετὰ πάσης αἰσχύνης καὶ ὕβρεως, παιόντες καὶ ἀποσκώπτοντες, γενείων τε καὶ ὀφρύων ἐπαραγμένοι. οἱ δὲ[60] Γερμανοὶ ὅπλα ἐλάμβανον ὡς ἀμυνοῦντες[61] αὐτοῖς. μαθόντες οἱ Πραιτωριανοὶ ἀφικνουμένους αὐτούς· ἤδη πᾶν τὸ σῶμα λελωβημένους τοὺς βασιλέας, ἐπὶ τῆς λεωφόρου ἀπέρριψαν· ἀράμενοι τε τὸν Γορδιανὸν αὐτοκράτορα ἀναγορεύουσιν, ἐπειδὴ πρὸς τὸ παρὸν ἄλλον οὐχ εὗρον· βοῶντές τε πρὸς τὸν δῆμον, ὅτι ἄρα εἴησαν ἀποκτείναντες, οὓς ὁ δῆμος ἐν ἀρχῇ οὐκ ἐβούλετο ἄρξαι, Γορδιανόν τε ἐπελέξαντο· ἐκείνου τε ἀπόγονον, καὶ οἷον αὐτοὶ Ῥωμαῖοι ἐξεβιάσαντο· ἔχοντές τε αὐτὸν ἀπῆλθον εἰς τὸ στρατόπεδον· καὶ κλείσαντες τὰς θύρας ἡσύχαζον. οἱ δὲ Γερμανοὶ μαθόντες ἀνῃρημένους καὶ ἐρριμμένους, ὧν χάριν ἠπείγοντο, οὐχ ἑλόμενοι πόλεμον μάταιον ὑπὲρ ἀνδρῶν τεθνηκότων, ἐπανῆλθον ἐς τὸ αὐτῶν καταγώγιον. τέλει μὲν δὴ τοιούτῳ ἐχρήσαντο οἱ προειρημένοι πρεσβῦται.

Ὅτι ἐπειδὴ καὶ Γορδιανὸν ἔμελλε τὸ κοινὸν τοῦ βίου καταλαβεῖν τέλος, ὁ τῆς Συρίας ἡγούμενος ἐπιστέλλει τὸν Περσῶν βασιλέα τοὺς ἰδίους ὅρους ὑπερβάντα τὴν τῶν Ῥωμαίων γῆν κατατρεχεῖν· καὶ δεῖσθαι τῆς αὐτοῦ παρουσίας τὸν πολέμον. ταῦτα Γορδιανὸς ὁ νέος πυθόμενος, λίαν τε ἐν ἀθυμίᾳ γενόμενος, ὁμῶς ἐπαγγέλλει[62] τὴν ἐπὶ Πέρσας ἔξοδον, καὶ τὰς τοῦ Ἰανοῦ πύλας ἀναπετάσας, αἵπερ ἐπὶ τῶν μεγίστων πολέμων διηνοίγοντο, ᾤχετο πρὸς τὴν ἕω. καὶ ὡς εἰς τὸν Εὐφράτην ἀφίκετο, εἴς τε τὰ τοῦ Τίγρητος στόμια, συμβαλὼν τοῖς βαρβάροις, εὐτυχέστατα τὸν πόλεμον διεχείρησεν· μεγάλοις ἀγῶσι τὰς Παρθικὰς δυνάμεις

59 πειρωνιανούς Cod. 60 δὲ suppl. 61 ἀμεινοῦντες Cod.
62 ἐπαγγέλει Cod. 63 ἐφράτην Cod. 64 τίγριτος Cod.

καταβαλών. ἐκεῖθεν δὲ μετὰ τὸ πέρας ἐπανιὼν, ἕκτῳ τῆς ἡγεμονίας ἐνιαυτῷ, πρὸς αὐτοῖς ἤδη τοῖς ὅροις τῆς οἰκείας ἀρχῆς, ὑπὸ Φιλίππου, τὴν βασιλείαν διαδεξαμένου, τοῦ κατ' ἐκεῖνο καιροῦ τὴν τῶν στρατιωτῶν νεολαίαν ἀσκοῦντος, ἐδολοφονήθη, καὶ Φίλιππος ἀναγορευθεὶς βασιλεύς.

Ὅτι Φίλιππος βασιλεύσας, καὶ τοὺς Σκύθας νικήσας, ἐπὶ τὸ Βυζάντιον ἤλαυνεν. καὶ ἐλθὼν ἐς Πέρινθον, ὡς ἠγγέλθη αὐτῷ ἐμφυλίους στάσεις συμβῆναι κατὰ τὴν Ῥώμην, ἅστινας Δέκιος ἐποίησεν ἀπὸ ὑπάτων καὶ ἔπαρχος τῆς πόλεως, τοὺς δυναμένους ἐπισχεῖν τὰ πραττόμενα στέλλει, καὶ τὴν Δεκίου προκαταληψομένους ἐπανάστασιν. αὐτός τε σὺν τοῖς παισὶν ἐπακολουθεῖν· ἐπηγγείλατο. ὡς δὲ ἐς τὴν Ῥώμην ἔφθασαν οὓς ἔπεμψε Φίλιππος, δώροις τε καὶ λακίαις τοῦ δήμου καὶ τῆς βουλῆς ὑπαχθέντες, ἀπαγορεύουσί τε Φιλίππῳ, καὶ τὸν Δέκιον αὐτοκράτορα σὺν τοῖς Ῥωμαίοις προσαγορεύουσι. τούτων ἀγγελθέντων τῷ Φιλίππῳ, κατὰ τὴν Βερόην φεύγοντι, καὶ τοῖς ὑποκολπίοις ξίφεσιν ἀναιροῦσιν, πέμπτον[64] ἐνιαυτὸν προστάντα τῶν πραγμάτων. ἐν δὲ τῇ Ῥώμῃ τὸν παῖδα τούτου οἱ τῆς πόλεως στρατιῶται διέφθειραν. καὶ τὰ μὲν κατὰ τούτους τοιοῦτον ἔσχε τέλος.

Ὅτι ἐπὶ Γάλλου καὶ Βουλουσιανοῦ, Αἰμιλιανὸς ὁ τῆς Μυσίας ἔπαρχος καινοτομεῖν ἐπεβάλετο· αὐτῷ τε τὴν βασιλείαν ἐκ προγόνων ἁρμόττειν φιλονεικῶν, καὶ τῆς Ῥωμαίων βουλῆς μεγίστας κατηγορίας ποιούμενος· ἐφ' ὧν οἱ τῆς Ῥωμαίων προστατοῦντες ἐξουσίας, μεγίστῳ πλήθει στρατεύσαντες, ὑπὸ τῶν οἰκείων ἐπιβουλευθέντες διεφθάρησαν· οὔπω τρίτον ἐνιαυτὸν, ἐν τῇ προστασίᾳ τῶν κοινῶν διατετελεκότες, οὐδέ τι λαμπρὸν ἢ βασιλείας ἄξιον κατειργασμένοι· ἐν μνήμῃ δὲ μόνῃ τῶν βασιλέων γενόμενοι. ὅ γε μὴν Αἰμιλιανὸς ἐπιπηδήσας τῇ ἀρχῇ, κατὰ τὴν Σκυθῶν χώραν καὶ τὴν ἐπὶ Ῥώμην ἄφιξιν προθυμούμενος, τετάρτῳ μηνὶ τῆς τυραννίδος προδιεφθάρη τε, καὶ ἐκ τῶν ἀνθρώπων ἠφάνισται.

Ὅτι Γαλλιηνὸς ἀνῃρέθη πρὸς τῶν οἰκείων στρατιωτῶν, ἐς ὀργὴν ἀναφθέντων· ὅτι δὴ πόλιν Μογουντίναν, συναραμένην Λολλιανῷ, ὃν νεωτερίσαντα καθεῖλε Ποστούμιος, διαρπάσαι μετὰ τὴν νίκην οὐ

[64] πέπτον Cod.

συνεχώρησεν. μετὰ δὲ τοῦτον Μάριος ἀνὴρ εὐτελὴς, καὶ τῶν περὶ τὰς βαναύσους γεγονὼς τέχνας, τὴν ἁλουργίδα περιθέμενος, δευτέρᾳ τῆς βασιλείας ἡμέρᾳ κατακτείνεται. ἐφ' ᾧ Βικτωρῖνος τῶν Γαλλίων τὸ κράτος ἐκδέχεται· ἄριστος μὲν ἐν τοῖς πολέμοις, ταῖς δὲ τοῦ σώματος ἡδοναῖς ἡττημένος· ἀλλοτρίους τε ἐνυβρίζων[65] γάμους, καὶ παρθένους ἁρπάζων. ὅθεν ἐν Ἀγριππίνῳ, πόλει Γαλατικῇ, πρός τινος στρατιώτου διαφθείρεται, δευτέρῳ τῆς ἡγεμονίας ἐνιαυτῷ. καὶ τοῦτον τῆς ἀρχῆς διαδέχεται Τέτρικος τῶν ἀπὸ τῆς συγκλήτου βουλῆς· ὃς τὴν Ἀκυτανίαν[66] πρότερον ἡγεμονεύων, βασιλεὺς ὑπὸ τῶν στρατιωτῶν, καὶ μὴ παρὼν, ᾑρέθη· περιθέμενός τε τὴν πορφύραν, ἐν Βουρδογάλλῳ πόλει τῆς Γαλατίας μεγίσταις ἀνέπεσε ταραχαῖς.

Ὅτι Ὀδέναθος ἐξ ἐπιβουλῆς Γαλλιηνοῦ ἀναιρεῖται· καὶ τῶν ἐκεῖσε πραγμάτων ἀντιλαμβάνεται Ζηνοβία, συνοικοῦσα μὲν Ὀδενάτῳ, φρονήματι δὲ ἀνδρείῳ χρωμένη, καὶ διὰ τῶν ἐκείνῳ συνόντων τὸν θάνατον τοῦ ἀνδρὸς ἐκδικοῦσα.

Ὅτι Γαλλιηνὸς περὶ Μεδιόλανον πόλιν, σὺν τῷ ἀδελφῷ Βαλεριανῷ, μετὰ τὴν τοῦ πατρὸς τελευτήν, ὃς ἐβασίλευσεν ἐνιαυτοὺς ἕξ, ἀπὸ τοῦ Δελματῶν ἱππάρχου κατακτείνεται· οὗτος δὲ ἦν Ἡρακλειανὸς, ὁ συμπραξάμενος Κλαυδίῳ διά τινος τῶν τολμηροτάτων, κατὰ τὸ δεῖπνον τὸν Γαλλιηνὸν[67] ἀποσφάττει.

Ὅτι ἐπὶ Κλαυδίου τοῦ βασιλέως Αὐρίολος ἐπὶ χρόνον συχνὸν ἔξω τῆς Γαλλιηνοῦ καταστήσας ἑαυτὸν ἐξουσίας, ἐπικηρυκεύεται παραχρῆμα πρὸς Κλαύδιον, καὶ παραδοὺς ἑαυτὸν, ὑπὸ τῶν περὶ τὸν βασιλέα στρατιωτῶν ἀναιρεῖται, τῇ διὰ τὴν ἀπόστασιν ἐχομένων ὀργῇ.

Ὅτι Κυντίλιος ἀδελφὸς Κλαυδίου, ὃς ἐβασίλευσε Ῥωμαίων, ἅμα δὲ τῷ γνῶναι τὴν βασιλείαν Αὐρηλιανῷ παραδεδομένην, ἑκόντα τῆς ἀρχῆς ὑποστῆναι. καὶ τῶν ἰατρῶν, Τιμὸς[68] τεμόντος φλέβα αὐτῷ, καὶ εὐδόντος, ῥεῦσαι τὸ αἷμα, μέχρις ἄναυδος ἐγένετο.

Ὅτι Αὐρηλιανὸς, ἕκτω τῆς ἡγεμονίας ἐνιαυτῷ διαφθείρεται, τῶν εἰς τάχος γραφόντων οἰκετῶν τινὸς κατασκευάσαντος αὐτῷ

[65] ἐνυβρίζον Cod. [66] ἀκτανίαν. [67] γαλλιην Cod. [68] Leg. τινος vid.

τὸν θάνατον· ὃς τὴν τοῦ ἀνδρὸς μιμησάμενος χεῖρα, πρός τινος χιλιάρχου, αὐτῷ τε τῷ Αὐρηλιανῷ φίλους γραμματίδιόν τι ἐκόμισε, τὰς τῶν ἀνδρῶν τούτων φέρων προσηγορίας σεσημειωμένων· ἐπιψευσάμενος ταῦτα τὸν Αὐρηλιανὸν ἀναγεγραφέναι. οἱ δὲ τὸ πιστὸν ἐκ τῆς τοῦ βασιλέως πρὸς ἅπασαν πρᾶξιν ἄτοπον καὶ σκληρὰν ὀξύτητος εἰληφότες, φθάσαι τι δράσαντες πρὶν ἢ παθεῖν ἔγνωσαν. διαφθείρουσί τε αὐτὸν κατὰ μέσην τὴν πορείαν, ἐκ Βυζαντίου[69] πρὸς Ἡράκλειαν ἴοντα[70], περὶ τὸ λεγόμενον Καινὸν φρούριον. οὐ μὴν ἀτιμώρητος ἐτελεύτα. οἵ τε γὰρ φονεῖς αὐτοῦ δίκας ὑπέσχον, καὶ αὐτὸς τοῖς θείοις τῶν αὐτοκρατόρων ἐψηφίσθη.

Ὅτι Τακίτου τὰ τῆς Ῥώμης ἀναδεξαμένου βασίλεια, Σκύθαι διὰ τῆς Μαιώτιδος λίμνης ἐπεραιώθησαν· οὓς καταπολεμήσας, ἐπὶ τὴν Εὐρώπην ἐξόρμησεν. ἔνθα δὴ καὶ εἰς ἐπιβουλὴν ἐμπεσὼν, ἐξ αἰτίας ἀναιρεῖται τοίασδε. Μαξίμῳ γένει προσήκοντι, τὴν Συρίας ἀρχὴν παραδέδωκεν· οὗτος τοῖς ἐν τέλει τραχύτατα προσφερόμενος, εἰς φθόνον ἅμα καὶ φόβον τὸν βασιλέα κατέστησεν. τεκόντων δὲ τούτων μῖσος, τὸ λειπόμενον εἰς ἐπιβουλὴν ἐτελεύτησεν· ἧς κοινωνοὺς ποιησαμένοι τοὺς Αὐρήλιον ἀνελόντας, αὐτῷ μὲν ἐπιθέμενοι τῷ Μαξιμίνῳ κατέσφαξαν· διώξαντες δὲ ἀναζευγνῦντα ἐπὶ τὴν Εὐρώπην Τάκιτον, ἀναιροῦσιν, ἓξ μησὶ τοῖς ὅλοις βασιλεύσαντα.

Ὅτι Πρόβος καὶ Φλωριανὸς οἱ δύο ἅμα συνεβασίλευσαν. καὶ ὁ Πρόβος, οὐ κατὰ τὴν αὐτοῦ προαίρεσιν ἀνεῖλε τὸν Φλωριανὸν, μῆνας β̄ πρὸς ἡμέρας κ̄ ἀπολαύσαντα τῆς ἐξουσίας.

Ὅτι Πρόβου βασιλεύσαντος Ῥωμαίων, Σατουρνῖνος τῷ γένει Μαυρούσιος, ὢν εἰς τὰ μάλιστα τῷ βασιλεῖ προσφιλὴς, διὰ τοῦτό τε καὶ τὴν τῆς Συρίας ἀρχὴν ἐπιτετραμμένος[71], τῆς βασιλέως ἀποστὰς πίστεως, εἰς ἐπαναστάσεως ἔννοιαν ἦλθεν· ὅπερ ἀκούσαντι τῷ Πρόβῳ, καὶ διανοουμένῳ τὸ ἐγχείρημα μετελθεῖν, ἔφθησαν οἱ κατὰ τὴν ἑώαν στρατιῶται, συγκαταβήσαντες τῇ τυραννίδι τὸν ἄνθρωπον. ἔπαυσε δὲ καὶ ἄλλην ἐπανάστασιν ἐν τῇ Βρεττανίᾳ, μελετήθεισαν διὰ Βικτωρίνου Μαυρουσίου τὸ γένος. ὅπερ πεισθεὶς ἔτυχε τὸν ἐπαναστάντα τῆς Βρεταννίας ἄρχοντα

[69] βιζαντίου Cod. [70] ἡράκλει ἀνιόντα Cod. [71] ἐπιτραμένος Cod.

προστησάμενος. καλέσας δὲ τὸν Βικτωρῖνον πρὸς ἑαυτὸν, καὶ ἐπὶ τῇ συμβολῇ μεμψάμενος, τὸ πταῖσμα ἐπανορθώσοντα πέμπει. ὁ δὲ ἐπὶ τὴν Βρεττανίαν εὐθὺς ἐξορμήσας, περινοίᾳ οὐκ ἄφρονι τὸν τύραννον ἀναιρεῖ.

Ὅτι πολλὰ διαπραξαμένου τοῦ Πρόβου, καλῶς τε καὶ δικαίως οἰκονομήσαντος τὴν ἀρχὴν, ἐπανάστασις ἐκ τῆς ἑσπέρας ἀγγέλλεται, τῶν ἐν Ῥαιτίᾳ καὶ Νωρικῷ δυνάμεων Κάρῳ περιθέντων τὴν ἁλουργίδα. τοῦ δὲ δύναμιν ἐναντιωσομένην αὐτῷ στείλαντος, οἱ μὲν πεμφθέντες πρὸς Κάρον μετέστησαν· αὐτοὶ δ' ἐπὶ πάντας ἐρήμῳ βοηθείας τῷ Πρόβῳ, κωλύοντος οὐδενὸς, διεχρήσαντο, βασιλεύσαντα ἐνιαυτοὺς ἓξ, μῆνας δ̄.

Ὅτι Καρίνου βασιλεύσαντος τοῦ υἱοῦ Κάρου, καὶ πάντα ἐκμελῶς καὶ λογισμοῦ δίχα πράττοντος, ἀγγελθείσης τοῖς ἐν Ἰταλίᾳ τῆς Νουμεριανοῦ τελευτῆς· ἐπὶ τῇ Καρίνου περὶ πάντα ἐκμελείᾳ καὶ ὠμότητι δυσχεράναντες οἱ τῶν ἐκεῖσε στρατοπέδων ἡγούμενοι, Σαβινίῳ Ἰουλιανῷ τὴν ὕπαρχον ἀρχὴν ἔχοντι βασιλικὴν στολὴν περιθέντες, μάχεσθαι σὺν αὐτῷ διενόουντο Καρίνῳ. Καρῖνος[73] δὲ γνοὺς τὴν ἐπανάστασιν, ἐπὶ τὴν Ἰταλίαν ἐστέλλετο. τότε δὴ τῶν στρατιωτῶν, συμφρονῆσαι σφίσιν τοὺς ἀπὸ Περσῶν ἐπανελθόντας ἀναπεισάντων, Διοκλητιανὸν ἤδη κατὰ τὴν Νικομήδειαν τὴν ἁλουργίδα περιθέμενον ἄγουσι κατὰ τὴν Ἰταλίαν. ἔτι δὲ ὄντος αὐτοῦ κατὰ τὴν ὁδόν· συμβαλὼν ὁ Καρῖνος τοῖς Σαβινοῦ Ἰουλιανοῦ στρατιώταις, καὶ στρέψας ἐν τῇ μάχῃ τούτους, τῶν σὺν αὐτῷ τινῶν ἐπελθόντων αἰφνίδιον ἀναιρεῖται· τῶν χιλιάρχων ἑνὸς, οὗ τὴν γυναῖκα διαφθείρας ἔτυχεν, ἀνελόντος αὐτόν.

Ὅτι ἐπὶ Διοκλητιανοῦ Καραυσιός τις ἀνὴρ, τεχθεὶς μὲν ἐν ἀφανεστάτῃ πόλει, περὶ δὲ στρατιωτικὰ σπουδῇ καὶ γενναιότητι διαφέρων, κατὰ μικρὸν δόξαν ἀρίστην κτησάμενος, ἐκ τοιαύτης αἰτίας νεωτερίζειν ἤρξατο. Σελβινὸν καλούμενον κλῖμα, κατὰ τὴν τῆς ἁλμυρίδος θάλασσαν, Φράγκοι τε καὶ Σάξονες, ἔθνη Κελτικὰ[74], διετάραττον· ληϊζόμενοι τοὺς ἐμπόρους, καὶ τῶν χωρίων πορθοῦντες τὰ ἐπιθαλάσσια. σταλεὶς τοίνυν οὗτος ἐκ Βονωνίας[75] πόλεως Γαλατικῆς, ἐπειδὴ πολλοὺς μὲν τῶν βαρβάρων ἐχειρώσατο, τὴν δὲ

73 κρῖνος Cod. 74 καλετικὰ Cod. 75 βοωνίας Cod.

λείαν, τὴν ἐκ τοῦ πολέμου, οὔτε τοῖς ἐποίκοις τῶν ἐθνῶν ἀπεδίδου, οὔτε τοῖς βασιλεῦσιν ἀπέπεμπεν· ἑκουσίως προπέμπειν τοὺς πολεμίους ὑποπτεύθη· ἀναιρεθῆναι τοίνυν ὑπὸ τοῦ Ἑρκουλίου[76] προσταχθεὶς, τήν τε πορφύραν περιέθετο, καὶ τὴν Βρεττανίαν καταλαμβάνει. καὶ τούτου τοῦτο πεπραχότος, καὶ κεκινημένων ὄντων τῶν πραγμάτων, καὶ Ἀχίλλευς κατὰ τὴν Αἴγυπτον ἐνεωτέριζεν, καὶ ἡ Ἀφρικὴ πρὸς ε̄ ἀνδρῶν Γεντιανῶν τὴν προσηγορίαν ἐπεπολέμητο.

Ὅτι ὁ Γαλέριος ἐπειδὴ τῶν κατὰ τὴν Ῥώμην ἔθετο, νεωτερισθέντων, ἐν μεγάλῳ τὸ πραχθὲν ποιούμενος ἐπὶ καταλύσει τῆς τε τῶν Πραιτοριανῶν στάσεως, οἵτινες Μαξιμιανὸν Ἑρκούλιον[77] ἀνεῖπον βασιλέα, καὶ τῆς Μαξεντίου ἀρχῆς, Σεβῆρον σὺν ἀποχρώσῃ στρατιᾷ καταπέμπει τὸν Καίσαρα. ὃς ἀφικόμενος πρὸς τὴν Ῥώμην, τὰ μὲν πρῶτα περιιὼν ἐπολιόρκει τὸν Μαξέντιον. καταληφθεὶς δὲ ἀδοκήτως, ὑπὸ τῶν τῆς ἐναντίας γενομένων μοίρας, φεύγει, καὶ ἁλοὺς ἐν Ῥαβέννῃ, διαφθείρεται. συνέβη γοῦν ἐντεῦθεν τὰς τοῦ Μαξεντίου αὐξηθῆναι δυνάμεις, καὶ τὴν ἀρχὴν αὐτῷ βεβαιωθῆναι. ἀλλ' ὅμως ὁ Ἑρκούλιος μανικῶς τῆς δυναστείας ἐρῶν, οὐ πολλῷ ὕστερον, ἐγερθέντων εἰς τὸ αὐτὸ τῶν στρατοπέδων, ἀφελέσθαι τὸν παῖδα τῆς ἁλουργίδος ἐπεχείρησε. καταστασιασθεὶς δὲ ὑπὸ τῶν στρατιωτῶν, καὶ κινδυνεύσας ἀναιρεθῆναι, ἀπῆλθεν ἐς τὴν Γαλατίαν, ἐξεῶσθαι πρὸς τοῦ υἱοῦ τῆς Ἰταλίας πλαττόμενος· ὡς ἂν ὑπὸ τοῦ Κωνσταντίνου[78] κηδεστοῦ ὄντος, ἀνυπόπτως ὑποδεχθείη. γνώμην δὲ ἐποιεῖτο καιροῦ πρὸς ἐπιβουλὴν ἀφικόμενος τοῦ κατακτεῖναι τὸν Κωνσταντῖνον.

Πολλὴ δέ τις κατεῖχεν εὔνοια τοὺς στρατιώτας εἰς τὸν Κωνσταντῖνον[79]· διά τε τὰ ἄλλα, καὶ τὴν ἐν πολέμοις εὐτυχίαν. Φραγκοὺς γάρ τι καὶ Ἀλβανοὺς, οἳ Κελτῶν εἰσὶ δυνατώτεροι, πανστρατιᾷ διαφθείρας, καὶ τοὺς ἡγεμόνας τούτων ἑλὼν, ἐν τῇ τῶν ἐπινικίων πανηγύρει, διαγωνίσασθαι πρὸς θηρία παρεσκεύασεν· ἀνοιχθείσης οὖν τῆς ἐπιβουλῆς, διὰ Φαύστης τῆς τοῦ Μαξιμιανοῦ θυγατρός· αὐτὴ γὰρ συνοικοῦσα τῷ Κωνσταντίνῳ, κατεμήνυσε τὸν τοῦ πατρὸς δόλον· φεύγει μὲν ὁ Ἑρκούλιος, καταληφθεὶς δὲ περὶ

76 ἐρβουλίον Cod. 77 ἐρβούλιον Cod. 78 Κονσταντίνου. 79 Κονσταντῖνον Cod.

Μασσαλίαν[76], ὡς πρὸς τὸν παῖδα πάλιν ἀπαίρειν εἰς Ἰταλίαν διεγνώκει, τιμωρίαν ἐξέτισεν, ἀναιρεθεὶς ἐν δίκῃ. ὀγδόῃ γάρ που καὶ εἰκοστῇ μετὰ τὴν ἐπανάστασιν ἡμέρᾳ, πρὸς τῶν Μαγνεντίου στρατηγῶν ἁλοὺς διεφθάρη, τῆς κεφαλῆς ἀφαιρεθείς· ἣν ἐπὶ κοντοῦ τινὸς αἰωρήσαντες, περὶ πᾶσαν τὴν πόλιν οἱ ἁλόντες ἤγαγον· ἐφ' ᾧ δὴ χρημάτων τε ἀπαγωγαὶ βαρεῖαι καὶ φόνοι τῶν ἐπιφανεστάτων Ῥωμαίων, ὑπονοίαν[77] τῆς πρὸς Νεπωτιανὸν κοινωνίας ἐγένοντο.

Οὐ πολλῷ γε μὴν ὕστερον Μαγνέντιος, Μορσῆς πόλεως πλησίον, ἐξεωθεὶς τῆς παρατάξεως πρὸς τῶν περὶ τὸν Κωνστάντιον, καὶ οὐ πολὺ ἀποσχὼν καὶ αὐτὸς ὑπὸ χεῖρα τοῖς πολεμίοις πεσεῖν, φεύγει, πολλῆς ἑκατέρωθεν Ῥωμαϊκῆς ἐν τούτῳ τῷ ἀγῶνι διεφθαρμένης, ἣ πρὸς ὀθνείους τε καὶ βαρβαρικοὺς ἀχθεῖσα πολέμους, ἀξιόχρεως ἂν ἐγένετο, καὶ πολλῶν ἐπινικίων πομπῶν ἀσφαλείας τε τοῖς ὁμοφύλοις κατέστη πρόξενος. Κωνστάντιος δὲ πρὸς τὸν ἐμφύλιον τρέπεται πόλεμον· μεθ' ὃ δὴ Μαγνέντιος συχναῖς ἐλαττωθεὶς μάχαις, ἑαυτὸν αὐτοχειρὶ θανάτῳ περὶ Λούγδουνον πόλιν ἐξάγει τοῦ βίου· τὴν μητέρα προανελὼν, τετάρτῳ τῆς βασιλείας ἐνιαυτῷ, καὶ μηνὶ ἑβδόμῳ. ὁ ἀδελφὸς αὐτῷ κοινωνεῖ τοῦ θανατοῦ, Καῖσαρ ἐπὶ φυλακῇ τῶν Γαλλίων ἀποδεδειγμένος.

Περὶ τούτους γε μὴν τοὺς χρόνους ὑπὸ Κωνσταντίου τοῦ βασιλέως, Γάλλος ὁ Καῖσαρ, ἐπὶ πολλαῖς καὶ ἀτόποις ἀναιρεῖται πράξεσιν· ἀνὴρ ἄγριος τὴν φύσιν ὢν, καὶ τυραννίδα τὴν ἀρχὴν καταστησόμενος ἂν, εἴπερ αὐτοκράτορι γνώμῃ προστῆναι οἱ τῆς ἡγεμονίας ἐξεγένετο. Σιλβανὸς τέ τις κατὰ τὴν Γαλλίαν νεωτέρων ἁπτόμενος, πρὸ τριακοστῆς ἡμέρας ἐκποδῶν κατέστη.

Ὅτι Ἰουλιανὸς ὁ παραβάτης, μέχρι μέν τινος δεύτερα λόγων διετέλει τῷ αὐτοκράτορι. ἐπεὶ[78] δὲ πρὸς φθόνον τῶν οἱ δρωμένων κινηθεὶς Κωνστάντιος, τὰς Γερμανικὰς καλουμένας φάλαγγας ἐπὶ φυλακῇ τῆς Γαλατίας ἐκ τοῦ παλαιοτάτου καθιδρυμένας, ἐπιέναι τῆς συνήθους ἠνάγκαζε διατριβῆς, ὡς μονωθεὶς[79] Ἰουλιανὸς, αὐτῷ τε καὶ τοῖς βαρβάροις εὐεπιχείρητος[80] εἴη, καταινέσει τῶν στρα-

76 μεσσαλίαν Cod. 77 Leg. ὑπονοίᾳ. 78 ἐπὶ Cod. 79 μονοθεὶς Cod. 80 εὐεπιχείριτος.

τιωτῶν, αἰσθομένων τῆς τοῦ Κωνσταντίου γνώμης, αὐτοκράτωρ ἀποδείκνυται· ἐνιαυτόν τε καταμείνας αὐτόθι, τὴν Γαλατίαν κατεστήσατο. ἄρας δὲ τὸν στρατὸν, οὔτε ἐπὶ Ἰταλίας τὴν πορείαν ἐποιεῖτο, οὔτε εὔδηλος ἦν πρὸς τὸν ἐμφύλιον ὡρμημένος πόλεμον· ἀλλ' ἐπὶ τοὺς βαρβάρους αὖθις ἵετο. γενόμενος δὲ πρὸς τῷ ποταμῷ, καὶ ἐπιστρέψας τὴν πορείαν, ἐχώρει τῶν Ἑρκυωνίων[82] καλουμένων δρυμῶν. ἐκεῖ δε ναῦς ποταμίας κατασκευασάμενος, καὶ τῆς στρατιᾶς ὅσον ἦν κράτιστον ἀναλαβὼν, παρὰ τὴν ποταμίαν ὄχθην ἐκομίζετο, ὡς ἂν λάθοι. καὶ πολλὰ εἰργάσατο. ὁ δὲ Κωνστάντιος ἐπεὶ ᾔσθετο τοῦτο, πρὸς τὸν ἐμφύλιον πόλεμον σὺν ὀργῇ τρέπεται· οὐ μὴν ἐξεγένετό οἱ διὰ μάχης ἐλθεῖν τῷ Ἰουλιανῷ, βραβεύσαντος τοῦ θεοῦ τὸν πόλεμον, καὶ κατὰ μέσην αὐτῷ τὴν πορείαν ἐπιγενομένης τῆς τελευτῆς περὶ Μοψουεστίαν πόλιν, ἐν ὀλίγοις[83] Κιλίκων τε καὶ Σύρων κειμένην· με̅ τῆς ἡλικίας ἐνιαυτῷ, τῆς δὲ βασιλείας λη̅.

Ὅτι ἐπὶ Οὐάλεντος τοῦ ἀρειανόφρονος καὶ Γρατιανοῦ, Προκόπιος τῆς σχολῆς ἐπιλαβόμενος, ἐπανίσταται τῇ Κωνσταντίνου πόλει· ἐθορύβει τε τὰ ἐν αὐτῇ βασίλεια ἱκανῶς· πολλῶν τε γίνεται φόνων καὶ συμφορῶν αἴτιος. καὶ μέχρι μὲν οὖν τινὸς τῆς τύχης διαφόρως αὐτῷ τε καὶ Οὐάλεντι βραβευούσης, ἔμενεν ὁ τύραννος ἀκλινής· ἐπειδὴ δὲ ὑπὸ τῶν ἰδίων ἐγυμνώθη, δέσμιος ἐν Νακωλείᾳ πόλει, Οὐάλεντι προσήχθη· ἐκεῖ τε δύω δένδρων ἐκδεθεὶς δισπαράχθη[84]. καὶ ὁ Οὐάλης τῇ κατὰ Βιθυνίαν ὀργισθεὶς Χαλκηδόνι, οἷα τῷ τυράννῳ συνελθούσῃ, καὶ αὐτὸν ἐξυβρισάσῃ, τοὺς μὲν εἰς αὐτὴν οἰκοῦντας διέφθειρεν, καὶ τὴν τοῦ τείχους αὐτῆς κατάλυσιν ἐποιεῖτο· τοὺς ἐκεῖθεν λίθους, εἰς τὸ λεγόμενον Κωνσταντίνου λουτρὸν μεταφέρων· ἔνθα καὶ χρησμὸν εὑρεθῆναι, ἐγκεκολαμμένον[85] ἐντὸς τῶν ἀφελκομένων λίθων.

Ὅτι Οὐάλης ὁ ἀρειανόφρων, τὸ τῶν Γότθων γένος χριστιανίζειν[86] παρασκευάσας, ὑπ' αὐτῶν ὕστερον ἐπολεμεῖτο, ὡς καὶ μέχρι τειχῶν τῆς πόλεως ἀφικέσθαι. ἀπέσφαξε δὲ καὶ τὸν Μάρκελλον, καὶ πολλοὺς ἄλλους, ἐκ τῆς εἰς βασιλείαν ὑποψίας. καὶ

82 Ὀρκυωνίων Cod. 83 Leg. ὅροις. 84 δισσπαράχθη Cod.
85 ἐγκεκολαμένον. 86 χρηστιανίζειν.

ἁπλῶς εἰπεῖν, ἐκινδύνευον ἅπαντες, ὅσοι τὸ θ̄ ἀρχὴν τῆς προσηγορίας ἐλάμβανον, μάλιστα Θεοδόσιοι καὶ Θεόδοτοι· τοῦτο γὰρ ἡ τῆς νεκυίας αὐτῷ μαντεία ἀπέφηνεν· αὐτίκα δὲ κατὰ τῶν βαρβάρων ἐχώρει· καὶ τελευτᾷ ἡττηθείς[87].

Ὅτι ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, Μάξιμος ἐκ τῶν περὶ τὰς Βρεττανίας[88] μερῶν, ἐπαναστὰς τῇ Ῥωμαίων ἀρχῇ, κάμνοντι τῷ Γρατιανῷ εἰς τὸν κατὰ Ἀλαμαννῶν πόλεμον ἐπιτίθεται, καὶ δι' Ἀνδραγαθίου τοῦ τῆς τυραννίδος κοινωνοῦ, πρὸ Λουγδουνοῦ τῆς ἐν Γαλλίᾳ πόλεως πόταμον διαβαίνοντι, ἐπιβουλεύεται δολίως. ἐτετεύτα μὲν οὖν Γρατιανὸς, βιώσας ἔτη κδ̄, βασιλεύσας ἔτη ιθ̄.

Αἴτια δὲ τῆς κατὰ Γρατιανοῦ κινήσεως τῷ Μαξίμῳ γέγονεν ἥδε. οὗτος Θεοδοσίῳ τῷ βασιλεῖ κατὰ τὴν Βρεττανίαν συστρατευσάμενος, ἐν τοῖς Οὐάλεντος χρόνοις δυσανασχετῶν, ὅτι Θεοδόσιος ἀπὸ Γρατιανοῦ βασιλείας ἠξιώθη, αὐτὸς δὲ οὐδὲ εἰς ἀρχὴν ἔντιμον ἔτυχε προελθὼν, ἤγειρε τοὺς ἐν Βρεττανίᾳ στρατιώτας εἰς τὸ κατὰ τοῦ βασιλέως ἔχθος· καὶ ἀνηγορεύθη παρ' αὐτῶν βασιλεύς. τοῦ τοίνυν Γρατιανοῦ κατὰ τὸν εἰρημένον τρόπον ἀναιρεθέντος, περιῆλθεν ἡ ἀρχὴ εἰς Οὐαλεντιανὸν τὸν νέον καὶ Θεοδόσιον. ὁπηνίκα δὲ τὸν τοῦ βασιλέως φόνον εἰργάσατο Μάξιμος, εὐθέως ἐπὶ τὴν Ῥώμην ἀφίκετο. τότε δὴ καὶ ὁ βασιλεὺς Θεοδόσιος ἐν φροντίδι μεγίστῃ καθίστατο, δύναμιν τε κατὰ τοῦ τυράννου ηὐτρέπιζεν· εὐλαβούμενος μὴ καὶ τῷ νεωτέρῳ Οὐαλεντιανῷ ἐπιβουλεύσειεν. καὶ ὁ μὲν βασιλεὺς, εἰς τὸν κατὰ Μαξίμου πολέμον ἤλαυνε, καταλιπὼν ἐν τῇ Κωνσταντίνου πόλει Ἀρκάδιον βασιλεύοντα. καὶ καταλαβὼν τὴν Θεσσαλονίκην, εὑρίσκει τοὺς περὶ Οὐαλεντιανὸν ἐν πολλῇ ἀθυμίᾳ διάγοντας· ὅτι δι' ἀνάγκην τοῦ τυράννου ὡς βασιλέα ἐδέξαντο.

Ἀναλαβὼν οὖν τὰς δυνάμεις τῶν στρατιωτικῶν ταγμάτων, ἐπὶ τὴν Μεδιόλανον ἐχώρει· ἐκεῖ γὰρ ὁ Μάξιμος τὰ τοῦ πολέμου διήρτυεν. οἱ δὲ περὶ τὸν τύραννον, ὡς τὴν τοῦ βασιλέως ἄφιξιν ἐπύθοντο, οὐ πρὸς μικρὸν τὴν ὁρμὴν ἐνεγκεῖν ἠδυνήθησαν· ἀλλὰ καταπτήξαντες[89] δέσμιον αὐτῷ τὸν Μάξιμον ἄγουσιν, ὃς ἀνῃρέθη ἐν τῇ κ̄ τοῦ Αὐγούστου μηνός. Ἀνδραγάθιος δὲ ὁ τοῦ βασιλέως

87 τελευταῖα τζηθεὶς Cod. 88 βρετανίας Cod. 89 καταπτίξαντες Cod.

φυνεὺς[90], τῆς ἥττας γενομένης, εἰς τὸν παρακείμενον ποταμὸν ῥίψας ἑαυτὸν ἀπεπνίγη. τότε οὖν οἱ βασιλεῖς νικηφόροι ἐπὶ τὴν Ῥώμην ἐχώρουν, συμπαρομαρτοῦντος αὐτοῖς καὶ τοῦ Θεοδοσίου παιδὸς Ὀνωρίου. ἦσαν οὖν ἐν τῇ Ῥώμῃ ἐπινικίους ἑορτὰς ἐπιτελοῦντες· ὅτε δὴ καὶ τὴν ἑαυτοῦ ἀγαθότητα Θεοδόσιος περὶ τὸν σύμμαχον ἐπεδείξατο. οὗτος γὰρ εἰς τοὺς ἀπὸ ὑπατίας τελῶν βασιλικὸν λόγον εἰς τὸν Μάξιμον διεξῆλθεν, καὶ δεδιὼς τὸ τῆς καθοσιώσεως ἔγκλημα, τοῖς τῶν ἐκκλησιῶν συγλητοῖς[91] προσκατέφυγεν· ὃν ὁ βασιλεὺς πάσης φιλανθρωπίας ἠξίωσε, καὶ τῷ τῆς βουλῆς τάγματι συγκατέγραψεν.

Ὅτι ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, Οὐαλεντιανὸς ὁ νέος βασιλεὺς ἀγγέλλεται ἐξ ἐπιβουλῆς τοίασδε τεθνηκέναι. ὁ τούτου πατὴρ Οὐαλεντιανὸς γυναιξὶ πλείοσιν ἐχρήσατο, παρὰ τοὺς διατεταγμένους Ῥωμαίων νόμους. ἡ τοίνυν τούτου δευτέρα γυνὴ θυγάτηρ μὲν ἐλέγετο γεγενῆσθαι Ἰούστου, Μαγνεντίου δὲ γυνὴ τοῦ τυραννήσαντος κατὰ Κωνσταντίου χρόνους, διὰ νεότητα[92] οὐ τυχοῦσα τέκνων, ἐξ ἐκείνου χηρεύουσα[93] καὶ ἐγκρατευομένη διετέλει· ἧς διὰ κάλλος ὑπερβολὴν ἐρασθεὶς ὁ βασιλεὺς, ἄγεται ταύτην κατὰ δεύτερον γάμον· ἐξ ἧς Οὐαλεντιανὸς ὁ νέος, ὁ Θεοδοσίῳ συμβασιλεύσας, ἐτέχθη· καὶ Γάλλα ἡ Θεοδοσίῳ συναφθεῖσα, μετὰ τὴν Φλακίλλης τελευτήν· καθ' ὃν καιρὸν, τόν τε Μάξιμον ἐνίκα, καὶ τὸν Οὐαλεντιανὸν ἔσωζεν· ὥστε ὑπῆρχεν αὐτῷ πρὸς τὰ κοινὰ τῆς βασιλείας, καὶ ἡ τῆς κηδείας συνάφεια. τότε δὴ οὖν τῆς τοῦ Οὐαλεντιανοῦ ἀναιρέσεως διαγγελθείσης, μέγιστον κατεῖχε πένθος· αὐτόν τε τὸν βασιλέα τῆς ἕω, καὶ τὴν ἀδελφὴν τοῦ τετελευτηκότος βασιλίδα Γάλλαν, μεγάλη τε ἐμελετᾶτο τοῦ πολέμου σπουδὴ κατὰ τοῦ τὸν[94] φόνον ἐργασαμένου.

Ἀρβογάστης δὲ ἦν, ἐκ τοῦ Φράγκων γένους, Βάνδωνος, τοῦ πρὸς Γρατιανοῦ τοῦ βασιλεύσαντος, τὴν στρατοπεδαρχικὴν ἐξουσίαν ἐπιτραπέντος, υἱὸς, φλογοειδής τε καὶ βάρβαρος τὴν ψυχήν. ὃς τὸν Οὐαλεντιανὸν βιασάμενος, εἰς τὴν τοῦ πατρὸς παρῆλθε στρατηλασίαν· οὐ γὰρ ἦν ἀντιλέγειν αὐτῷ, διὰ τὴν ἐν τοῖς πολέμοις ῥώμην· οὕτω γὰρ πολλοὺς τῶν ἐν ἀξιώματι παρὰ τὴν τοῦ βασι-

90 φωνεὺς Cod. 91 dubiæ lecturæ est hæc vox. 92 νεώπητα Cod.
93 χειρεύουσα Cod. 94 τοῦτον Cod.

λέως βουλὴν διεχειρίζετο, καὶ τούτους, οὐ μόνον ἀγνοοῦντος τοῦ κρατοῦντος, ἀλλὰ καὶ κωλύοντος· ἐν οἷς καὶ τὸν Ἁρμόνιον, ὃς Ταύρου μὲν ἦν παῖς, τοῦ τὴν ὕπατον διέποντος· ἐπειδή τε τὸν Ἀρβογάστην ἐλύττησεν· ὁ μὲν ἐπὶ τὸ ξίφος τὴν χεῖρα ἔτρεψεν· ὁ δὲ Ἁρμόνιος τῷ βασιλεῖ τὸ[95] σῶμα παραδοὺς, σὺν τῇ ἁλουργίδι κατετέμνετο· ἐκ τούτου τε πολλὴ πρὸς τὸν στρατοπεδάρχην καὶ τὸν βασιλέα γέγονεν ἡ ὑπόνοια.

Καὶ ὁ μὲν Οὐαλεντιανὸς τὴν Θεοδοσίου λάθρα μετεπέμπετο συμμαχίαν, ὡς μὴ δυνάμενος φέρειν τὴν τοῦ τυράννου θρασύτητα· πλὴν ὥς τι σοφὸν κατὰ τοῦ τυράννου πράττειν ἡγούμενος, γραμματεῖον αὐτῷ τῆς διαδοχῆς ἐπὶ τοῦ συνεδρίου δίδωσι· ὅπερ δεξάμενος ὁ βάρβαρος καὶ ἀναγνοὺς, παραχρῆμα τοῖς ὄνυξι διεσπάραξεν, λεοντώδει δὲ τῇ φωνῇ κατὰ τοῦ βασιλέως ὀργισθεὶς; ἀπίει πρόκωπον ἔχων τὸ ξῖφος. πολέμιος τοίνυν ἀπεδείχθη φανερὸς τῇ Ῥωμαίων ἀρχῇ· καὶ ὁ μὲν Οὐαλεντιανὸς, ἐβούλετο παραχρῆμα πρὸς τὸν Θεοδόσιον ἐξιππεύσασθαι. ὁ δὲ βάρβαρος, τὴν κατ' αὐτοῦ κίνησιν ἐπιτείνας, πρός τι πολισμάτιον Ἰταλικὸν, Βέρναν λεγόμενον διατρίβοντι, καὶ ῥαθυμότερον περὶ τὴν τοῦ πολιχνίου φρουρὰν διαγενομένῳ, προσπεσὼν, καὶ ἀφύλακτον τοῦτον εὑρὼν, ξίφει διεχρήσατο. οὕτω μὲν οὖν Οὐαλεντιανὸς ὁ νέος βιώσας ἔτη κ, βασιλεύσας δὲ ἔτη η̄, καταστρέφει τὸν βίον.

Ὁ δὲ Ἀρβωγάστης[96] Εὐγένιον αὐτῷ ἐπὶ σοφιστικὸν ἐγκαθήμενον θρόνον, καὶ ὑπὸ γλώττης εὐδοκιμοῦντα, ὁ θεῖος ἐπέστη Σεριχομήριος· ἡνίκα παρὰ τὸν Θεοδόσιον μετὰ τὴν Μαξίμου νίκην ἐν τοῖς ἑώοις βασιλείοις ἀπήγετο. καὶ ὁ μὲν Σεριχομήριος τὸ σῶμα καμὼν, ἐτελεύτα κατὰ τὴν Κωνσταντίνου· τὸν δὲ Εὐγένιον ὁ βάρβαρος βασιλέα τῶν ἑσπερίων ἀποδείξας, ἄκοντί γε περιτίθησι τὸ σχῆμα. ὅς τις εὐθέως πρεσβείαν πρὸς τὸν Θεοδόσιον ἔστειλε, πειρώμενος εἰ ὁμολογοίη φίλος εἶναι, καὶ δέχοιτο αὐτὸν βασιλεύοντα. οὓς δὴ ὁ Θεοδόσιος ποικίλοις διακρουσάμενος λόγοις, καὶ φιλανθρώποις ἀποκρίσεσι δελεάσας, ἀπεπέμψατο. αὐτὸς δὲ Ῥωμαϊκὸν μὲν Τιμάσιον, Σκυθικὸν δὲ τὸν Γαιανὰν, ἐξ Ἀλανῶν δὲ τὸν Σαοὺλ, ἄρχοντας τῶν στρατοπέδων παραλαβών· ἅμα δὲ καὶ Στιλίχωνα τοῖς στρατεύμασιν ἐπιστήσας, ὃς ἦν μὲν καὶ αὐτὸς

95 τῷ Cod. 96 Ἀρβωγάστος Cod.

ἀνέκαθεν τοῦ Σκυθικοῦ γένους, τῆς δὲ τοῦ βασιλέως ἀδελφῆς Βερήνης αὐτῷ προσμανείσης, βασιλέως οὐδὲν ἀπιλείπετο· πολλούς τε τῶν Θρᾳκῶν, Οὔννων, σὺν τοῖς παρεπομένοις φυλάρχοις[97] διαναστήσας, εἴχετο τῆς πρὸς τὴν Ἰταλίαν πορείας, ὡς ἂν τὸν Εὐγένιον μηδέν τι προσδοκῶντα, ἀπαράσκευον καταλάβοι. ἐξιόντι δὲ αὐτῷ τῆς αὐλῆς ἡ βασίλισσα τελευτᾷ.

Ὁπηνίκα δὲ τοῖς τῆς Ἰταλίας προσῆλθεν ὅροις, τῷ παραλόγῳ τῆς ὀξύτητος, καὶ τῷ τάχει τῆς ἀφράστου διαδρομῆς ὁ Εὐγένιος ἔπτηξεν· ἀνὴρ ἄπειρος πολέμου καὶ σάλπιγγος. ὁ δὲ Ἀρβωγάστης ἀντεμάνη, ἐπιθυμῶν πολέμου καὶ μάχης, καὶ φόνων· καὶ πολὺ τῆς ἡμέρας διαγωνισάμενος, καθ' ἣν ὁ ἥλιος ἀφανὴς ἐγένετο τοῖς ἀνθρώποις περὶ μέσην τῆς ἡμέρας ὥραν, ὥστε καὶ ἀστέρας φανῆναι, καὶ νυκτομαχοῦντες ἅπαντες ἀνηλίσκοντο συνδαπανώμενοι ξίφεσιν· ἄχρι μὲν οὖν περὶ τρίτην φυλακὴν τῆς νυκτὸς ἐν τούτοις τὰ τῶν στρατοπέδων ὑπῆρχεν.

Ἐπειδὴ δὲ Θεοδόσιος, τότε μὲν ὑπαναχωρήσας, τὸν δε Θεὸν ἱκετεύσας, καθεύδουσι τῇ ἑξῆς τοῖς ἐναντίοις ἐπιπίπτει· τὸ μὲν πλεῖστον ἐν ταῖς εὐναῖς, τὸν δὲ ἀνιστάμενον τῶν ὅπλων γεγυμνωμένον διεχειρίζετο, αὐτόν τε τὸν Εὐγένιον ζωγρήσας, τῆς κεφαλῆς ἀποτέμνει· καὶ μακρῷ δόρατι περιπήξας, ἐν ὅλοις τοῖς τῆς Ἰταλίας ὅροις διεπόμπευσεν· ὡς ἅπαν τὸ τῶν πολεμίων πλῆθος, πρὸς τὸν νενικηκότα χωρεῖν, καὶ τοῖς αὐτοῦ πείθεσθαι διατάγμασιν. ὁ δὲ Ἀρβωγάστης ἐν τούτῳ τε τὸ μανικὸν τῆς βαρβάρου φύσεως ἀποδείξας, αὐτοχειρίᾳ διεφθάρη, τῷ σφετέρῳ περιπεσὼν ξίφει. ἐπὶ τούτοις τε θρίαμβοι κατὰ τὴν Ῥώμην ἐγένοντο· καὶ στεφανηφορεῖν τὴν ἁπανταχοῦ τῶν ὑπηκόων γῆν ἐδόκει, καὶ πανηγυρίζειν ἐπὶ τῇ καθαιρέσει τοῦ τυράννου.

Ὅτι Ῥουφῖνος ὁ ἐπίτροπος Ἀρκαδίου, ἐξ ἐπιβουλῆς Εὐτροπίου τοῦ προκοίτου τῆς Ἀρκαδίου διήμαρτε κηδίας· ἀλλ' ὅμως τῇ πλεονεξίᾳ, καὶ τῇ χαλεπότητι τῶν τρόπων, πᾶσιν ὑπέροπτος ἦν, τόν τε βασιλέα οἰκειότητι τῶν βαρβάρων καταπλήττων, καὶ βαρείαν ἐπιτιθεὶς ἀνάγκην πρὸς τὸ κοινωνῆσαι τῆς ἁλουργίδος αὐτῷ· ποτὲ δὲ καὶ πλῆθος βαρβάρων εἰσαγαγὼν, ὧν Ἀλάριχος ἡγεῖτο· πᾶσαν ὁμοῦ τὴν Ἑλλάδα καὶ τὰ περὶ τὴν Ἰλλυρίδα

[97] φιλάρχοις Cod.

διεπόρθει· ὡς καὶ δῆλος ἅπασι γενέσθαι τῇ τῆς τυραννίδος ἐπιβουλῇ.

Ὁ μὲν γὰρ ὑπέχαιρε, καὶ τὸν κοινὸν ὄλεθρον, ἰδίαν κρηπῖδα[94] τῆς βασιλείας ὑπελάμβανεν. ὁ δὲ βασιλεὺς ἐν ἀφασίᾳ διετέλει· οὐ μὴν καὶ ὁ Στελίχων ἐνταῦθα ὅμοιος ἦν, ἀλλὰ διέπλευσε μὲν αὐτὸς ἐς τὴν Ἑλλάδα, καίτοι μηδὲν προσήκουσαν τοῖς τῆς ἑσπερίας τέρμασι· τὰς τῶν ἐνοικούντων οἰκτείρας συμφορὰς, καὶ τοὺς βαρβάρους σπάνει τῶν ἀναγκαίων διαφθείρας, ἔπαυσε τῆς τῶν ἐπιχωρίων ὁρμῆς. συγκαλεσάμενος δὲ Γαινὰν, ὃς τότε τῶν ἑσπερίων στρατοπέδων ἔξαρχος ἦν, ἀρτύει τὴν κατὰ Ῥουφίνου σκευήν· ὅτε δὴ καὶ ὁ τοῦ Ἀρκαδίου στρατὸς, ἔκ τε τῆς Εὐγενίου καθαιρέσεως, καὶ τῆς τῶν βαρβάρων τῶν κατὰ τὴν Ἰλλυρίδα διώξεως, ἐπὶ τὴν Κωνσταντίνου πόλιν ἐχώρει. ὁ μὲν γὰρ βασιλεὺς κατὰ τοὺς παλαιοὺς νόμους, εἰς ὑπάντησιν τῶν στρατοπέδων ἐκ τῆς πόλεως προῆλθεν· καὶ ὁ Γαινὰς αὐτὸν ἐφρούρει· πᾶσα δὲ ἦν ἀνάγκη καὶ τὸν τῆς αὐλῆς ἔπαρχον συνεξίεναι. Ῥουφῖνός τις ἦν, καὶ ἅμα τε ὁ βασιλεὺς ὑπὸ τῶν στρατοπέδων Αὔγουστος ὀνομάζεται, καὶ Ῥουφῖνος κατετέμνετο, ταύτης τε ἔτυχε τῆς τελευτῆς. παῖδες δὲ αὐτοῦ καὶ γαμετὴ πρὸς τὴν ἐκκλησίαν κατέφυγον· διηρπάζοντο δὲ ἀκωλύτως ἅπαντα ὅσα κατὰ τὴν δυναστείαν ἐκτήσατο [τι].

Γαινὰς ὁ τῶν ἑῴων στρατοπέδων ἔξαρχος, βάρβαρος ὢν τὸ γένος, καὶ ὑπὸ Ῥωμαίων κατ' ὀλίγου ἐπὶ τὴν στρατηγίδα προελθὼν, ἄρχειν διενοεῖτο· ὅπως ἂν καὶ αὐτῆς τῆς βασιλείας κρατήσοι. καὶ πᾶν μὲν τὸ Γότθων ἔθνος ἐκ τῆς ἑαυτοῦ χώρας μετεπέμψατο· τοὺς δὲ αὐτῷ ἐπιτηδείους τῶν στρατιωτῶν ἀριθμὸν ἔχειν κατέστησεν· Τριβιγίλδου[95] δὲ ἑνὸς τῶν ὑποστρατήγων αὐτῷ, χιλιαρχοῦντος τῶν ἐνιδρυμένων τῇ Φρυγίᾳ στρατιωτῶν, καὶ γνώμῃ αὐτοῦ Γαινὰν νεωτερίσαντος, καὶ τὰ Φρυγῶν ἔθνη παντάπασιν ἀνατρέποντος· ἐπειδὴ Ἀρκάδιος, μηδὲν προειδόμενος, τὸν Γαινὰν ἔπεμψεν, εὐθὺς ἐπορεύετο· τῷ μὲν λόγῳ κατὰ Τριβιγίλδου, τῷ δὲ ἔργῳ τυραννῆσαι βουλόμενος. ἦγε δὲ μετ' αὐτοῦ, Γότθων τε καὶ ἑτέρων βαρβάρων οὐκ ὀλίγας μυριάδας· καὶ καταλαβὼν τὴν Φρυγίαν, πάντα ἀνέτρε-

94 κριπῖδα Cod. 95 Τριβιγγίλδου Cod.

πεν. εὐθὺς οὖν ἐν ταραχῇ τὰ Ῥωμαίων οὐ μόνον διὰ τὸ πρὸς τὸ γενναῖον, ἀλλ' ὅτι καὶ τὰ τῆς ἑώας ἐπίκαιρα μέρη κινδυνεύειν ἔμελλεν.

Ἀλλὰ τότε μὲν ὁ βασιλεὺς διαπεμψάμενος πρὸς τὴν βάρβαρον, λόγοις αὐτὸν καὶ ἔργοις θεραπεύειν ἕτοιμος[96] ἐγίνετο· τοῦδε ἐξαιτοῦντος, δύω τῶν προεστώτων τῆς συγκλήτου λαβεῖν ὑπὸ τῶν ὑπάτων ἄνδρων, Σατορνῖνόν τε καὶ Αὐρηλιανὸν[97], ἀκοντὶ αὐτοὺς ὁ βασιλεὺς τῇ ἀνάγκῃ τοῦ καιροῦ παρεῖχε. καὶ οἱ μὲν ὑπὲρ κοινοῦ προαποθνήσκειν αἱρούμενοι, γενναίως τῇ τοῦ βασιλέως κελεύσει ὑπήκουον, καὶ πόρρω τῆς Χαλκηδόνος, ἐν χωρίῳ ὑποδρόμῳ ὑπήντουν, ἕτοιμοι πάσχειν πᾶν ὅ τι ὁ Βάρβαρος ἤθελεν. ἀλλ' οὗτοι μὲν, οὐδὲν φαῦλον ὑπέμειναν, ὁ δὲ παρῆν ἐπὶ τὴν Χαλκηδόνα. ἀπήντα δὲ ἐκεῖσε καὶ ὁ βασιλεὺς Ἀρκάδιος. γενόμενοι δὲ πρὸς τῷ οἴκῳ τῆς μάρτυρος Εὐφημίας, ὅρκοις ἐπιστοῦντο ἀλλήλους. καὶ ὁ μὲν βασιλεὺς ἐφύλαττεν· Γαινὰς δὲ παρεσπόνδει, καὶ τοῦ οἰκείου σκοποῦ οὐκ ἐξέβαινεν· ἀλλ' ἐμπρησμόν τε καὶ λαφυραγωγίας ἐμελέτα ποιήσασθαι, κατὰ τῆς Κωνσταντίνου πόλεως, καὶ κατὰ πάσης τῆς Ῥωμαίων ἀρχῆς. βεβαρβάρωτο γοῦν ἡ πόλις, ὑπὸ τοῦ πολλοῦ πλήθους, καὶ πάντες οἱ κατ' αὐτὴν ἐν αἰχμαλώτων μοίρᾳ ἐγένοντο. τοσοῦτος ἦν ὁ ἐπικρεμασθεὶς τῇ πόλει κίνδυνος, ὡς καὶ κομήτην μέγιστον ὑπὸ τοῦ οὐρανοῦ φανῆναι.

Ὁ μέντοι Γαινὰς, πρῶτον μὲν ἐπειράθη ἁρπαγὴν τῶν ἐργαστηρίων ποιήσασθαι· τῆς δὲ φήμης προμηνυσάσης τὴν ἔφοδον, ἐφυλάξαντο προθεῖναι[98] ἐν ταῖς τραπέζαις τὸν ἄργυρον, αὖθις ἐπὶ ἑτέραν ἐχώρει γνώμην. νυκτὸς γὰρ ἐπιμεσούσης, ἐκπέμπει πλῆθος βαρβάρων ἐπὶ τῷ ἐμπρῆσαι τὰ βασίλεια καὶ τὴν πόλιν. ὅτε δὴ καὶ ἡ τοῦ Θεοῦ περιφανῶς ἐδείχθη πρόνοια, περί τε τὴν Ῥωμαίων ἀρχὴν καὶ τὴν πόλιν. ἀπροόπτως γὰρ τοῖς ἐπελθοῦσιν ἐφάνησαν ἄγγελοι, ἐν σχήματι ὁπλιτῶν, μέγαλα ἔχοντες σώματα· οὓς ὑποτοπήσαντες οἱ πολέμιοι ἀληθῆ στρατὸν εἶναι πολὺν καὶ γενναῖον, καταπλαγέντες ὑπεχώρησαν.

Ὡς δὲ ἀπαγγελθέντος τούτου Γαινὰ, ἄπιστον κατεφαίνετο· ἠπίστατο γὰρ μὴ παρηναι τὸ πολὺ τῶν Ῥωμαίων ὁπλιτικὸν, κατὰ γὰρ τὰς πόλεις ἐνίδρυτο· πέμπει τε αὖθις ἑτέρους τῇ ἐχομένῃ

[96] ἔτιμος Cod. [97] αὐριλιανὸν Cod. [98] προθῆναι Cod.

νυκτὶ, καὶ μετὰ ταῦτα πολλάκις. ὡς δὲ καὶ διαφόρως ἀποστείλαντι τὰ αὐτὰ ἀπηγγέλλετο, ἀεὶ γὰρ τοῖς ἐπιβουλεύουσιν οἱ ἄγγελοι τὴν αὐτὴν παρεῖχον φαντασίαν, τέλος αὐτὸς σὺν πλήθει πολλῷ παρελθὼν, πεῖραν τῶν ἀκουσθέντων λαμβάνει· ὑπονοήσαντες ἀληθῶς στρατιωτῶν εἶναι πλῆθος, ὑποκρίνεται ὡς ἐπὶ τὸν μάρτυρα Ἰωάννην ὁδεύειν· ὃς ζ΄ σημείοις τῆς πόλεως ἀφειστήκει· συνεξήεσαν δὲ αὐτῷ καὶ οἱ βάρβαροι, τὰ ὅπλα λαθραίως[96] κομίζοντες· ὡς δὲ οἱ φρουροὶ τῶν πυλῶν διεκώλυον, οἱ βάρβαροι τὰ ξίφη γυμνώσαντες, τοὺς ἐπὶ ταῖς πύλαις διεχειρίσαντο.

Ἐντεῦθεν πολέμιος ἀπεδείχθη Γαινάς· καὶ οἱ μὲν περὶ τὴν πόλιν ἅπαντες πρὸς τὴν τείχους φυλακὴν διέθεον. ὁ δὲ βασιλεὺς κελεύει τοὺς ὑπολειφθέντας ἐν τῇ πόλει βαρβάρους ἀναιρεῖσθαι. συμβαλόντες οὖν οἱ στρατιῶται τοῖς πολεμίοις περὶ τὴν ἐκκλησίαν τῶν Γότθων, ἐνταῦθα γὰρ οἱ περιλειφθέντες ἠθροίσθησαν, διαφθείρουσιν ἅπαντας, ἐμπιπρῶσί δε καὶ αὐτὴν τὴν ἐκκλησίαν. Γαινὰς δε μαθὼν ἀναιρεῖσθαι τοὺς μὴ φθάσαντας τῶν πυλῶν, γνοὺς δὲ αὐτῷ μηκέτι προχωρεῖν τὰς ἀπαντήσεις, ἄρας ἀπὸ τοῦ μαρτυρίου, ἤλαυνεν ἐπὶ τὰ Θρᾴκια μέρη· καὶ καταλαβὼν τὴν Χερόνησον, ἐξ αὐτῆς διαπεραιοῦσθαι καὶ καταλαμβάνειν τὴν Λάμψακον ἔσπευδεν, ὅπως ἂν τῶν ἑῴων κρατῆσαι δυνήσηται.

Ὡς δὲ ὁ βασιλεὺς ἔφθη δύναμιν ἀποστείλας, διά τε γῆς καὶ θαλάσσης· ἐνταῦθα πάλιν τῆς τοῦ Θεοῦ προνοίας ἐδείκνυτο θαύματα. ὡς γὰρ οἱ βάρβαροι σχεδίας συμπήξαντες ἐπαιραιοῦντο, αἵτε τῶν Ῥωμαίων νῆες παρῆσαν, οἱ μὲν στρατιῶται ῥαδίως ταῖς ὁλκάσι διέπλεον· οἱ δὲ βάρβαροι ἐν ταῖς σχεδίαις διώλλυντο ὑπὸ τοῦ κλύδωνος ἐκριπτούμενοι. πολλοὶ δὲ καὶ ὑπὸ τῶν Ῥωμαίων ἐφθείροντο· καὶ τὸ πλεῖστον τῶν πολεμίων ἀπώλετο. Γαινὰς δὲ ἀναζεύξας διὰ τῆς Θρᾴκης, καὶ φυγῇ χρησάμενος, περιπίπτει Ῥωμαϊκῇ δυνάμει· καὶ ἀναιρεῖται ἅμα τοῖς σὺν αὐτῷ βαρβάροις. Φραυιανὸς μὲν οὖν ὁ στρατηγὸς τοῦδε τοῦ πολέμου γενόμενος, ἐπὶ τὴν ὕπατον προῆλθεν ἀρχὴν, καθ' ἣν ἐτέχθη Ἀρκαδίῳ τῷ βασιλεῖ ὁ μικρὸς Θεοδόσιος.

Ὅτι ἐπὶ Θεοδοσίου τοῦ νέου[97], πρωτοστάτης ὢν τῶν βασιλικῶν

96 λαθρέως Cod. 97 Ἰωάννης suppl. ex Olympiodor. ap. Phot. p. 63, 26. Bekker. quem historicum nostrum sequi probabile est.

ὑπογραφέων, μὴ ἐνεγκὼν τὴν εὐτυχίαν τῆς ἰδίας ἀξίας, τὴν βασιλείαν ἁρπάζει, καὶ πρεσβείαν ἀποστέλλει πρὸς τὸν Θεοδόσιον δεχθῆναι εἰς βασιλέα δεομένην· οὓς δὲ ὁ βασιλεὺς ἐν φρουρᾷ ποιησάμενος, πέμπει τὸν στρατοπεδάρχην Ἀρδαβούριον[98]· ὃς τὸν Περσικὸν πόλεμον ἠγωνίσατο. καὶ ὁ μὲν εἰς Σάλωνας παραγενόμενος, ἔπλει ἐπὶ τὴν Ἀκυληΐαν, καὶ χρῆται τύχης ἐναντιότητι, μᾶλλον τῇ δεινότητι[99], ὡς ὕστερον ἀπεδείχθη. ἄνεμος γὰρ οὐκ αἴσιος πνεύσας, εἰς τὰς χεῖρας αὐτὸν τοῦ τυράννου ἐνέβαλεν· ὃς συλλαβὼν αὐτὸν, ἤλπιζεν εἰς ἀνάγκην τὸν αὐτοκράτορα καταστῆναι, τοῦ ψηφίσασθαι αὐτὸν συμβασιλεύοντα. ἀλλ᾽ ὁ μὲν Θεοδόσιος ἐν ἀγῶνι ἐγένετο, καὶ ὁ τοῦ Ἀρδαβουρίου παῖς Ἄσπαρ, καὶ ἀφασία κατεῖχε τὰ Ῥωμαίων πράγματα. ὁ δὲ Θεὸς ἄγγελον ἐν σχήματι ποιούμενος, ἀπέστειλεν ὁδηγεῖν τὰ Ῥωμαίων στρατόπεδα, καὶ τὸν στρατηγὸν Ἀρδαβούριον· ἄγει τε ἅπαντας, διὰ τῆς παρακειμένης τῇ Ῥαβέννῃ λίμνης, ἐν ταύτῃ γὰρ τῇ πόλει ὁ τύραννος διέτριβεν, ὅθεν οὐδεὶς οὐδέποτε διαβεβηκέναι ἱστόρηται. οὕτως οὖν διαβάντες τὴν ἄβατον, καὶ βατὴν διὰ ξηρᾶς τὴν πορείαν εὑρόντες, ἀνεωγμένας τε τὰς πύλας κατιδόντες, τῆς πόλεως ἐγκρατὴς ἐγένετο· καὶ τοῦτον ἀνελόντες, γνώριμα τῷ βασιλεῖ τὰ πεπραγμένα ἐποιήσαντο· ὃς εὐχαριστήσας τῷ Θεῷ, ἐσκόπει τίνα τῶν ἑσπερίων ἀναδείξει βασιλέα.

Ὅτι ἐπὶ Θεοδοσίου τοῦ νέου, Χρυσάφιος διῴκει τὰ πάντα, τὰ πάντων ἁρπάζων, καὶ ὑπὸ πάντων μισούμενος. τότε μὲν οὖν Ἀττήλας, πρόφασιν τὴν Κωνσταντίου προβαλλόμενος αἴτησιν, ἣν αὐτὸν περὶ τοῦ γάμου τῆς Σατορνίλου θυγατρὸς ᾔτει, ἐπανίσταται τῇ Ῥωμαίων ἀρχῇ, καὶ τὸν εὐνοῦχον Χρυσάφιον ἐκδοθῆναι οἱ παρεκελεύετο, ὡς φωραθέντα τῆς κατ᾽ αὐτοῦ ἐπιβουλῆς. ἐντεῦθεν πάλιν Ἀνατόλιος καὶ Νόμος πρὸς τὸν Ἀττήλαν παραγίνονται, καὶ πείθουσιν αὐτὸν δώροις ἀποσχέσθαι τῆς κατὰ τοῦ εὐνούχου ὀργῆς.

Ὅτι Θεοδόσιος ὁ νέος, πρὸς τὸν Ζήνωνα ἐχαλέπαινεν. ἐδεδίει γὰρ μή ποτε καὶ τυραννίδι ἐπίθηται· ἀκινδύνου αὐτῷ γενέσθαι τῆς ἁρπαγῆς. ὅπερ ἔτι μάλιστα ἐξετάραττεν αὐτόν. καὶ πᾶσι τοῖς ἁμαρτήμασι ῥαδίως νέμων συγγνώμην, χάλεπός τε καὶ μετάτρεπτος ἦν, οὐ μόνον κατὰ τῶν τυραννίδα μελετησάντων,

98 δαβούσιον Cod. 99 δειότητι Cod.

ἀλλὰ καὶ τῶν βασιλείας ἀξίων νομισθέντων. καὶ σφᾶς ἐκποδὼν ποιεῖν διὰ παντὸς ἐχώρει[2] τρόπου. καὶ πρὸς τοῖς εἰρημένοις προσώποις, καὶ Βάνδωνα καὶ Δανίηλον, ὡς τυραννίδι ἐπιθεμένους ἐξέβαλεν. ἀπὸ τῆς αὐτῆς τοίνυν προαιρέσεως καὶ τὸν Ζήνωνα ἀμύνασθαι ἐσπουδακὼς, τῆς προτέρας εἴχετο βουλῆς, ὥστε διαβῆναι μὲν τὸν Μαξιμῖνον εἰς τὴν Ἰσαυρόπολιν, καὶ τὰ ἐκεῖ χωρία προκαταλαβεῖν, στεῖλαι δὲ διὰ θαλάσσης ἐπὶ τὴν ἕω δύναμιν τὴν τὸν Ζήνωνα παραστησομένην· καὶ τῶν αὐτοδεδογμένων οὐκ ἀφίστατο· μείζονος δὲ αὐτὸν ἐκταράξαντος φόβου, τὴν παρασκευὴν ἀνεβάλετο.

Ἧκε γάρ τις ἀγγέλλων, τὸν Ἀττήλαν τοῖς κατὰ τὴν Ῥώμην ἐπιθέσθαι βασιλείοις, Ὀνωριάδος τῆς Βαλεντινιανοῦ ἀδελφῆς, ἐς ἐπικουρίαν ἐπικαλεσαμένης αὐτόν. ἡ γὰρ Ὀνωρία τῶν βασιλικῶν καὶ αὕτη ἐχομένη σκήπτρων, Εὐγενίῳ τινι, τὴν ἐπιμέλειαν τῶν αὐτῆς ἔχοντι πραγμάτων, ἥλω ἐς λαθραῖον ἐρχομένη λέχος, καὶ ἐπὶ τῷ ἁμαρτήματι ἀνῃρέθη μὲν ἐκεῖνος, ἡ δὲ τῶν βασιλείων ἐλαθεῖσα, Ἑρκουλάνῳ κατεγγυᾶται[3], ἀνδρὶ ὑπατικῷ καὶ τρόπων εὖ ἔχοντι, ὡς μήτε πρὸς βασιλείαν, μήτε πρὸς νεωτερισμὸν ὑποτοπεῖσθαι· ἐν συμφορᾷ δὲ καὶ ἀνίᾳ δεινῇ τὸ πρᾶγμα ποιούμενοι, παρὰ τὸν Ἀττῆλαν Ὑάκινθον εὐνοῦχον ἐκπέμπει τινὰ, ὥστε ἐπὶ χρήμασιν αὐτῇ τιμωρήσει τῷ γάμῳ· ἐπὶ δὲ τούτοις καὶ δακτύλιον ἔπεμψε, πιστούμενη τὸν βάρβαρον. καὶ ὁ μὲν παρεσκεύαζεν ἑαυτὸν χωρεῖν κατὰ τῆς τῶν ἑσπερίων βασιλείας. ἐβούλετο δὲ ὅπως τὸν Ἀέτιον προκαταλάβοι· μὴ γὰρ ἄλλως τεύξεσθαι τῆς ἐλπίδος, εἰ μήγε ἐκεῖνον ποίησοι τὸ ἐκποδών.

Ταῦτα τοίνυν Θεοδόσιος μεμαθηκὼς, ἐπιστέλλει τῷ Βαλεντινιανῷ τὴν Ὀνωρίαν ἐκπέμπειν τῷ Ἀττήλᾳ. καὶ ὁ μὲν συλλαβὼν τὸν Ὑάκινθον ἅπαντα διηνεύνησε, καὶ μετὰ πολλοὺς τοῦ σώματος αἰκισμοὺς, τῆς κεφαλῆς ἀποτμηθῆναι ἐκέλευσεν. Ὀνωρίαν δὲ τὴν ἀδελφὴν Βαλεντινιανὸς τῇ μητρὶ δῶρον ἔδωκε· πολλὰ αἰτησαμένην αὐτήν. οὕτως μὲν οὖν Ὀνωρία τοτε τῆς * * ἀπελυέτο.

Ὅτι τὰ τῶν ἑσπερίων Ῥωμαίων ἐν ταραχῇ ἦν. Μάξιμός τις ἀνὴρ εὐγενὴς καὶ δυνατὸς, καὶ δεύτερον ὑπατεύσας Ἀετίῳ τῷ στρατηγῷ

2 ἐχόρει Cod. 3 κατεγγυάτε Cod.

τῶν κατὰ τὴν Ἰταλίαν ταγμάτων δυσμενὴς ὤν· ὡς ἔγνω καὶ τὸν Ἡράκλειον, εὐνοῦχος δὲ οὗτος, καὶ τὴν μεγίστην παρὰ τῷ βασιλεύοντι ἔχων ῥοπὴν, τῆς αὐτῆς τῷ Ἀετίῳ, ἔχθιστον ὄντα, προαιρέσεως· ἄμφω γὰρ τῆς ἐκείνου τὴν σφετέραν ἐπειρῶντο ἀντεισάγειν δύναμιν, ἐς συνωμοσίαν ἔρχεται· καὶ πείθουσι τὸν βασιλέα, ὡς εἰ μὴ φθάσοι τὸν Ἀέτιον ἀνελεῖν ταχέως, ὑπ' αὐτοῦ φθαρήσεται.

Ὁ δὲ Βαλεντινιανὸς, ἐπειδὴ αὐτῷ ἐχρῆν γενέσθαι κακῶς, τὸ τεῖχος τῆς ἑαυτοῦ ἀρχῆς καταλύοντι, προσίετο δὲ τοὺς λόγους Μαξίμου τε καὶ Ἡρακλείου, καὶ διαρτύει τῷ ἀνδρὶ τὸν θάνατον, ὅτε δὴ ὁ Ἀετίος ἐν τοῖς βασιλείοις ἐγίνετο, κοινωνεῖν τῷ κρατοῦντι μέλλων ἐπὶ τοῖς βουλεύμασιν, καὶ προνοίας χρυσίου εἰσάγειν πειρώμενος. ὡς δὲ τὰ περὶ τῶν πόρων Ἀέτιος προύθηκε, καὶ ἀναλογισμὸν ἐποιεῖτο, τῶν ἐκ τῆς εἰσφορᾶς ἀθροισθέντων χρημάτων ἀθρόων, ὁ Βαλεντινιανὸς ἀνακραγὼν ἀνέθορέ τε τοῦ θάκου, καὶ οὐκέτι ἔφη οἴσειν τοσαύταις ἐμπαροινούμενος μοχθηρίαις· ἐπ' αὐτὸν γὰρ φέροντα τὴν κακῶν αἰτίαν παρελέσθαι αὐτὸν, ὥσπερ τῆς ἑώας βασιλείας, καὶ τοῦ τῆς ἑσπέρας βούλεσθαι κράτους παραδηλῶν τῆς ἀρχῆς. τὸ δὲ παράδοξον τῆς ὀργῆς ὡς ἀπεθαύμαζεν ὁ Ἀέτιος, καὶ ἐπειρᾶτο τῆς ἀλόγου * * τοῦ κολεοῦ τὸ ξίφος, σὺν τῷ Ἡρακλείῳ ὥρμησεν, ἤδη καὶ αὐτοῦ τὴν κοπίδα εὐτρεπῆ ὑπὸ τὴν χλαμύδα φέροντος, Πριμικίριος γὰρ τῶν κοιτώνων ἦν· καὶ ἄμφω κατὰ τοῦ Ἀετίου κεφαλῆς συνεχεῖς ἐπενεγκόντες πληγὰς, ἀνεῖλον αὐτόν· πολλὰ ἀνδρὸς ἔργα διαπραξάμενος πρός τε ἐμφυλίους καὶ ὀθνείους πολέμους.

Τὴν μὲν γὰρ Πλακιδίαν, ἥτις τοῦ Βαλεντινιανοῦ μητὴρ ἦν, καὶ τὸν παῖδα, νέον ὄντα, ἐπετρόπευσε, διὰ τῆς τῶν βαρβάρων συμμαχίας· τὸν δὲ Βονιφάτιον, σὺν πολλῇ διαβάντα χειρὶ ἀπὸ τῆς Λιβύης, κατεστρατήγησεν, ὥστε ἐκεῖνον μὲν ὑπὸ φροντίδων νόσῳ τελευτῆσαι· αὐτὸν δὲ τῆς αὐτοῦ γαμετῆς καὶ τῆς περιουσίας κύριον γενέσθαι. ἀνεῖλε δὲ καὶ Φίληκα δόλῳ, τὴν στρατιγικὴν σὺν αὐτῷ λαχόντα ἀρχὴν, ὡς ἔγνω ὑποθήκῃ τῆς Πλακιδίας ἐς τὴν αὐτοῦ ἀναίρεσιν παρασκευαζόμενον. κατηγωνίσατο δὲ καὶ Γότθους, τοὺς ἐν Γαλατίᾳ τῇ πρὸς ἑσπέραν τῶν Ῥωμαίων ἐμβατεύσαντας[4] χωρίοις. παρεστήσατο καὶ Αἰμοριχιανοὺς ἀφηνιά-

[4] ἐμβατεύσαντες Cod.

σαντας Ῥωμαίων. ὡς δὲ συνελόντα εἰπεῖν, μεγίστην κατεστήσατο δύναμιν· ὥστε μὴ μόνον βασιλεῖς, ἀλλὰ καὶ παροικοῦντα ἔθνη τοῖς ἐκείνου ἥκειν ἐπιτάγμασιν.

Μετὰ δὲ τὸν Ἀετίου φόνον, καὶ Βοήθιον ὁ Βαλεντινιανὸς, ὕπαρχον ὄντα, ἀνεῖλεν, ἐκείνῳ εἰς τὰ μάλιστα κεχαρισμένον. ὡς δὲ ἀτάφους αὐτοὺς ἐπὶ τὴν ἀγορὰν προύθηκεν· εὐθέως τὴν γερουσίαν μετακαλεσάμενος, πολλὰς τῶν ἀνδρῶν ἐποιεῖτο κατηγορίας· εὐλαβούμενος, μή πως διὰ τὸν Ἀέτιον ἐπανάστασιν ὑπομείνοι. ὁ δὲ Μάξιμος μετὰ τὴν Ἀετίου ἀναίρεσιν, παρὰ τὸν Βαλεντινιανὸν[5] ἐφοίτα· ὡς ἂν ἐπὶ τὴν ὕπατον ἀρχὴν προαχθείη· ταύτης δὲ διαμαρτὼν, τῆς πατρικιότητος τυχεῖν ἐβούλετο· ἀλλ' οὐδὲ ταύτης ὁ Ἡράκλειος τῆς ἐξουσίας συνεχώρει· ἐκ τῆς αὐτῆς γὰρ ὁρμώμενος, τὰς τοῦ Μαξίμου ἀνέκοπτεν ὁρμὰς, παραπείθων τὸν Βαλεντινιανὸν[6], ἀπηλλαγμένον τῆς Ἀετίου βαρύτητος, μὴ χρῆναι τὴν ἐκείνου πάλιν εἰς ἐκείνους μεταφέρειν δύναμιν. ἐντεῦθεν ὁ Μάξιμος ἀμφοτέρων διαμαρτὼν, ἐχαλέπαινεν, καὶ τὸν Ὀπτήλαν καὶ Θραυτήλαν μεταπεμψάμενος, ἄνδρας Σκύθας καὶ κατὰ πόλεμον ἀρίστους, σὺν Ἀετίῳ δὲ στρατευσαμένους, καὶ Βαλεντινιανῷ προσοικειωθέντας, ἐς λόγους ἦλθε, καὶ πίστεις δοὺς καὶ λαβὼν, τὸν βασιλέα ἐν αἰτίᾳ ἐτίθετο τοῦ φόνου τοῦ Ἀετίου ἕνεκα, καὶ μετιέναι αὐτὸν ἄμεινον ἐδίδασκεν· ἔσεσθαι γὰρ αὐτοῖς τὰ μέγιστα ἀγαθὰ ἐν δίκῃ τῷ πεσόντι τιμωροῦσιν.

Ἡμερῶν δὲ διαγενομένων οὐ πολλῶν, ἐδόκει τῷ Βαλεντινιανῷ ἱππασθῆναι κατὰ τὸ Ἄρεος πεδίον, ὀλίγοις ἅμα δορυφόροις, καὶ τοῖς περὶ τὸν Ὀπτήλαν, καὶ Θραυτήλαν. ὡς δὲ ἀποβὰς τοῦ ἵππου, ἐπὶ τὴν τοξείαν ἐχώρει· ἔνθα δὴ ἐπέθεντο Ὀπτήλας καὶ οἱ περὶ αὐτόν. καὶ ὁ μὲν Ὀπτήλας κατὰ τοῦ κροτάφου παίει[7] τὸν Βαλεντινιανόν· ἐπιστραφέντα δὲ ἰδεῖν καὶ πατάξαντα, δευτέραν κατὰ τῆς ὄψεως ἐπαγαγὼν, καταβάλλει. ὁ δὲ Θραυστήλας τὸν Ἡράκλειον καθεῖλεν, καὶ ἄμφω τε τὸ διάδημα τοῦ βασιλέως καὶ τὸν ἵππον λαβόντες, ἐς τὸν Μάξιμον ἀπέτρεχον· εἴτε δὲ καὶ τὴν ἐν τοῖς πολέμοις τῶν ἀνδρῶν δόξαν τῶν παρόντων ἐπτοημένων, ἀκίνδυνος αὐτοῖς ἡ ἐπιχείρησις ἦν. δαιμόνιον δέ τι ἐπὶ τῷ Βαλεν-

[5] βαλεντιανὸν Cod. [6] βαλεντιανὸν Cod. [7] πείει Cod.

τινιανοῦ θανάτῳ συνέβη. μελισσῶν γὰρ ἑσμὸς ἐπιγενόμενος, τὸ ἐς τὴν γῆν ἀπ᾽ αὐτοῦ ῥυὲν αἷμα ἀνιμήσατο, καὶ ἅπαν ἐμύζησεν. τελευτᾷ μὲν οὖν ὁ Βαλεντινιανὸς, ἔτη βιώσας ἑπτὰ καὶ τριάκοντα.

Τὸ ἐντεῦθεν δὲ ἡ Ῥώμη ἐν θορύβῳ καὶ ταραχαῖς ἦν· τά τε στρατιωτικὰ διῃρεῖτο πλήθη· τῶν μὲν τὸν Μάξιμον βουλομένων παράγειν ἐς τὴν ἀρχὴν, τῶν δὲ Μαξιμιανὸν ἐσπουδακότων χειροτονεῖν· ὃς ἦν μὲν πατρὸς Δομνίνου[8], Αἰγυπτίου πραγματευτοῦ, εὐημερήσαντος δὲ κατὰ τὴν[9] Ἰταλίαν, καὶ τῷ Ἀετίῳ τὴν τοῦ δομεστίκου διακονούμενος χρείαν. τῷ δὲ Μαιουρίνῳ ἐσπουδάκει καὶ Εὐδοξία ἡ τοῦ Βαλεντινιανοῦ γαμετὴ[10] γενομένη· ἀλλὰ τῇ τῶν χρημάτων χορηγίᾳ ὁ Μάξιμος περιὼν, τῶν βασιλείων ἐκράτει. οἰηθεὶς δὲ βεβαίαν αὐτῷ ἔσεσθαι τὴν ἀρχὴν, βιάζεται τὴν Εὐδοξίαν, θάνατον ἀπειλῶν· οὕτω μὲν οὖν Μάξιμος, ἐπὶ τὴν Ῥωμαίων ἡγεμονίαν ἦλθε. καὶ Γιζέριχος ὁ τῶν Βανδήλων ἄρχων, τὴν Ἀετίου καὶ Βαλεντινιανοῦ ἀναίρεσιν ἐγνωκὼς, ἐπιτίθεσθαι ταῖς Ἰταλίαις καιρὸν ἡγησάμενος, ὡς τῆς μὲν Εἰρήνης θανάτῳ τῶν σπεισαμένων λυθείσης, τοῦδε εἰς τὴν βασιλείαν παρελθόντος, μὴ ἀξιόχρεον κεκτημένου δύναμιν. οἱ δέ φασι, καὶ ὡς Εὐδοξίας τῆς Βαλεντινιανοῦ γαμετῆς ὑπὸ ἀνίας διὰ τὴν τοῦ ἀνδρὸς ἀναίρεσιν, καὶ τὴν τῶν γάμων ἀνάγκην, λάθρα ἐπικαλεσαμένης αὐτόν. σὺν πολλῷ στόλῳ καὶ τῷ ὑπ᾽ αὐτὸν ἔθνει, ἀπὸ τῆς Ἄφρων ἐς τὴν Ῥώμην διέβαινεν. ἐπειδὰν δὲ ἐν τῷ Ἀζέστῳ, τόπος δὲ οὗτος τῆς Ῥώμης ἐγγὺς, τὸν Γιζέριχον ὁ Μάξιμος ἔγνω στρατοπεδευόμενον, περιδεὴς γενόμενος, ἔφευγεν ἵππῳ ἀναβὰς, καὶ αὐτῶν τῶν βασιλικῶν δορυφόρων, καὶ τῶν ἀμφ᾽ αὐτὸν ἐλευθέρων, οἷς μάλιστα ἐκεῖνος ἐπίστευεν, ἀπολιπόντων· οἱ ὁρῶντες ἐξελαύνοντα, ἐλοιδόρουν τε καὶ δειλίαν ὠνείδιζον· τῆς δὲ πόλεως ἐξιέναι μέλλοντα, βαλών τις λίθον κατὰ τοῦ κροτάφου ἀνεῖλε· καὶ τὸ πλῆθος ἐπελθὼν, τόν τε νεκρὸν διέσπασε, καὶ τὰ μέλη ἐπὶ κόντῳ φέρων ἐπαιονίζετο. ταύτης μὲν οὖν ἐκεῖνος ἔτυχε τῆς τοῦ βίου καταστροφῆς· ἐπὶ τῇ τυραννίδι μηνῶν αὐτῷ διαγενομένων τριῶν. ἐν τούτῳ δὲ καὶ Γιζέριχος ἐς τὴν Ῥώμην ἐσέβαλε.

[8] δομνίμου Cod. [9] δεκὰ τὰ τὴν Cod. [10] γαμετῇ Cod.

Ὅτι Ἀβίτου[11] βασιλεύσαντος τῆς Ῥώμης, καὶ λιμοῦ κατὰ τὸν αὐτὸν καιρὸν γενομένου, ἐν αἰτίᾳ τὸν Ἄβιτον ὁ δῆμος ποιησάμενος, ἠνάγκασε τοὺς ἐκ Γαλατίας αὐτῷ συνεισφρήσαντας συμμάχους ἀπάγειν τῆς Ῥωμαίων πόλεως. ἀπέπεμπε δὲ καὶ τοὺς Γότθους, οὓς ἐπὶ τῇ σφετέρᾳ ἐπήγετο φυλακῇ, χρημάτων αὐτοῖς ποιησάμενος διανομὴν ἐκ τῶν δημοσίων ἔργων, τοῖς ἐμπόροις χαλκὸν ἀποδόμενος· οὐ γὰρ χρυσίον ἐν τοῖς βασιλικοῖς ταμείοις ἔτυχεν ὄν· ὅπερ τοὺς Ῥωμαίους πρὸς στάσιν[12] διανέστησεν, ἀφῃρημένους τοῦ τῆς πόλεως κόσμου.

Περιφανῶς δὲ καὶ ὁ Μαιουρῖνος καὶ ὁ Ῥεκίμερ ἐπανίσταντο, τοῦ ἐκ τῶν Γότθων ἀπηλλαγμένου δέους, ὥστε αὐτὸν, πῆ μὲν τὰς ἐμφυλίους[13] ταραχὰς, πῆ δὲ τοὺς τῶν Βανδήλων πολέμους ὑφοραθέντα, ὑπεξελθεῖν τῆς Ῥώμης, καὶ ἔχεσθαι τῆς ἐπὶ Γαλατίαν ὁδοῦ. ἐπιθέμενοι δὲ αὐτῷ κατὰ τὴν ὁδὸν, Μαιουρῖνός τε καὶ Ῥεκίμερ, εἰς τέμενος φυγεῖν κατηνάγκασαν, ἀπαγορεύοντα τῇ ἀρχῇ, καὶ τὴν βασίλειον ἀποδυσάμενον στολήν. ἔνθα οἱ περὶ τὸν Μαιουρῖνον οὐ πρότερον τῆς πολιορκίας ἀπέστησαν, πρὶν ἢ λιμῷ πιεσθεὶς, τὸν βίον ἀπέλειπε· ὀκτὼ ἐπὶ τῆς βασιλείας διαγενομένων μηνῶν· οἱ δέ φασι ὅτι ἀπεπνίγη. καὶ τοῦτο μὲν Ἀβίτῳ τοῦ βίου τέλος, καὶ τῆς βασιλείας ἐγένετο.

Ὅτι Μαιουρῖνος, ὁ τῶν ἑσπερίων βασιλεὺς, ὡς αὐτῷ οἱ ἐν Γαλατίᾳ Γότθοι συμμάχῳ κατέστησαν, καὶ τὰ παροικοῦντα τῇ ἑαυτοῦ ἐπικρατείᾳ ἔθνη, τὰ μὲν λόγοις, τὰ δὲ ὅπλοις παριστήσατο· καὶ ἐπὶ τὴν Λιβύην σὺν πολλῇ διαβαίνειν ἐπειρᾶτο δυνάμει, νικῶν ἀμφὶ τὰς τ αὐτῷ ἠθροισμένων, καὶ ἐπὶ συνθήκαις αἰσχραῖς[14] καταλύσας τὸν πόλεμον, ἐπανεζεύγνυεν. ἤδη δὲ ἐς τὴν Ἰταλίαν διαβεβηκότι, ὁ Ῥεκίμερ θάνατον ἐπεβούλευσεν. ὁ μὲν γὰρ τοὺς συμμάχους μετὰ τὴν ἐπάνοδον ἀποπέμψας, σὺν τοῖς οἰκείοις ἐπὶ τὴν Ῥώμην ἐπανήρχετο. οἱ δὲ περὶ τὸν Ῥεκίμερα συλλαβόντες αὐτὸν, τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος ἐγύμνωσαν, πληγάς[15] τε ἐντείναντες, τῆς κεφαλῆς ἀπετέμνοντο. τούτῳ μὲν τῷ Μαιουρίνῳ τῆς τοῦ βίου καταστροφῆς γίνεται τὸ τέλος.

11 Ἄβιτος Cod. 12 προστάσιν Cod. 13 ἐμφιλίους Cod. 14 αἰσχαῖς Cod. 15 πληγαῖς Cod.

Ὅτι ὁ Γιζέριχος[17] ἐπόρθει τὰς Ἰταλίας, βουλόμενος βασιλεῦσαι τῶν ἑσπερίων Ὀλύβριον διὰ τὴν ἐξ ἐπιγαμίας συγγένειαν. οὐκ ἐποιεῖτο δὲ προφανῆ τοῦ πολέμου αἰτίαν· τὸ μὴ τὸν Ὀλύβριον ἐς τὰ τῆς ἑσπερίας διαβῆναι βασίλεια, ἀλλὰ τὸ μὴ τὴν Βαλεντινιανοῦ καὶ Ἀετίου διδόσθαι αὐτῷ περιουσίαν, τὴν μὲν, ὀνόματι Εὐδοκίας, ἣν ὁ τούτου παῖς εἶχε· τὴν δὲ, ὡς Γαυδεντίου παιδὸς διάγοντος παρ' αὐτῷ.

Ὅτι ἐπὶ Ἀνθεμίου καὶ Λέοντος τῶν βασιλέων, Οὔλλιβος ὑπὸ Ἀναγάστου ἀνῃρέθη, κατὰ τὴν Θρᾴκην, ἀμφότεροι τοῦ Σκυθικοῦ γένους, καὶ πρὸς τὸ νεωτερίζειν ἐπιτήδειοι.

Ὅτι τῶν Ἰσαύρων ἐν τῇ Ῥοδίων νήσῳ πρὸς ἁρπαγὴν τραπέντων, καὶ φόνους ἐργασαμένων, οἱ στρατιῶται τούτους διεχειρίσαντο. καὶ οἱ μὲν ἐπὶ τὰς ναῦς φυγόντες ἐπὶ τὴν Κωνσταντίνου, ἅμα Ζήνωνι τοῦ ἐπὶ θυγατρὶ τοῦ βασιλέως γαμβροῦ παραγενόμενοι, καὶ τοὺς τὴν ἀγορὰν προτιθέντες διαθορυβοῦντες, τὸν δῆμον εἰς λιθοβολίας διανέστησαν. ἐμφυλίου[18] δὲ ἐντεῦθεν κινηθέντος πολέμου, νὺξ ἐπιλαβοῦσα τὴν στάσιν διέλυσεν.

Καὶ κατὰ τοῦτον τὸν χρόνον Ἀναγάστης, ὁ τῶν Θρᾳκίων τελῶν ἔξαρχος, πρὸς τὸ νεωτερίζειν ἀρθεὶς, τὰ Ῥωμαίων ἐπέτρεχε φρούρια. αἰτία δὲ τῆς αὐτοῦ διαφορᾶς ἐλέγετο, ὡς Ἰορδάνου τοῦ Ἰωάννου παιδὸς, ὅνπερ Ἀνέγισκλος ὁ Ἀναγάστου πατὴρ ἀνῃρήκει, ἐς τὴν ὕπατον ἀνιέντος τιμήν· τὴν γὰρ ἐπ' αὐτῷ γενομένην ὁ Ἀναγάστης, οὐκ ἐδέξατο ψῆφον, ὡς ἐπιληψίαν νοσοῦντα, καὶ δεδιὼς φησι μήποτε ἐν τῷ τῆς γερουσίας αἶσχος ἀπενέγκοιτο τῷ πάθει, ἂν οὕτω τύχοι. ἄλλοι δέ φασι αὐτὸν χρημάτων ἐφιέμενον, ἐς τὴν ἐπανάστασιν χωρεῖν. πολλῆς δὲ τῆς περὶ αὐτοῦ γενομένης ὑποψίας, τέλος ἐκ τῆς βασιλικῆς αὐλῆς σταλέντες τινὲς, ἔπεισαν αὐτὸν παύσασθαι τῆς ἐπιχειρήσεως. ὁ μὲν οὖν Ἀρδαβούριος[19] τὸν Ἀσπάρος[20]· αἴτιον τῆς τυραννίδος ἀπέφῃνε, καὶ τὰ τούτου γράμματα παρὰ τὸν βασιλεύοντα ἔπεμπεν. ὁ δὲ τοῦ βασιλέως γαμβρὸς Ζήνων, τὴν ὕπατον ἔχων ἀρχὴν, ἔστελλε τοὺς τὸν Ἰνδακὸν[21] ἀποστήσοντας ἀπὸ τοῦ λεγομένου Παπιρίου[22] λόφου. τοῦτον

[17] τιζέρχος Cod. [18] ἐνφυλίου Cod. [19] Leg. Ἀρδαβούριον. [20] ἄσπερος sed leg. Ἄσπαρος ex Suid. vv. Ἀρδαβούριος et Ἄσπαρ. [21] Cf. Suid. v. Ἴνδακος. [22] παπηρίου Cod.

γὰρ πρῶτος Νέων ἐφόλευε· μεθ' ὃν Παπίριος καὶ ὁ τοῦδε παῖς Ἰνδακὸς, τοὺς προσοίκους ἅπαντας βιαζόμενοι, καὶ τοὺς διοδεύοντας ἀναιροῦντες. ἐστέλλετο δὲ καὶ Καταζάνων βοήθεια, ληιζομένων τὰ περὶ τὴν Τραπεζοῦντα χωρία. διανέστη δέ τοτε πρὸς πόλεμον καὶ τὸ Γότθων ἔθνος, Γαλατίαν τὴν πρὸς ἑσπέρας νεμομένον· οἵπερ πάλαι μὲν Ἀλλαρίχου ὠνομάζοντο· ἔτι γε μὴν καὶ τὸ ἐν Παιονίᾳ βαρβαρικὸν πλῆθος, πρότερον μὲν ὑπὸ Βαλίμερι, μετὰ δὲ τὴν ἐκείνου ἀναίρεσιν ὑπὸ Θευδόμερι ταττόμενον, τῷ Βαλίμερος[21] ἀδελφῷ.

Ὅτι ὁ τῶν ἑσπερίων βασιλεὺς Ἀνθέμιος, νόσῳ περιπεσὼν ὑπὸ μαγγανείας χαλεπῇ, πολλοὺς ἐπὶ τούτῳ ἁλόντας ἐκόλασε· μάλιστα Ῥωμανὸν, ἐν τῇ τοῦ μαγίστρου ἀρχῇ τελέσαντα· καὶ ἐν τοῖς πατρικίοις ἐγγεγραμμένον, ἐπιτήδειόν τε ἐς τὰ μάλιστα ὄντα τῷ Ῥεκίμερι· δι' ὃν ἀνιαθεὶς, τῆς τε Ῥώμης ἐξῆλθε, καὶ ἑξακισχιλίους ἄνδρας ἐς τὸν κατὰ Βανδήλων πόλεμον ὑπ' αὐτὸν ταττομένους ἀνεκαλέσατο.

Ὅτι ἐπὶ Λέοντος τοῦ βασιλέως Ἰορδάνης ὁ τῆς ἑώας στρατηγὸς καὶ ὕπατος, εἰς ἔσχατον ἦλθε κινδύνου· ἅμα δὲ αὐτῷ Μισαὴλ καὶ Κοσμᾶς τῶν βασιλείων ὄντες θαλαμηπόλοι[22]· ὅτι τὰ βασίλεια φυλάττειν καταλελεισμένοι, τοῦ βασιλέως ἔξω διαιτωμένου[23], Ἰορδάνῃ τὰ ἔνδον ἱστορῆσαι βουληθέντι ἐφῆκαν.

Ὅτι ὁ Ῥεκίμερ εἰς διαφορὰν πρὸς τὸν Ἀνθέμιον καταστὰς, τὸν βασιλέα τῶν ἑσπερίων, καὶ ταῦτα θυγατέρα αὐτοῦ κατεγγυηθεὶς Ἀλυπία, ἐμφύλιον ἔνδον τῆς πόλεως συνεκρότησε πόλεμον, ἐπὶ μῆνας θ̄. καὶ Ἀνθεμίῳ μὲν συνεμάχουν οἵτε ἐν τέλει[24] καὶ ὁ δῆμος· τῷ δὲ Ῥεκίμερι τὸ τῶν οἰκείων βαρβάρων πλῆθος. συνῆν δὲ καὶ Ὀδόακρος, γένος ὢν τῶν προαγορευομένων Σκίρων· πατρὸς δὲ Ἰδικῶνος, καὶ ἀδελφὸς Ὀνοούλφου καὶ Ἁρματίου, σωματοφύλακός τε καὶ σφάγεως γενομένου. καὶ ὁ μὲν Ἀνθέμιος κατῴκει ἐν τοῖς βασιλείοις· ὁ δὲ Ῥεκίμερ τὰ περὶ τὸν Τίβεριν[25] διαφράξας, λιμῷ τὰς ἔνδον ἐβιάζετο. ἐντεῦθέν τε[26] αὐτοῖς συμβολῆς γενομένης, πολὺ τῆς Ἀνθεμίου κατέπεσε μοίρας· τοὺς δὲ λοιποὺς ὁ Ῥεκίμερ

21 βελίμερος Cod. 22 θαμηπόλοι Cod. 23 ἐξοδιαιτομένοι Cod.
24 ἐντέλλει Cod. 25 τίβερι Cod. 26 ἐντεῦθε Cod.

παραστησάμενος δόλῳ, βασιλέα τὸν Ὀλύβριον ἀποδείκνυσιν. πέντε γοῦν διόλου μῆνας ἐμφύλιος τῆς Ῥώμης ἐπεκράτει πόλεμος· ἄχρις οὗ τῶν περὶ τὸν Ἀνθέμιον ἐνδόντων τοῖς βαρβάροις, καὶ τὸν βασιλεύοντα γυμνὸν καταλιπόντων, αὐτοῖς τοῖς πτωχεύουσιν ἀναμιχθεὶς, ἐν τοῖς πρόσφυξι τοῦ μάρτυρος Χρυσογόνου γίνεται. ἐκεῖ τε τῆς κεφαλῆς ἀποτέμνεται ὑπὸ Γονδουβάνδου τοῦ Ῥεκίμερος ἀδελφοῦ, βασιλεύσας ἔτη πέντε, μῆνας γ̄, ἡμέρας ὀκτωκαίδεκα.

Ὁ δὲ Ῥεκίμερ αὐτὸν μὲν βασιλικῆς ἠξίωσε ταφῆς· τὸν δὲ Ὀλύβριον ἐπὶ τὴν βασίλειον ἀνήγαγεν αὐλήν. Ὀλυβρίου δὲ κατὰ τὸν εἰρημένον τρόπον τὴν Ῥωμαίων παρειληφότος ἀρχὴν, Ῥεκίμερ ἡμερῶν εἴσω λ̄ καταλύει τὸν βίον· αἵματος αὐτῷ πλείστου ἐξεμεθέντος. Ὀλύβριος δὲ μετὰ τοῦτον ιγ̄ μόνας ἐπιβιοὺς ἡμέρας, ὑδέρῳ συσχεθεὶς μεταλάττει, τοῖς βασιλεῦσιν ἀριθμηθεὶς εἰς μῆνας ἕξ. τὴν δὲ τοῦ Ῥεκίμερος ὑπεισελθὼν Γουνδουβάλης, ἀνεψιὸς ὢν αὐτοῦ, Γλυκέριον τὸν[27] τοῦ Κόμητος, τῶν δομεστίκων ἀξίως ἔχοντα, ἐπὶ τὴν βασιλείαν ἄγει[28]. γνοὺς δὲ Λέων ὁ τῶν ἑώων βασιλεὺς τὴν τοῦ Γλυκερίου ἀναγόρευσιν, ἐπιστρατεύει κατ' αὐτοῦ· Νέσπωτα στρατηγὸν ἀποδείξας. ὃς ἐπειδὴ τὴν Ῥώμην κατέλαβεν, ἀμαχεὶ τὸν Γλυκέριον ἐχειρώσατο, καὶ τῶν βασιεξωσας[29] ἐπίσκοπον Σάλωνος προχειρίζεται, η̄ μῆνας ἐντρυφήσαντα τῇ ἀρχῇ. εὐθὺς γοῦν ὁ Νέπως βασιλεὺς ἀναδειχθεὶς, ἦρχε τῆς Ῥώμης.

[30]Ὅτι ἐπὶ Ζήνωνος τοῦ βασιλέως, Θεοδώριχος ὁ Τριαρίου, τὴν στρατηγίδα τῶν Θρᾳκίων διέπων, Ἡράκλειον τὸν Φλώρου, πρὸς τὸ Χερρονήσου τεῖχος ἀνεῖλεν, καὶ τῆς πρὸς Ῥωμαίους ὑπακοῆς καταφρονήσας, ἐμφανῶς εἰς πόλεμον ὥρμησεν. βοηθήσων τοίνυν τοῖς ἐκεῖσε ὁ Ἰλλοῦς σταλεὶς ὑπὸ Ζήνωνος, πολλὴν ὠφέλειαν ἐπεδείξατο. ἀναμιχθεὶς δὲ Βασιλίσκῳ καὶ συνδιατρίψας αὐτῷ, κοινωνὸν τῆς κατὰ τοῦ βασιλέως ποιεῖται βουλῆς. καὶ δὴ καὶ Ἁρμάτιον προστεθῆναι αὐτοῖς ὑποσχομένου Βασιλίσκου, γράμματα λαβὼν ὁ Ἰλλοῦς πρὸς τὸν Ἁρμάτιον, ἐς τὴν Κωνσταντίνου πόλιν ἐπανῆκεν. ὁ δὲ αὐτίκα εἰσηγεῖτο Βηρίνῃ ἄνδρα ποιησαμένῃ πατρίκιον, τὸν ἀπὸ τῆς ἀρχῆς τοῦ μαγίστρου τῆς αὐτοκράτορος ἐπιλαβέσθαι

27 τὴν Cod. 28 ἄγε Cod. 29 Leg. βασιλείων ἔξωσας.

30 In omnibus quæ ad Zenonem spectant noster Candidum opinor sequitur historicum de quo Phot. Bibl. Cod. 79. p. 55. Bekker.

ἐξουσίας· μηδὲ ἑτέρῳ ταύτην προεῖσθαι. ἥδε καὶ ἐξ αὐτῆς τούτου ἐφιεμένη, ῥᾷστα τε ἐπέκλινε πρὸς τὰ εἰρημένα, καὶ τὴν πρώτην τῆς ἱπποδρομίας θέαν τοῦ Ζήνωνος συντελοῦντος, στέλλει τινὰ πρὸς αὐτὸν, ἥκειν θᾶττον αὐτὸν παρακελευσαμένη. ὡς δὲ καταλιπὼν ἅπαντα Ζήνων πρὸς αὐτὴν ἐγένετο, ἔφη ταχεῖαν αὐτοῖς δεῖν φυγὴν, ἢ γενέσθαι ὑπὸ τοῖς ἀναιροῦσιν· ἁπάντων γὰρ εἰς τοῦτο συνεληλυθέναι τὴν γνώμην. ὁ μὲν οὖν Ζήνων εἰς οὐδὲν ἀναβαλλόμενος, ἤκουσεν ὡς δέον αὐτοὺς ἀποδράναι νύκτωρ ἅμα τῇ γαμετῇ Ἀριάδνῃ καὶ τῇ αὐτοῦ μητρὶ Λαλλίδι. ἀναλαβὼν πάντα ὁπόσα τοῖς βασιλείοις κειμήλια ἦν, σύν τε[30] ἐσθῆτι[31] καὶ τῷ ἄλλῳ κόσμῳ, ἐνάτῃ τῆς ὑπατίας ἡμέρᾳ, περαιωθεὶς κατὰ Χαλκηδόνα σὺν πολλοῖς τῶν Ἰσαύρων ᾤχετο, ἡμιόνοις καὶ ἵπποις χρώμενος.

Ὅτι μετὰ τὴν ἐπάνοδον Ζήνωνος, φωραθέντες[32] τινὲς ἐπὶ προφάσει τυραννίδος ἀπώλοντο. οὔπω δὲ τοῦ πρώτου διαγενομένου ἐνιαύτου ἐκ τῆς ἐπανόδου Ζήνωνος, μικροῦ πρὸς διαφορὰν ἤλασαν, Ἰλλοῦς τε καὶ αὐτὸς, ἐκ τοῦ κρατηθῆναι Παῦλον, τὸν τοῦ βασιλέως οἰκέτην, πρόκωπον[33] ἔχοντα ξίφος, εἰς ἐπιβουλὴν Ἰλλοῦ. ἀλλὰ τότε μὲν ὁ Ζήνων ἐθεράπευσε τὸ δεινὸν, ἐκδοὺς εἰς τιμωρίαν τὸν παῖδα. τῷ δὲ ἐπιόντι ἐνιαυτῷ, ὑπάτου μὲν ἀποδεδειγμένου Ἰλλοῦ, καὶ πρὸς τὴν ἐπανόρθωσιν τῆς βασιλικῆς ἐσπουδακότι στοᾶς, ἑτέρα τις κατ' αὐτοῦ γίνεται ἐπιβουλὴ, ἐξ αἰτίας τοιᾶσδε. βάρβαρός τις Ἀλανὸς τὸ γένος, κατὰ τὴν τοῦ μαγίστρου σχολὴν ἐπελθὼν τῷ Ἰλλοῦ ξιφήρης[34], συνέχεται, καὶ βασάνοις ὑποπεσὼν, ἐξ ὑποθήκης Ἐπινίκου[35] τὸ πραχθὲν ὡμολόγησεν. οὗτος δὲ ἦν γένος μὲν Φρὺξ, ἐν δὲ τοῖς τὰ συμβόλαια τελοῦσι τεταγμένος, Οὐρβικίῳ δὲ τῷ τῶν θείων αὐλῶν προκοίτῳ περιουσίαν διῳκηκώς· ἔκ τινος περιπετείας γνωρισθεὶς, καὶ τὴν ὅλην αὐτῷ περιουσίαν διῳκηκὼς, καὶ πρός γε τῇ Βηρίνῃ ᾠκειωμένος, ἐπὶ τὴν τῶν πριβάτων ἀνέδραμεν ἀρχήν· ἐκεῖθέν τε καὶ τῶν βασιλείων θησαυρῶν, καὶ πρὸς τὸν ὕπαρχον ἀνέβη θρόνον· οὗ δὴ διελεγχθέντος, ὁ Ἰλλοῦς, ὡς ἦν πρὸς τὸ θησαυρίζειν τὰς ὀργὰς ἐπιτήδειος, καὶ τοῦτο διαφῆκεν, οὐδὲ τὸν ἁλόντα κρατήσας.

30 ἐν τε Cod. 31 ἐσθήτη Cod. 32 φοραθέντες Cod. 33 προκοπον Cod. 34 ξιφήρας Cod. 35 Cf. Suid. v. Ἐπίνικος.

Τότε μὲν οὖν ὁ Ζήνων τὸν Ἐπίνικον ἐξ αὐτοῦ καθελὼν τοῦ θρόνου, καὶ τῆς οὐσίας καὶ τῆς ἀξίας ἐγύμνωσε, θεραπεῦσαι τὸν Ἰλλοῦν ἐσπουδακὼς, καὶ τὸν Θευδέριχον προχειρίζεται, τὸν ἐπιλεγόμενον Στραβόν· δωρεαῖς τε αὐτὸν πολλαῖς σύμμαχον καὶ φίλον ἐποιήσατο. ὁ δὲ Ἰλλοῦς[35] τὸν μὲν Ἐπίνικον κατὰ τῶν Ἰσαύρων ἔπεμψε φυλάττεσθαι, αὐτὸς δὲ λαβόμενος τοῦ τεθνάναι οἱ τὸν ἀδελφὸν Ἀσπάλιον, ἔξοδον αἰτήσας παρὰ τοῦ βασιλέως, ἀφορμήθη. καὶ κατὰ τὴν ἐνεγκαμένην γενόμενος, καὶ τῷ Ἐπινίκῳ ἐντυχὼν, καὶ γνοὺς ἐξ αὐτοῦ τὰ τῆς ἐπιβουλῆς αὐτῷ ὑπὸ Βηρίνης συνταγέντα προσεποιήσατο· ἄχρις οὗ Ζήνων, μεταπεμψάμενος αὐτὸν, ἐκ τῆς συμβάσης ὑπὸ σεισμῶν συμφορᾶς. ὡς δὲ τὸν Παμπρέπιον[36] ἐπαγόμενος Ἰλλοῦς, ἄνδρα ἐκ τῆς Πανὸς ὡρμημένον πόλεως Αἰγύπτου, γραμματικὴν δὲ μετιόντα, καὶ ἐκ πολλοῦ κατὰ τὴν Ἑλλήνων οἰκήσαντα, ἧκεν· πρῶτα μὲν αὐτὸν Ζήνων ἀποδέχεται σὺν πᾶσι τοῖς τέλεσι πρὸ πεντήκοντά που σταδίων τῆς Χαλκηδόνος· ἔπειτα ἐκ τοῦ Ἐπινίκου λεχθέντα ἀπαγγείλας, καὶ διαλογισάμενος οὐκ ἀσφαλὲς εἶναι αὐτῷ ἐπιβαίνειν τῇ Κωνσταντίνου, ἐξαίτει τὴν Βηρίναν· καὶ λαβὼν αὐτὴν παρὰ τοῦ Ζήνωνος ἔκδοτον, Ματρωνιανῷ κατατίθεται τῷ τῆς ἑαυτοῦ γαμετῆς ἀδελφῷ· ὃς ἐπὶ τὴν Ἰσαυρίαν σὺν πλήθει πολλῷ ταύτην ἀγαγὼν, ἐν τῇ κατὰ Ταρσὸν ἐκκλησίᾳ καθιεροῖ, ἐκεῖθέν τε ἐς Δαλισανδὸν ἐφρούρει.

Καὶ ὁ Ἰλλοῦς ἅμα Ζήνωνι καὶ τῇ βασιλίδι, ἐς τὴν Κωνσταντίνου πόλιν παραγενόμενος· παραυτίκα τῷ Ἐπινίκῳ τὴν κάθοδον διεπράξατο, τῆς καταμηνύσεως χάριν. τῷ δὲ Παμπρεπίῳ τὸ λοιπὸν, ἐν πάσῃ εὐροίᾳ τὰ πράγματα ἦν, τιμηθέντι καὶ τῇ τοῦ κοιαίστορος ἀξίᾳ. συνέστη δὲ καὶ πόλεμος ἐμφύλιος πρὸς τὸ τέλει τῆς Ζήνωνος ὑπατείας, ὑπὸ Μαρκιανοῦ καὶ Προκοπίου τῶν ἀδελφῶν, διὰ τὴν πρόφασιν Βηρίνης. καὶ πλῆθος ἀθροίσαντες βαρβάρων, ἅμα πολλοῖς τῶν πολιτῶν, πρὸς τὴν Καισαρίου λεγομένην οἰκείαν στρατοπεδεύουσιν· ἐκεῖθέν τε, ὁ μὲν ἐν τοῖς βασιλείοις κατὰ τοῦ Ζήνωνος ἐπανίσταται· ὁ δὲ ἕτερος κατὰ Ἰλλοῦ, ἐν τοῖς λεγομένοις Οὐαράνου. ἄρτι τε τῆς ἡμέρας μεσούσης, καὶ τῶν βασιλείων ἠρεμούντων, ἐφίσταται κατὰ τὴν τοῦ Δέλφακος στοὰν, ἐν ᾗ οἱ Δελφικοὶ κίονες

35 Ἰουλλοῦς Cod. 36 Cf. Suid. v. Παμπρέπιος.

ἑστήκασι, ποικίλου χρώματος ὄντες. καὶ συμπεσόντες τοῖς φρουροῖς, πολλοὺς διεχειρίσαντο τῶν ἔνδον, καὶ αὐτοῦ δὲ τοῦ βασιλέως ἐκράτησαν ἄν, εἰ μὴ μικρὸν ἀποδρὰς διεσώθη. συνεμάχουν δὲ τούτοις Βουσαλβός τις ἡγούμενος στρατιωτικοῦ τάγματος, καὶ Νικήτας, καὶ ὁ Τριαρίου Θευδέριχος. καὶ ὁ τῆς πόλεως ὅμιλος ἐκ τῶν δωμάτων διὰ πάσης ὕλης ἐχώρει κατὰ τῶν ὑπὲρ τοῦ βασιλέως ἀγωνιζομένων. ἄχρι μὲν οὖν φῶς ἦν, οἱ περὶ τὸν Μαρκιανὸν ἐνίκων· ἐπιλαβομένης δὲ τῆς νυκτὸς, Ἰλλοῦς διὰ προνοίας τοὺς ἐκ τῆς Χαλκηδόνος Ἰσαύρους πωλιανοῖς διεβίβασε πλοίοις· τῶν ἐκεῖσε διαπορθμευόντων ὑπὸ τοῦ Μαρκιανοῦ προκαταλελημμένων, ἅτε καὶ κυρίου ὄντος τοῦ ἐκεῖσε λιμένος. καὶ τῇ ὑστεραίᾳ[36] τοῦ βασιλέως τοὺς ἐν τέλει πάντας συναγαγόντος, καὶ ἐπισχόντος ἐν ταῖς βασιλείοις αὐλαῖς· εἶτα καὶ στρατιωτικὴν ἐπαφέντος χεῖρα, τρέπεται τὸ τοῦ Μαρκιανοῦ μέρος, καὶ φεύγει, πολλῶν ἐξ ἑκατέρων ἀναιρεθέντων. ὀλίγοι δέ τινες τῶν φυγάδων καὶ τὴν Ἰλλοῦ ἐπίμπρασαν οἰκίαν.

Ὁ μὲν οὖν Ζήνων τῆς ἐμφυλίου[37] ταραχῆς πεπαυμένης, τὸν Μαρκιανὸν ἐν τοῖς λεγομένοις πρεσβυτέροις κατατάττει· καὶ εἰς τὴν Καππαδοκῶν Καισάρειαν ἐλαύνει· καὶ τὴν τούτου γυναῖκα Λεοντίαν ἐν τοῖς λεγομένοις Ἀκοιμήτοις φυγοῦσαν καταλιμπάνει· τοὺς δὲ λοιποὺς πρὸς Θευδέριχον ἀποδράντας ἀφαιρεῖται τῶν ὑπαρχόντων. κατὰ δὲ τὸν αὐτὸν καιρὸν καὶ ὁ ἕτερος Θεοδώριχος, ὁ Οὐαλιμέρος ἐπὶ τὴν νέαν ἤπειρον ἐκδραμὼν, ἐγκρατὴς γίνεται πόλεως Δυρραχίου. Ἰσαυροί τε Κώρυκον καὶ Σεβαστὴν τῆς Κιλικίας[38] εἷλον. καὶ Μαρκιανὸς δὲ ἀποδρὰς τοὺς φρουροῦντας, καὶ σὺν πολλῷ πλήθει γεωργικῷ ἐπελθὼν τῇ κατὰ Γαλατίαν Ἀγκύρᾳ, ἀπεκρούσθη, Τροκούνδου προκαταλαβόντος χωρίον· καὶ διὰ τῶν αὐτοῦ δορυφόρων κρατηθέντα τοῦτον, ἅμα γυναικὶ καὶ παισὶν εἴς τι φρούριον τὸν ἐν Ἰσαυρίᾳ καταστῆσαι· ὅθεν ὁ βασιλεὺς Θευδέριχον τὸν Τριαρίου παραλύσας τῆς ἀρχῆς, Τροκούνδην προχειρίζεται, καὶ Ἀέτιον τῶν ἐν Ἰσαυρίᾳ τελῶν προκαθίζει. ἐν ᾧ χρόνῳ συνωμοσίαν ποιησάμενοι Ἐπίνικός[39] τε καὶ Διονύσιος ὕπαρχος

36 ὑστερέα Cod. 37 ἐμφιλίου Cod. 38 ἡλικίας Cod.
39 ἐπινίκιοι Cod.

τῆς αὐλῆς ὢν, καὶ Θραυστήλας στρατηγικὴν ἀξίωσιν ἔχων, ἁλόντες ὑπὸ τοῦ βασιλέως ἐτιμωρήθησαν. καὶ οἱ τῶν Θεοδωρίχων συζυγία αὖθις τὰ Ῥωμαίων ἐτάραττε, καὶ τὰς περὶ τὴν Θρᾴκην πόλεις ἐξεπόρθει, ὡς ἀναγκασθῆναι τὸν Ζήνωνα τότε πρῶτον τοὺς καλουμένους Βουλγάρους εἰς συμμαχίαν προτρέψασθαι.

Ἐπειδὴ δὲ Θεοδώριχος ὁ Τριαρίου ἐπιτυχὼν πρὸς τοὺς Οὔνους ἔπραξε πολέμῳ, καὶ ἐπ' αὐτὴν τὴν Κωνσταντίνου πόλιν ὥρμησεν· καὶ ταύτην ῥαδίως ἂν ἐπηγάγετο[40], εἰ μὴ ὁ Ἰλλοῦς προκαταλαβὼν τὰς πύλας ἐφύλαττεν· ἐκεῖθέν τε ἐπὶ τὰς λεγομένας Συκὰς διαδραμὼν, αὖθις τῆς ἐγχειρήσεως ἥμαρτεν· ὡς λοιπὸν ἐπὶ τὸν Προσεστίαις τόπον καὶ τὸ καλούμενον Λωσθένιον διελθεῖν, καὶ διαπορθμεύσασθαι κατὰ τὴν Βιθυνίαν ἐγχειρεῖν. ἀλλὰ καὶ κατὰ ναυμαχίαν ἡττηθεὶς, ᾤχετο πρὸς τὴν Θρᾴκην· ἐκεῖθέν τε ἐπὶ τὴν Ἑλλάδα ἀφορμηθεὶς σὺν τῷ παιδὶ Ῥεκιτὰχ, καὶ ἀδελφοῖς δύο καὶ γαμετῇ, Σκυθῶν τε ἀμφὶ τὰς λ̄ χιλιάδας, γενόμενός τε κατὰ τὸν Διομήδους καλούμενον στάβλον ἀναιρεῖται· ἐξ ἑωθινοῦ ἀναβὰς τὸν ἵππον, καὶ καταβληθεὶς ὑπ' αὐτοῦ, ἐπὶ δόρατος ὀρθοῦ παρὰ τὸν τῆς σκηνῆς τοῖχον ἱσταμένου. οἱ δὲ καὶ τὴν πληγὴν αὐτῷ ἐπενεχθῆναι ἰσχυρίσαντο ὑπὸ τοῦ παιδὸς Ῥεκιτὰχ, μαστιγωθέντος πρὸς αὐτοῦ. παροῦσα δὲ ἡ γαμετὴ Σίγιλδα, νύκτωρ καταθάπτει τοῦτον. καὶ τὴν μὲν τοῦ πλήθους ἐπικράτειαν διαδέχεται Ῥεκιτὰχ Θεοδωρίχου[41] παῖς. παρεδυνάστευόν τε αὐτῷ οἱ ἐκ τοῦ πατρὸς θεῖοι, οὓς ἀνελὼν μικρὸν ὕστερον, μόνος τῆς Θρᾳκῶν ἐδυνάστευεν, ἀτοπώτερα τοῦ πατρὸς ἀπεργαζόμενος.

Ὅτι ἐπὶ Ζήνωνος Θεοσέβιός τις Προκοπίῳ τῷ Μαρκιανοῦ ἐμφερὴς, πλείστας περινοστήσας τῶν τῆς ἀνατολῆς πόλεων, πολλοὺς τῇ περὶ αὐτοῦ ἀπατῆσαι δόξῃ.

Ὅτι Θεοδώριχον τὸν ἕτερον αὖθις νεωτερίσαντα, καὶ τὴν Ῥωμαίων ἀρχὴν καὶ τὰ πρόσοικα τῆς Ἑλλάδος ληιζόμενον, Ἰωάννην τὸν Σκύθην πέμπει καὶ Μοσχιανὸν στρατηγούς· δολοφονήσας πρότερον Σαβινιανὸν τὸν ἐν Ἰλλυριοῖς ἄρχοντα.

Ὅτι Ζήνων τῆς πρὸς Ἰλλοῦν[42] ἔχθρας κατάρχεται· πρῶτα μὲν Λογγῖνον λαβεῖν ἐξαιτούμενος, ἔπειτα Ἰωάννην τὸν Σκύθην διάδο-

40 ἠπηγάγετο Cod. 41 θεοδωρίχου Cod. 42 Ἰλλοὺς.

χον αὐτῷ τῆς ἀρχῆς ἀποστείλας. δημηγορεῖ δὲ καὶ πρὸς τὸν δῆμον ὅσα ἔχθρος κατὰ τοῦ Ἰλλοῦ, καὶ κελεύει τοὺς οἰκειοτάτους αὐτοῦ τῆς πόλεως ἀπελαύνεσθαι[42], καὶ τὰς περιουσίας τούτων δωρεῖται ταῖς Ἰσαύρων πόλεσιν.

Ὁ δὲ Ἰλλοῦς ἐς φανερὰν ἀποστασίαν ἐλθών, τότε Μαρκιανὸν ἀναζώννυσι, καὶ πρὸς τὸν Ὀδόακρον ἔστελλε, τὸν τῆς ἑσπερίας Ῥώμης τύραννον· καὶ πρὸς τοὺς τῶν Περσῶν καὶ Ἀρμενίων ἄρχοντας· παρεσκεύαζεν δὲ καὶ πλοῖα. καὶ ὁ μὲν Ὀδοάκρος τὸ μὴ δύνασθαι συμμαχεῖν ἀπεκρίνατο. οἱ δὲ ἄλλοι[43] τὴν συμμαχίαν ὑπέσχοντο, ἐπειδάν τις πρὸς αὐτοὺς ἥξει. Ζήνων δὲ Κόνωνα τὸν Φουσκιανοῦ ἐν ἱερεῦσι καταλεγόμενον, ἀναλαβεῖν αὖθις τὰ ὅπλα παρασκευάζει· καὶ Ἰλλοῦ[44] Λίγγην δὲ τὸν νόθον αὐτοῦ ἀδελφὸν[45], στρατηγὸν ἀναδείκνυσιν. πρὸς ἅπερ Ἰλλοῦς ἐν Ταρσῷ ἀγαγὼν[46] τὴν Βηρίναν, στολῇ χρήσασθαι βασιλικῇ παρεσκεύασε· καὶ οἷα κυρίαν οὖσαν τῆς βασιλείας, Λεόντιον ἀναγορεῦσαι βασιλέα, στᾶσαν ἐν βήματι. ἦν δὲ οὗτος γόνεων τε ἀφανῶν, καὶ πόλεως Δαλισανδου. ὡς οὖν ἐπὶ τὴν ἡγεμονίαν προῆλθεν, αὐτίκα τὰς ἀρχὰς διῳκήσατο, καθὸν ἐδοκίμασε τρόπον· καὶ χρημάτων διανομὰς ποιησάμενος, ἐπὶ τὴν Ἀντιόχειαν ἀφίκετο.

Ὁ δὲ Ζήνων τὸν Ῥεκιτὰχ, ἐπειδὴ ᾔσθετο φθόνῳ πρὸς Θεοδώριχον ἀφιστάμενον, ἀναιρεθῆναι διεπράξατο πρὸς τοῦ Οὐαλίμερος παιδὸς, ἀνεψιοῦ ὄντος τοῦ Ῥεκιτὰχ, ἔχοντος καὶ παλαιὰν ὀργὴν πρὸς αὐτὸν υἱατὸν αὐτοῦ ἀποκτείναντος. ἔπραττε δὲ τὴν ἀναίρεσιν ἐν προαστείῳ Βονοφατιαναῖς προσαγορευομένῳ· ἡνίκα πρὸς τὴν ἑστίασιν ἐκ βαλανείου ἤει ὁ Ῥεκιτὰχ, διελάσας αὐτοῦ τὴν πλευράν. ἐπὶ δὲ τὸν Ἰλλοῦ πόλεμον στέλλει Θεορώδιχον ὕπατον· καὶ γενόμενον κατὰ τὴν Νικομήδειαν ἐπανάγει, ἔννοιαν λαβὼν ἀπιστίας· πέμπει δὲ ἀντ' αὐτοῦ τινὰς τῶν καλουμένων Ῥόγων, σὺν Ἀρμεναρίχῳ τῷ Ἄσπερος παιδί. καὶ στόλον δὲ διὰ θαλάσσης ἠφίει, ναυάρχους ἐπιστήσας Ἰωάννην τὸν κατὰ Βασιλίσκον, καὶ Παῦλον, τὸν ἐκ δούλων γενόμενον αὐτοῦ σακελάριον.

Ἐν δὲ τούτῳ παραγίνονται ἐκ τῶν Ἰλλοῦ ἀποσταλέντες, Ἀρτε-

42 ἐπελαύνεσθαι Cod. 43 δι' ἄλλοι Cod. 44 Leg. vid. παρασκ. κατ' Ἰλλοῦ. 45 Suid. v. Βίαιοι. Λίγγις, ἀδελφὸς Ἴλλου νόθος. 46 ἀγαγὸν Cod.

μίδωρος[47] ὁ Τροκούνδου ὑπασπιστὴς, καὶ Πάπιμος, ὃς ἦν ἵππαρχος τῷ Ἰλλοῦ. ἐξ ἑκατέρων τοίνυν βασιλέων παρασκευῆς γενομένης, ἐμειονεκτεῖτο τὸ Ἰλλοῦ στράτευμα, ὡς εὐλαβηθὲν σφόδρα, ἐπὶ τὸ Χέρρεως[48] ἰδεῖν φρούριον· καὶ πρῶτα μὲν τάτε πρὸς ἀποστροφὴν ἀρκοῦντα ἔπεμψεν αὐτῷ, καὶ τὴν γαμετὴν Ἀστερίαν. καὶ ἄλλοις, καὶ Βηρίνῃ τῇ βασιλίσσῃ ἐπέστελλε, καὶ Λεοντίῳ ἐκλιπόντι τὴν Ἀντιοχέων, θάττον ἥκειν πρὸς αὐτόν. ὡς δὲ ταῦτα οἱ στρατηγοῦντες αὐτῶν ἔμαθον, ἕκαστος τοῖς πλησιάζουσι φρουρίοις κατέφευγεν· αὐτὸς δὲ Ἰλλοῦς ἅμα Λεοντίῳ διανυκτερεύσας, ἀνῆλθεν εἰς τὸ Χερρισφρούριον, τῶν Ἰσαύρων αὐτοὺς κατὰ μικρὸν ἀπολιπαρόντων[49], καὶ τὰ τοῦ βασιλέως Ζήνωνος αἱρουμένων, ξ̄ καὶ μόνας ἡμέρας τοῦ Λεοντίου ἐν εἰκόνι[50] βασιλείας διαγενομένου. ἑπομένων δὲ αὐτοῖς οὐ μεῖον ἢ δισχιλίων ἀνδρῶν, τοὺς μάλιστα αὐτῶν εὔνους ἐπιλεξάμενοι, τοὺς λοιποὺς ἐν τοῖς ἄντροις ἀπεχώρησαν, ἃ πολλαχοῦ τῇ φύσει τῶν τόπων εἰργάσαντο.

Ἀγγελθείσης δὲ τῆς Ἰλλοῦ καὶ Λεοντίου φυγῆς, ὁ Ζήνων Κοττομένην στρατηγὸν ἑκατέρων ποιεῖται δυνάμεων, Λογγῖνον δὲ τὸν ἐκ Καρδάμων μαγίστρον. καὶ τὸ μὲν Θεοδωρίχου πλῆθος ἀνεκαλέσατο, τοὺς δὲ τῶν Ῥοδίων[51] μένειν τῇ χώρᾳ προσέταξεν. ἐν δὲ τῇ τοῦ φρουρίου προσεδρίᾳ πολλάκις συμβολαὶ διηγωνίσθησαν. Βηρίνα δὲ μετ᾽ ἐνάτην ἡμέραν τῆς ἐν φρουρίῳ[52] καταφυγῆς, παρεθεῖσα ἐτελεύτησε, καὶ ἐν μολιβδήνῃ ἐταριχεύθη λάρνακι. ἀλλὰ μὴν καὶ Μάρσος μετὰ λ̄ ἡμέρας[53] ἀποθανὼν, τῇ ἴσῃ παρεδόθη ταφῇ. ὁ δὲ Ἰλλοῦς, τὴν τοῦ φρουρίου φυλακὴν ἐπιτρέψας Ἰνδακῷ Κοττούνῃ, τὸ λοιπὸν ἐσχόλαζεν ἐν ἀναγνώσει[54] βιβλίων. καὶ ὁ Λεόντιος ἐν νηστείᾳ τε καὶ θρήνοις διετέλει. ἐμειονεκτεῖτο δὲ ἐκ τούτου τὰ περὶ τὸν Ἰλλοῦν· καὶ ὁ ἀντικάστελλος δὲ ὑπὸ τῶν ἔνδον Ῥωμαίοις προεδόθη· ὡς ἐν ἀπογνώσει τοὺς περὶ τὸν Ἰλλοῦν γενέσθαι. ὑπάτου δὲ τοῦ Λογγίνου κατὰ τὸν ἑξῆς ἀποδεδειγμένου χρόνον· ὅτε Θεοδώριχος πάλιν εἰς ἀπόστασιν εἶδε, καὶ τὰ περὶ τὴν Θρᾴκην ἐλυμαίνετο χωρία. καὶ ὁ Ζήνων πρὸς τὸν Ὀδοάκρον τὸ τῶν Ῥόγων ἐπανέστησε γένος· ὡς ἔγνω τοῦτον πρὸς τὴν Ἰλλοῦ συμμαχίαν

47 ἀρτιμίδορος Cod. 48 Cf. Suid. 49 Leg. ἀπολιπόντων.
50 εἰκόνει Cod. 51 ῥωδίων Cod. 52 ἐμφρουρίῳ Cod. 53 ἡμέραν Cod.
54 ἀγνώσει Cod.

παρασκευαζόμενον. λάμπραν δὲ ἀναδησαμένων νίκην τὸν περὶ τὸν Ὁδόακρον· προσῆδε καὶ πεμψάντων δῶρα τῷ Ζήνωνι τῶν λαφύρων· ἀπὸ προσποιησάμενος συνήδετο τοῖς πραχθεῖσιν. οἱ δὲ τῇ Ἴλλου καὶ Λεοντίου προεδρεύοντες πολιορκίᾳ, μετὰ τὸ ἐπιτυχεῖν τοῦ ἀντιφρουρίου πολλοῖς μηχανήμασιν ἐχρῶντο. ἀντικαθεζομένων δὲ τῶν στρατευμάτων, καὶ ἐς λόγους φιλίους ἀνῆλθον Ἴλλους τε καὶ Ἰωάννης ὁ Σκύθης, καὶ γραμμάτιον πρὸς τὸν Ζήνωνα διεπέμψαντο, ὑπομιμνήσκων αὐτὸν cætera desunt.

# ΕΚΛΟΓΑΙ

## ΑΠΟ ΤΗΣ

# ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ.

Hæc excerpta desumta sunt e Cod. 1555 A. fol. 7. rect. Chart. Sæc. xiv. exarato. Parecbolæ autem sunt ex Ecclesiasticis Scriptoribus, Eusebio, Socrate, Sozomeno, et eo, qui fere omnis ævo interiit, Theodoro Lectore. Inveniuntur enim in nostro codice nonnulla ex iis quæ vulgavit Valesius post Philostorg. Hist. Eccles. p. 551—568. Ἐκλογαὶ ἀπὸ τῆς Ἐκκλησιαστικῆς ἱστοριᾶς Θεοδώρου Ἀναγνωστοῦ ἀπὸ φωνῆς Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου. multa autem sunt quæ solus habet noster. Notandum autem est, quod falso hæc Catalogi confector Eustathio ex Epiphania Syriæ tribuit. ille enim fragmento tantum, quod præcedit hæc nostra excerpta Ecclesiastica, Codicem locupletavit. Tit. est, " Εὐσταθίου Ἐπιφανέως Συρίας ἐπιτόμη τῆς ἀρχαιολογίας " Ἰωσήπου."

ΤΩι μ̅ β̅ ἔτει τῆς βασιλείας Αὐγούστου Καίσαρος· λβ̅ ἔτει τῆς βασιλείας Ἡρώδου· β̅η̅ ἔτει τῆς καταλύσεως Ἀντωνίου καὶ Κλεοπάτρας, εἰς ἣν ἡ Αἰγυπτίων κατέληξε δυναστεία, ἐτέχθη ἐν Βηθλεὲμ[1] τῆς Ἰουδαίας ὁ Κύριος. ἐβαπτίσθη δὲ τῷ ι̅ε̅ ἔτει Τιβερίου Καίσαρος· τῷ δὲ ι̅θ̅ τοῦ αὐτοῦ ἐσταυρώθη, καὶ ἐτάφη, καὶ ἀνέστη, καὶ ἀνελήφθη.

Τῷ δὲ δεκάτῳ ἔτει τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ὁ Πιλάτος ἐστάλη τῆς Ἰουδαίας ἐπιτροπεύειν πρὸ γ̅ ἐτῶν τῆς ἀρχῆς τοῦ θείου τοῦ Χριστοῦ βαπτίσματος, καὶ δέκα ἔτη τῆς ἀρχῆς ἐκράτησεν. Ἐν ᾧ χρόνῳ ὁ Χριστὸς ἐπετέλει τὰ θαύματα, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος ἕως τοῦ θείου σταυροῦ καὶ τῆς ἀναστάσεως.

[1] ἐμβηθλεὲμ Cod.

Τὴν ἀρχιερωσύνην ἐνιαύσιον παρὰ Ῥωμαίων οἱ Ἰουδαῖοι ἐνεχειρίζοντο· ἐν οἷς τῷ ιε̅ ἔτει τοῦ Τιβερίου Ἄννας ἱεράτευσεν· τῷ δὲ ι̅ς̅, Ἀσμαήλος ὁ Φαβή· καὶ τῷ ι̅ζ̅ Ἐλεάζαρος ὁ τοῦ Ἄννα· καὶ τῷ ι̅η̅, Σίμων ὁ τοῦ Καμιθοῦ· καὶ τῷ ι̅θ̅, Ἰώσηπος ὁ καὶ Καϊάφας, ὡς ἱστορεῖ Ἰώσηπος. ὡς εἶναι δῆλον ὅτι λέγων Λουκᾶς τὸ ὅλον κήρυγμα γεγονέναι ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καιάφα, διὰ τῶν ἄκρων τὸ ὅλον ἐδήλωσεν τοῦ χρόνου διάστημα, ἐφ' οὗ καὶ ὁ Κύριος ἐσταυρώθη.

Δομετιανὸς υἱὸς Οὐεσπασιανοῦ πολλὰ κακὰ εἰς τοὺς ἐν τέλει Ῥωμαίους ἐνδειξάμενος, τὴν Νέρωνος νικήσας ὠμότητα, δεύτερος κατὰ Χριστιανῶν διωγμὸν ἐποίησεν. καθ' ὃν καὶ τὸν Ἀπόστολον καὶ Εὐαγγελιστὴν Ἰωάννην ἐν Πάτμῳ περιώρισεν. συντυχὼν δὲ Δομετιανὸς τοῖς υἱοῖς Ἰούδα τοῦ ἀδελφοῦ τοῦ Κυρίου, καὶ γνοὺς τὴν ἀρετὴν τῶν ἀνδρῶν, τοῦ καθ' ἡμῶν ἐπαύσατο διωγμοῦ. ἀναφέρει δὲ ὁ Ἡγήσιππος καὶ τὰ ὀνόματα αὐτῶν, καὶ φησὶν, ὅτι ὁ μὲν ἐκαλεῖτο Ζωκὴρ, ὁ δὲ Ἰάκωβος.

Εἰσὶ δὲ καὶ ἄλλα εὐαγγέλια ψευδῆ· τὸ κατὰ Αἰγυπτίους, καὶ κατὰ τοὺς δώδεκα, καὶ κατὰ Βασιλείδην.

Τῶν Ἐβιωναίων ἡ αἵρεσις διχῶς διῄρηται. οἱ μὲν γὰρ αὐτῶν ψιλὸν ἄνθρωπον τὸν Κύριον ἐξ ἀνδρὸς καὶ τῆς θεοτόκου λέγειν ἐτόλμων. κατὰ προκοπὴν δὲ δικαιωμένου. δεῖσθαι δὲ ἕκαστον ἄνθρωπον τῆς κατὰ νόμον πολιτείας· ὡς μὴ ἂν ὄντως δυνατοῦ δίχα ταύτης ἐκ τῆς κατὰ Χριστὸν πίστεως σωθῆναι. ἄλλοι δὲ τῷ αὐτῷ κεκλημένοι ὀνόματι, ἐκ παρθένου μὲν καὶ Ἁγίου Πνεύματος ὡμολόγουν τὸν Κύριον· οὐκ ἔτι δὲ αὐτὸν καὶ Θεοῦ Λόγον ἐπίστευον. ἐχρῶντο δὲ καὶ οὗτοι τῇ κατὰ νόμον λατρείᾳ, ὁμοίως τοῖς ἄλλοις· τὰς δὲ τοῦ Ἀποστόλου Παύλου ἐπιστολὰς ἀπεβάλλοντο· ἀποστάτην αὐτὸν λέγειν τολμῶντες. ἐχρῶντο δὲ μόνῳ τῷ καθ' Ἑβραίους εὐαγγελίῳ. Ἐβιωναῖοι δὲ λέγονται, διὰ τὸ εὐτελὲς τῶν δογμάτων, καὶ τὸ πτωχὸν τῆς νοήσεως. Ἐβιωναῖοι γὰρ οἱ πτωχοὶ Ἑβραϊστὶ λέγονται.

Κήρινθον τὸν αἱρεσιάρχην, φησὶν ὁ Γάϊος, πρῶτον εἰπεῖν ἐπίγειον[2]

2 ἐπίγιον Cod.

εἶναι τὴν Χριστοῦ βασιλείαν· καὶ τὴν χιλιονταετερίδα δογματίσαι. τὰ αὐτὰ δὲ περὶ αὐτοῦ καὶ Διονύσιος ὁ Ἀλεξανδρείας καὶ Εἰρηναῖος ὁ Λουγδόνου. φασὶ δὲ παραδοῦναι περὶ Κηρίνθου Πολύκαρπον, ὅτι ἰδὼν αὐτὸν Ἰωάννης ἐν βαλανείῳ λουόμενον, ἔφυγεν καὶ ἐξῆλθεν, κράζων "μήποτε πέσῃ τὸ λουτρὸν, ὄντος ἔσω Κηρίνθου."

Οὐαλεντῖνος καὶ Κέρδων, ἄμφω ἐπὶ τῆς Ῥώμης ἐγνωρίζοντο. Κέρδων[3] δὲ γέγονε διδάσκαλος Μαρκίωνος τοῦ Ποντικοῦ· ὧν τὴν πλάνην διελέγχουσιν οἱ πλεῖστοι, καὶ μάλιστα Εἰρηναῖος, ἐν τῷ κατὰ τῶν αἱρέσεων. λέγουσι γὰρ, τὸν ὑπὸ νόμου, καὶ τὸν προφητῶν Θεὸν, μὴ εἶναι Πατέρα τοῦ Κυρίου Ἰησοῦ[4] Χριστοῦ. τὸν μὲν γὰρ γινώσκεσθαι, τὸν δὲ, ἀγνῶτα εἶναι· καὶ τὸν μὲν ἀγαθὸν, τὸν δὲ, δίκαιον. οὗτοι δὲ καὶ νυμφῶνα κατασκευάζουσι, καὶ πνευματικὸν τελοῦσι γάμον· μιμούμενοι, καθά φησιν πλανώμενοι, τὰς οὐρανίους δυνάμεις. βαπτίζουσι δὲ λέγοντες, εἰς τὸ ὄνομα ἀγνώστου πατρὸς τῶν ὅλων, εἰς ἀλήθειαν μητέρα πάντων, εἰς τὸν κατελθόντα εἰς τὸν Ἰησοῦν.

Ἀλκιβιάδου τινὸς τῶν ἐν Γαλλίᾳ μαρτύρων ἐγκρατευομένου πολὺ, καὶ μηδέποτε μεταλαμβάνοντος πλὴν ἄρτου καὶ ὕδατος· τοῦτο δὲ καὶ ἐν τῷ δεσμωτηρίῳ πειρωμένου ποιεῖν, ἀπεκαλύφθη Ἀττάλῳ τῷ μάρτυρι ἐν τῷ δεσμωτηρίῳ, μετὰ τὸν ἀμφιθεάτρῳ πρῶτον αὐτοῦ ἀγῶνα, ὅτι οὐ καλῶς ποιεῖ, Ἀλκιβιάδα, μὴ χρώμενος τοῖς κτίσμασι τοῦ Θεοῦ, καὶ ἄλλοις τύπος σκανδάλου γενόμενος. ὧν ἀκούσας Ἀλκιβιάδης, πάντων μεταλαμβάνων, ηὐχαρίστει τῷ Θεῷ.

Ἀλέξανδρος ὁ Ἱεροσολύμων ἐπίσκοπος βιβλιοθήκην κατεσκεύασεν, πολλῶν συναγωγὴν βιβλίων ποιησάμενος· ἐξ ἧς ὁ Εὐσέβιος τῆς ἐκκλησιαστικῆς ἱστορίας τὰς ὕλας λαβεῖν οὐκ ἠρνήσατο· ἐν οἷς ὀνομαστὶ τῶν Βηρύλλου[5] τοῦ Βόστρων ἐπισκόπου σπουδασμάτων ἐμνήσθη, καὶ τῶν Ἱπποκράτους[6] καὶ Γαΐου τὰ κατὰ Ζέφυρον[7] Ῥώμης ἐπίσκοπον, πρὸς Πρόκλον κατὰ Μοντανοῦ.

Ἡ αἱμόρρους γυνὴ, ἣν ὁ Κύριος ἐκ τῆς αἱμορροίας ἰάσατο,

[2] ἐπίγιον Cod. [3] κέδρων Cod. [4] Ἰεσοῦ Cod. [5] βιρύλλου Cod.
[6] Leg. Ἱππολύτου Euseb. Eccl. Hist. vi. 20. [7] Ζεφυρῖνον ibid.

στήλην ἐποίησεν εἰς τὸ τοῦ Κυρίου ἐκτύπωμα, ἣν ἐν Παναιάδι τῆς Φοινίκης, ἐξ ἧς καὶ ὡρμᾶτο, πρὸ τοῦ ἰδίου οἴκου ἀνέστησεν. βοτάναι δὲ ἐκ τοῦ βωμοῦ, ἐν ᾧ ἡ στήλη, φυόμεναι προίασιν, καὶ πάσης νόσου ὑπάρχουσιν ἐπιτήδειοι.

Ὁ μέντοι Διονύσιος ὡς ἁγίαν μὲν τὴν ἀποκάλυψιν τιμᾷ, καὶ τὴν ἑαυτοῦ ὑπερβαίνειν δύναμιν κατατίθεται· οὐ πάντῃ δὲ πείθεται αὐτὴν Ἰωάννου τοῦ Θεολόγου· ἀλλ' ἑτέρου τινὸς οἴεται ὁμωνύμου εἶναι τῷ Θεολόγῳ. τὰς δὲ αἰτίας, δι' ἃς οὐ πείθεται, αὐτὸς ἐν τοῖς κατὰ Νέπωτος διέρχεται.

Καὶ Ἀνατόλιος ὁ Λαοδικείας ἐπίσκοπος μέγας καὶ λόγιος, οὗ καὶ οἱ κανόνες τοῦ Πάσχα εἰσίν.

Ἄνθιμος ὁ Νικομηδείας ἐπίσκοπος, μαρτυρίῳ τελειοῦται, σὺν πολλῷ πλήθει Χριστιανῶν. ἐμπρησμοῦ γὰρ ἐν τοῖς βασιλείοις γεγενημένου, ὑπολαβὼν Διοκλητιανὸς Χριστιανοὺς τοῦτο πεπραχέναι, διὰ τὸν ὑπ' αὐτοῦ κατ' αὐτῶν διωγμὸν σωρηδὸν κατ' ἀγέλας τὰς Χριστιανῶν μυριάδας ἀνεῖλεν.

Διοκλητιανὸς φρικωδέστατον κατὰ Χριστιανῶν ἤγειρε διωγμὸν, καὶ πολλὰς μυριάδας Χριστιανῶν κατὰ πάντα τόπον ἀνεῖλεν· παντοίας κατὰ τῶν μαρτύρων ἐπινοήσας βασάνους· ἐν οἷς καὶ μεθ' ὧν ἐμαρτύρησεν Ἄδακτος μάγιστρος, ἐφ' οὗ γέγονε κατὰ τὴν Ἀντιόχειαν, τὸ τῆς γυναικὸς, τῆς βίῳ καὶ γένει καὶ κάλλει σώματος περιβοήτου. ἥτις σὺν δυσὶ θυγατράσι παρθένοις κάλλει καὶ συνέσει διαβοήτοις, μετὰ πολλὰς φυγὰς συσχεθεῖσα, φόβῳ τοῦ μὴ διαφθαρῆναι αὐταῖς τὴν σωφροσύνην, ἑαυτὴν σὺν ταῖς θυγατράσιν ἔρριψε κατὰ τοῦ ποταμοῦ. περὶ ὧν ζητητέον, εἰ ἀριθμοῦνται εἰς μάρτυρας.

Διοκλητιανὸς παράφρων ἐγένετο, καὶ τὸ βασιλικὸν ἀξίωμα ἀποθέμενος, ἰδιωτικὸν σχῆμα ἄκων ἀνέλαβεν· ὁμοίως δὲ καὶ Μαξιμιανὸς ὁ Ἑρκούλιος, ἀγχόνῃ τὸν βίον μετάλλαξεν. Διοκλητιανὸς δὲ, μακρᾷ νόσῳ μαραινόμενος ἐδαπανήθη.

Κωνστάντιος ὁ Κωνσταντίου πατὴρ, εὐσεβὴς ἦν, καὶ τὸν υἱὸν ὁμοίως ἐπαίδευσεν, καὶ τῷ καθ' ἡμῶν ἐπὶ τοῦ Διοκλητιανοῦ διωγμῷ, οὐδαμῶς ἐκοινώνησεν· ἀλλὰ καὶ τοὺς ὑπ' αὐτοῦ χριστιανίζειν ἀδεῶς καὶ ἀκωλύτως ἐπέτρεπεν· καὶ τὸν ἅπαντα βίον εὐδαιμόνως ζήσας, μακαρίως ἀπέθανεν.

Μαξέντιος ὑποκριθεὶς τὴν περὶ ἡμᾶς εὐσέβειαν, ὕστερον πᾶν δεινὸν εἰργάσατο, μοιχείας γυναιξὶ τῶν ἐν τέλει, φόνους καὶ ἁρπαγὰς, καὶ τὰ τούτων χείρονα· γοητειῶν δὲ καὶ μαντειῶν μηδὲν πράττων χωρίς· καὶ ταῦτα μὲν ἐν Ῥώμῃ Μαξέντιος. Μαξιμῖνος δὲ ἐπ' ἀνατολῆς τὰ μείζονα τούτων εἰργάζετο κακὰ, δύο κακῶν ἀνατολὴν καὶ δύσιν κρατούντων. δέκα δέ ἔτη τὸν κατὰ Χριστιανῶν πόλεμον ἀνερρίπησαν.

Κύριλλος ὁ Ἱεροσολύμων ἐπίσκοπος, μητράδελφος ἦν Γελασίου τοῦ Καισαρείας· καὶ αὐτὸς τελευτῶν, κατέκρινεν, ἐγγράφως Γελάσιον, ἐπὶ τὴν ἱστορίαν τῶν μετὰ Εὐσέβιον, καὶ ὧν οὐκ ἔγραφεν ὁ Εὐσέβιος, ἐλθεῖν.

Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἑρκούλιος κατὰ ταυτῶν ἀμφότεροι Ῥωμαίων ἐβασίλευον. καὶ γνώμῃ κοινῇ τὴν βασιλείαν ἀπέθεντο, καὶ ἰδιωτικὸν σχῆμα ἀνέλαβον· καὶ ἐπ' ὄψεσι[8] τοῦ στρατοῦ καθιστῶσι βασιλεῖς, Κωνστάντιόν τε τὸν Κωνσταντίνου πατέρα, καὶ Μαξιμιανὸν τὸν Γαλέριον ἄλλον. μεταμεληθέντες δὲ, καὶ πάλιν βασιλεῦσαι θελήσαντες, ψήφῳ κοινῇ τῆς συγκλήτου ἀναιροῦνται.

Λικίνιος φόβῳ τοῦ βασιλέως Κωνσταντίνου, τὸν καθ' ἡμῶν κρυφίως δόλον εἰργάζετο. ὕστερον δὲ φανερῶς καθ' ἡμῶν παρετάξατο. Κωνσταντῖνος δὲ πρὸς τοῦτο κατὰ Λικίνιου ὀργίζεται· καὶ πολέμου μεταξὺ αὐτῶν γενομένου, ἐν Χρυσοπόλει ζῶν συνεσχέθη Λικίνιος· ὃν τὴν Θεσσαλονίκην οἰκεῖν προσέταξεν ἡσυχάζοντα· πάλιν δὲ νεωτερίζοντα καὶ ὅπλων ἅπτεσθαι μέλλοντα, ἀναιρεθῆναι ἐκέλευσεν.

Μαξεντίου καὶ Λικινίου ἀναιρεθέντων, πάσης κρατήσεως[9] τῆς ὑπὸ Ῥωμαίους γῆς Κωνσταντῖνος, πάμπολλα ὑπὲρ τῆς Χριστιανικῆς θρησκείας ἐνομοθέτησέν τε καὶ ἔπραξεν, καὶ τὴν παρασκευὴν καὶ τὴν κυριακὴν τιμᾶσθαι προσέταξε· τὴν μὲν διὰ τὸν σταυρὸν τοῦ Κυρίου, τὴν δὲ διὰ τὴν ἀνάστασιν. ἐνομοθέτησέν τε σταυρῷ μηκέτι καταδικάζεσθαι ἄνθρωπον, διὰ τὸ σέβας τὸ πρὸς τὸν σταυρὸν τοῦ Σωτῆρος· τοῖς δὲ νομίσμασιν αὐτοῦ καὶ εἰκόνι, τὸν σταυρὸν συνεκτυποῦσθαι διαπαντός. Μακάριος, καὶ Παφνούτιος, καὶ Σπυρίδων, καὶ ἕτεροι τοιοῦτοι τέλειοι κατὰ ἀρετὴν ἐν τῷ χρόνῳ τούτῳ

8 ἐπόψεσι Cod.

9 Leg. κρατήσας.

ἤκμαζον· φησὶν δὲ ὅτι πρῶτος ἐν μοναχοῖς, Ἀντώνιος ἠγωνίσατο· καὶ μετ' αὐτὸν Παῦλος, ὃν ἐκάλουν ἁπλοῦν. Κωνσταντίνου τοῦ βασιλέως ὑπὸ Ἑλλήνων φιλοσόφων ὀνειδισθέντος εἰς τὸ Βυζάντιον, ὡς οὐ πράττει καλῶς παρὰ τὰ ἔθη τῶν παρὰ Ῥωμαίοις βασιλευσάντων διαγινόμενος, ἀλλὰ νεωτερίζοι, τὴν θρησκείαν μεταθέμενος. ἔδοξεν ἕνα τῶν φιλοσόφων διαλεχθῆναι Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ τοῦ Βυζαντίου περὶ τῆς πίστεως· λόγων δὲ ἄπειρος ὢν ὁ Ἀλέξανδρος, τὰ δὲ ἄλλα θεῖος, ἐν τῇ ὥρᾳ τῆς διαλέξεως εἶπεν τῷ διαλεκτικῷ φιλοσόφῳ "ἐν ὀνόματι Ἰησοῦ[8] Χριστοῦ τοῦ Θεοῦ, ἐπι-"τάττω σοι σιωπᾶν, καὶ μὴ φθέγγεσθαι" ἅμα δὲ τῷ λόγῳ ἐφιμώθη, καὶ ἔμεινεν ἄλαλος.

Τῆς συνόδου θελούσης κανονίσαι, ὥστε κληρικὸν μὴ συνέρχεσθαι πρὸς γάμον γυναικί, ἣν πρὸ τοῦ κλήρου ἠγάγετο, Παφνούτιος ὡς βαρὺν τὸν λόγον ἀνέτρεψεν, καὶ συμπαθέστερον κανόνα ἐτύπωσεν, καίπερ γυναικὸς μὴ ἐλθὼν εἰς πεῖραν τὸ σύνολον.

Ἐν τῷ ζωοποιῷ τοῦ Κυρίου τάφῳ, βωμὸν οἱ Ἕλληνες καὶ οἶκον Ἀφροδίτης ἱδρύσαντο, καὶ θυσίας ἐτέλουν· τὸ θεῖον σέβας τοῦ τόπου λήθῃ καλύψαι νομίζοντες. Θεὸς δὲ κινεῖ τὸν Κωνσταντῖνον εἰς ἀνακάθαρσιν τοῦ ἁγίου τόπου, καὶ πέμψας τὴν μητέρα, τοὺς ἱεροὺς τόπους ἐκάθαρεν· καὶ τὸ πανάγιον ξύλον τοῦ σταυροῦ εὗρε κρυπτόμενον, Μακαρίου τηνικαῦτα ἐπισκόπου τῶν[9] Ἱεροσολύμων τυγχάνοντος. τοὺς ἥλους καὶ μέρος τοῦ ξύλου τοῦ σταυροῦ Κυρίου τῷ υἱῷ Ἑλένη ἀπέστειλε· καὶ τῶν μὲν ἥλων τὸν ἕνα ἐποίησε χαλινόν· τὸν δὲ ἕτερον ἑαυτῷ περικεφαλαίαν[10] σταυρίου. τὸν Βεθλεὲμ[11] πανίερον οἶκον, καὶ τὸν ἐν τῇ ἀναλήψει, Ἑλένη ἡ βασιλὶς, ᾠκοδόμησεν· τὰς δὲ ἐν τοῖς Ἱεροσολύμοις ἱερὰς παρθένους πρὸς ἑστίασιν συγκαλοῦσα, δι' ἑαυτῆς, ὡς θεράπαινα, ταῖς τραπέζαις διηκόνει, ὕδωρ ταῖς χερσὶν ἐπιχέουσα, καὶ τρυβλία πλύνουσα καὶ ποτήρια, καὶ πάντα ὅσα δοῦλον ποιεῖν ἐπιτρέποντα. Ἑλένη τιμήσαντος αὐτὴν τοῦ υἱοῦ, μόνη τ' ἂν ἐν τοῖς νομίσμασιν ἰδίας εἰκόνας ἔγραφε· καὶ ἄλλαις πολλαῖς τιμαῖς τιμηθεῖσα, ὀγδοήκοντα ἐτῶν γενομένη, ἐν εἰρήνῃ ἐτελειώθη.

Τὸν ναὸν τῆς ἁγίας Εἰρήνης, καὶ τῶν ἀποστόλων, καὶ τοῦ ἁγίου Μωκίου, καὶ τοῦ ἀρχαγγέλου τοῦ ἐν τῷ ἀνάπλῳ, ὁ βασιλεὺς

[8] ἰεσοῦ Cod. [9] τὸν Cod. [10] περὶ κεφ. Cod. [11] βιθλεὲν Cod.

ἔκτισεν· ἐν δὲ τῷ ναῷ τοῦ ἀνάπλου, πολλὰ παράδοξα σημεῖα καὶ ἰδεῖν καὶ ἀκοῦσαι, ὁ Σωκράτης διισχυρίζεται.

Ταῦτα Ῥουφῖνος παρὰ Αἰδεσίου ἀκηκοέναι ἱστόρησεν. Ἴβηρες ἐν τῷ αὐτῷ χρόνῳ χριστιανίζουσιν, ἀρχὴν λαβόντες τὰ ἐκ τῆς αἰχμαλώτου Χριστιανῆς γινόμενα θαύματα, καὶ τὴν ἐπιπεσοῦσαν ἀχλὺν κυνηγοῦντι τῷ βασιλεῖ τῶν Ἰβήρων. Ταῦτα Ῥουφῖνος παρὰ Βακκουρίου τοῦ βασιλίσκου τῶν Ἰβήρων ἀκηκοέναι φησίν. Σωκράτης δὲ ὑπὸ Ῥουφίνου παρέλαβεν.

Τῶν μυσαρῶν Μανιχαίων ἡ αἵρεσις ἔσχεν ἀρχηγὸν Σκυθιανόν τινα οὕτως καλούμενον, Σαρακηνὸν τῷ γένει. τούτῳ μαθητὴς γεγονὸς ὁ Βόδδας, ὁ πρώην λεγόμενος Τερέβινθος[11]· οὗτος δὲ παιδευθεὶς ὑπὸ Σκυθιανοῦ τὰ Ἑλλήνων, τὴν Ἐμπεδοκλέους ἠγάπησεν αἵρεσιν, δύο λέγοντος ἀρχὰς, ἀλλήλαις ἀντικειμένας. εἰσελθὼν δὲ ἐν τῇ Περσίδι, ἐκ παρθένου ἔλεγεν ἑαυτὸν γεγεννῆσθαι, τετράφθαι δὲ τοῖς ὄρεσιν. οὗτος συνέγραψε δ̅ βίβλους, οἷς ἐπιτέθηκεν ὀνόματα ταῦτα· τὸ α, τῶν μυστηρίων, ὅθεν καὶ ὅπως τὸ τῶν Μανιχαίων σύστημα· τὸ β̅, εὐαγγέλιον· τὸ γ̅, θησαυρόν· τὸ δ̅, τῶν κεφαλαίων· οὗτος ὁ Βόδδας καὶ ὁ Τερέβινθος, ὑπὸ πνεύματος ἀκαθάρτου δισκευθεὶς ἀπώλετο.

Γυνὴ δέ τις παρ' ᾗ[12] καὶ κατέλυσε, τὰ χρήματα τούτου καὶ τὰς βιβλους κληρονομήσασα, ὠνεῖται παιδάριον ἑπτάετες ὀνόματι Κούβρικον· τοῦτον ἐλευθερώσασα, καὶ διδάξασα γράμματα, κληρονόμον τῶν ἑαυτῆς ἁπάντων καθίστησιν. λαβὼν οὖν τὰ βιβλία τοῦ Βοδδᾶ καὶ τὰ χρήματα Κούβρικος, τὴν Περσίδα διέρχεται, Μάνην ἑαυτὸν ὀνομάζων, καὶ τῆς πλάνης τοῦ Βοδδᾶ κήρυξ γινόμενος, ἴδια τὰ βιβλία λέγων εἶναι πονήματα.

Κωνσταντῖνος ὁ μέγας, τοὺς τρεῖς υἱοὺς αὐτοῦ Καίσαρας ἀνέδειξε, καθεκάστην ἐτῶν δεκάδα τῆς ἑαυτοῦ βασιλείας, Κωνσταντῖνον, Κώνσταντα, καὶ Κωνστάντιον· ζήσας τὰ ὅλα τῆς ζωῆς αὐτοῦ ἔτη ξ̅ε̅· βασιλεύσας δὲ ἔτη λ̅α̅. ἀσθενήσας ἐξῆλθεν ἐν προαστείῳ Νικομηδείας· κἀκεῖ τοῦ θείου καταξιοῦται βαπτίσματος· καὶ διαθήκας γράψας, καὶ τοῖς τρισὶν υἱοῖς τὴν βασιλείαν μέρισας, παρέθετο τὴν διαθήκην τῷ Ἀρειανῷ πρεσβυτέρῳ, τῷ ὑπὸ τῆς ἀδελ-

[11] τιρέβινδος Cod. [12] Cod. παρῆ. vid. Socr. Ecc. H. 1. 22. p. 46. C.

φῆς αὐτῷ Κωνσταντίας, παρατεθέντι· ἐντειλάμενος μηδενὶ ἑτέρῳ τὰς διαθήκας παρασχεῖν, ἢ Κωνσταντίῳ τῷ τῆς ἑώας βασιλεύειν λαχόντι· παρεκελεύσατο δὲ τελευτῶν, Ἀθανάσιον τὸν ἱερὸν εἰς τὸν ἴδιον θρόνον ἐπανελθεῖν.

Ὁ Ἀρειανὸς πρεσβύτερος τὰς διαθήκας δοὺς Κωνσταντίῳ· αὐτὸς γὰρ ἐκ τῆς ἑώας φθάσας, τὸ τοῦ πατρὸς σῶμα εἰς τοὺς Ἀποστόλους κατέθετο, πολλῆς παρρησίας ἔτυχεν· καὶ τοὺς ἐν τῆς βασιλείοις καὶ αὐτὴν βασιλίδα ἀρειανίζειν ἔπεισεν· συνεργοῦντα ἔχων Εὐσέβιον τὸν τῶν εὐνούχων πρωτεύοντα.

Κωνσταντῖνος ὁ υἱὸς Κωνσταντίνου, ὑπὸ τῶν στρατηγῶν Κωνσταντίου τοῦ ἰδίου ἀδελφοῦ ἀνῃρέθη, πολέμου μεταξὺ αὐτῶν συστάντος, παρὰ Ἀκυληΐαν[13].

Ἀλεξάνδρου τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως τελευτήσαντος, Παῦλος χειροτονεῖται, Μακεδονίου συμψήφου γενομένου· ὃς πρεσβύτερος τῆς ἐκκλησίας ἐτύγχανεν ὤν· διὸ καὶ ταραχὴ γέγονε μεγάλη, τῶν Ἀρειανῶν σπουδαζόντων Μακεδονίῳ. μετ' ὀλίγον δὲ ἐπιστὰς τῇ πόλει Κωνστάντιος, συνέδριον καθίσας, Παῦλον μὲν σχολάζειν ἐποίησεν· ἐνεθρόνισε δὲ τὸν Νικομηδείας Εὐσέβιον εἰς τὸν θρόνον Κωνσταντινουποπόλεως. τῶν ἐγκαινίων τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας γενομένων, ἣν Κωνσταντῖνος ὁ μέγας ἔκτισε βασιλεύς, συνελθόντες ἐπίσκοποι ἀριθμῷ ϟζ, ὧν ἡγεῖτο Εὐσέβιος ὁ Νικομηδείας, πάλιν Ἀθανασίῳ σκευάζουσιν, καὶ προχειρίζονται Ἀλεξανδρείας ἐπίσκοπον.

Τὴν μεγάλην ἐκκλησίαν τὴν καλουμένην Σοφίαν, Κωνστάντιος ἔκτισεν· οὐ κατὰ τὸ νῦν ὁρώμενον αὐτῆς σχῆμα καὶ μέγεθος, ἀλλὰ καθ' ἕτερον, πολὺ τοῦ νῦν ἀποδέοντος· τὸ γὰρ νῦν αὐτῆς ἁγιοπρεπὲς κάλλος, χρόνοις ὕστερον γέγονεν, οὐκ ἀπ' ἀνθρώπου, ἀλλὰ ἀπὸ θεοῦ, τοῦ ἐπὶ τὴν ἄσειστον αὐτὴν πέτραν θεμελιώσαντος καὶ φυλάσσοντος, καὶ καθ' ἡμέραν ἐρείδοντος.

Ἀθανασίῳ πάλιν οἱ Ἀρειανοὶ σκευάζουσι, θάνατον πλασάμενοι, ὅτι τὸ σιτηρέσιον, ὅπερ Κωνσταντῖνος ὁ μέγας εἰς ἀποτροφὴν πτωχῶν ἐχαρίσατο, ἐξαργυρίζει καὶ κλέπτει ὁ Ἀθανάσιος· ὅπερ πιστεύσας Κωνστάντιος, θάνατον Ἀθανασίῳ ἠπείλησεν· τοῦτο δὲ προγνοὺς, φυγὼν αὖθις, τὴν Ῥώμην κατέλαβεν.

13 ἀκυλίαν Cod.

Ἐφραὶμ ὁ Σύρος μέγας ἦν ἔργῳ καὶ λόγῳ, καὶ πολλὰ ἐγγράφως ὠφέλιμα[14] καταλέλοιπεν. φασὶ δὲ ὅτι τ̄ μυριάδας στίχους ἐκδέδωκεν· καὶ τὰ αὐτοῦ ποιήματα ψάλλειν Σύρους ἐδίδασκεν· ἀντισπάσαι τοὺς πολλοὺς ἐθέλων ἐκ τῆς πλάνης τοῦ Βαρδισάνου, διὰ τοῦ μέλους καὶ τῆς ᾠδῆς ἐφελκομένου τοὺς πλείονας. διάκονος δὲ ἦν Αἰδέσης ὁ μέγας Ἐφραίμ· καὶ μεῖζόν τι γενέσθαι οὐκ ἐδέξατο.

Κωνστάντιος καὶ Κώνστας ἐνομοθέτησαν Ἰουδαίων μὴ ὠνεῖσθαι δοῦλον ἐθνικόν· ἐπεὶ[15] τὸν ὠνούμενον δοῦλον δημόσιον γίνεσθαι· εἰ δὲ καὶ περιτεμεῖν τολμήσοι Ἰουδαῖος ὃν ὠνήσοιτο δοῦλον, εἰς κεφαλὴν λάβει τὸν κίνδυνον, καὶ τῶν ὑπαρχόντων ἀφαίρεσιν.

Στέφανος δὲ ὁ Ἀντιοχείας ἐπίσκοπος Ἀρειανὸς ὅτι μάλιστα, τὸ κατὰ τὴν ἑταιρίδα δρᾶμα κατὰ τῶν ἐπισκόπων ἐτόλμησεν, ἔχων Ὄναγρον τὸν νεανίαν Ἀρειανὸν συμπαίζοντα τῷ τολμήματι.

Ἀδελφὸς δὲ ἦν ὁ Γάλλος Ἰουλιανοῦ τοῦ παραβάτου· ἐν τούτῳ τῷ χρόνῳ, Κυρίλλου ἐν Ἱεροσολύμοις ἐπισκόπου τυγχάνοντος, ἐν οὐρανῷ τὸ σημεῖον τοῦ ζωοποιοῦ σταυροῦ ἐφάνη, ἀπὸ τοῦ ἁγίου κρανίου τόπου μέχρι τοῦ ὄρους διῆκον τῶν Ἐλαιῶν· περὶ οὗ καὶ φέρεται πρὸς Κωνστάντιον ὑπὸ Κυρίλλου ἀναφορά.

Ἐν Διοκαισαρείᾳ τῆς Παλαιστίνης, Ἰουδαῖοι ὅπλα κατὰ Χριστιανῶν ἐκίνησαν. Γάλλος[16] δὲ ὁ Καίσαρ ἐκ τοῦ πλησίον πολεμήσας, πολλοὺς ἀνεῖλε τῶν Ἰουδαίων· καὶ αὐτὴν δὲ Διοκαισάρειαν καθεῖλεν ἕως ἐδάφους. ἐπαρθεὶς δὲ τῇ νίκῃ τὴν εὐπραγίαν οὐκ ἤνεγκεν· ἀλλὰ πρὸς τυραννίαν ἰδών, Δομιτιανὸν ἔπαρχον τῆς ἑῴας, καὶ Μάγνον κυαίστωρα ἀνεῖλεν, μηνύσαντας[17] Κωνσταντίῳ τὰ τῆς βουλῆς αὐτοῦ· ὅπερ γνοὺς ὁ Κωνστάντιος μετάπεμπτον ποιησάμενος Γάλλον, περὶ Θαλμῶνα[18] τὴν νῆσον ἀναιρεθῆναι προσέταξεν.

Πολλάκις τὰς ἐπιβουλὰς θεόθεν προγνοὺς διέφυγεν Ἀθανάσιος· ὡς ἐκ τούτου τοὺς Ἕλληνας καὶ τοὺς ἑτεροδόξους γοητείαν ἐπιφημίζειν τῷ ἁγίῳ, ὡς καὶ προερχομένῳ τοὺς Ἕλληνας ἐπὶ τῇ φωνῇ τῆς κορώνης ἐπιπαίζειν, πυνθανομένους τί ἄρα σημαίνοι ἡ

[14] ὠχέλιμα Cod. [15] Leg. ἔπειτα. [16] γάλλιος Cod. [17] Cod. μηνύσαντος, sed μηνύσαντας leg. cum Socr. H. Eccl. ii. 34. p. 106. [18] φλάνωνα Socr. loc. cit.

κοράνη κράζουσα· τὸν δὲ, γελῶντα εἰπεῖν, ὅτι τὸ κρὰς τῇ Ῥωμαίων φωνῇ σημαίνει τὸ αὔριον· "αὔριον τοίνυν" φησὶν "ὁ Ῥωμαίων "βασιλεὺς διὰ θεσπίσματος κωλύσει τοὺς Ἕλληνας τελέσαι τὴν "ἑορτὴν αὐτῶν·" ὅπερ πρὸς ἔργον ἐκβέβηκεν· τῇ ἐπαύριον, κωλυθέντων Ἑλλήνων διὰ θεσπίσματος Κωνσταντίου, ἑορτάσαι τὴν ἑορτὴν αὐτῶν.

Ἐν Καισαρείᾳ τῆς Φιλίππου, τῇ νῦν Πανεάδι, ἀνδριὰς ἦν τοῦ Κυρίου, ὃν ἡ αἱμόρρους εὐχαριστήριον, ἐθνικῷ τινὶ ἔθει, πρὸ τοῦ ἰδίου οἴκου ἀνέστησεν. τοῦτον καταγαγεῖν Ἰουλιανὸς ἐπέτρεψεν Ἕλλησιν· ὅπερ καὶ πραξάντων, πρὸς ἐμπαιγμὸν δῆθεν συράντων, ἴδιον ἀντ' ἐκείνου ἔστησεν Ἰουλιανὸς ξόανον. πῦρ δὲ κατελθὸν οὐρανόθεν, τοῦτο κατέφλεξεν. βοτάνη δέ τις ἐφύετο ἐν τῇ βάσει, ἐν ᾗ ὁ ἀνδριὰς τοῦ Κυρίου πρότερον ἵστατο. πάσῃ μὲν ἀνθρωπίνῃ φύσει τυγχάνουσα ἄγνωστος, παντὸς δὲ πάθους ἀλεξητήριον. τὸν μέντοι ἀνδριάντα τοῦ Κυρίου οἱ Ἕλληνες τότε κατέκλασαν· οἱ δὲ Χριστιανοὶ τοῦτον συλλέξαντες εἰς ἐκκλησίαν ἀπέθεντο.

Ἐν Νικοπόλει τῆς Παλαιστίνης, τῇ ποτὲ Ἐμμαοὺς, πηγή ἐστιν, παντοίων παθῶν, ἀνθρώπων τε καὶ ἀλόγων, ἰάσεις παρέχουσα· ἐν ᾗ λόγος, τὸν Κύριον ἐξ ὁδοιπορίας τοὺς πόδας ἀπονίψασθαι.

Ἐν Ἑρμουπόλει τῆς Θηβαΐδος, δένδρον ἵσταται περσέα· ἧς φύλλον ἢ κάρφος, ἢ μέρος τοῦ φλοιοῦ, πρὸς πᾶσαν ἀνθρώπων ἴασιν ἐστὶν ἐπιτήδειον. φασὶ δὲ ὅτι ἡνίκα ὁ Ἰωσὴφ τὸν Κύριον λαβὼν, καὶ τὴν παναγίαν παρθένον καὶ θεότοκον εἰς Αἴγυπτον ἔφυγεν· φθασάσης τῆς θεοτόκου σὺν τῷ Κυρίῳ τὸν τόπον ἐν ᾧ τὸ δένδρον ἵστατο, κλιθὲν εἰς τὴν γῆν προσεκύνησεν, καὶ σώζειν μέχρι νῦν τὸ σχῆμα τῆς προσκυνήσεως.

Ἰουλιανὸς ἐτίμα τοὺς Ἰουδαίους, μίσει τῷ πρὸς Χριστιανοὺς εἰς τοῦτο κινούμενος· διὸ καὶ χρήματα δημοσίᾳ δοὺς, τὸν ναὸν οἰκοδομῆσαι, τὸν ἐν Ἱεροσολύμοις προσέταξεν· ὧν ἀρξαμένων τοῦ ἔργου, θεία τούτους μέτεισιν ὀργὴ [18], πυρὶ πάντα καταναλώσασα.

Πορφύριος ὁ καθ' ἡμῶν λυττήσας, Τύριος ἦν τῷ γένει· Χριστιανὸς δὲ ὢν ὁ ἄθλιος πρότερον, ἐτυπτήθη ἐν Καισαρείᾳ τῆς Παλαι-

[18] ὀργῇ Cod.

στίνης ὑπὸ Χριστιανῶν· καὶ μὴ ἐνεγκὼν τὴν ὀργὴν, μετῆλθεν εἰς τὸν Ἑλληνισμὸν, καὶ οὕτως εἰς τὸ γράφειν κατὰ τῆς ἀληθείας ὁ κύων ἐτόλμησεν ἀναιδεύσασθαι.

Δημοσθένους ἑνὸς τῶν ὀψοποιούντων τῷ Οὐάλεντι, ἐν τῇ πρὸς Οὐάλεντα συντυχίᾳ καταδραμόντος τοῦ Βασιλείου καὶ βαρβαρίσαντος· μικρὸν μειδιάσας, ἔφησεν ὁ διδάσκαλος, ἰδοὺ ἐθεασάμεθα καὶ Δημοσθένην ἀγράμματον.

Αἰδεσθεὶς ὁ Οὐάλης Βασίλειον, πολλὰ χωρία καὶ κάλλιστα, τοῖς ὑπὸ τοῦ διδασκάλου φροντιζομένοις, λελωβημένοις εἰς πρόσοδον ἐδώρησατο.

Οἱ Γότθοι εἰς ἓν πάλιν γενόμενοι ἐπολέμουν τῷ Οὐάλεντι· ὡς καὶ τὴν πόλιν ὕβρεσι κατ' αὐτοῦ χαλεπαῖς χρήσασθαι, μὴ ἐξιόντος εἰς πόλεμον. ἐξερχομένου δὲ αὐτοῦ, Ἰσαάκιος ὁ ἱερὸς μοναχὸς, κρατήσας τοῦ χαλινοῦ τοῦ ἵππου αὐτοῦ, ἔφησε πρὸς αὐτόν· ποῖ βαδίζειν, ὦ βασιλεῦ, κατὰ Θεοῦ στρατευόμενος, καὶ Θεὸν ἔχων ἀντίπαλον; πρὸς ὃν ὀργισθεὶς ὁ Οὐάλης, φρουρεῖσθαι προσέταξεν· ἐπαπειλήσας αὐτῷ θάνατον, εἰ ἐπανέλθοι, ὡς τῷ Μιχαίᾳ ὁ Ἀχαάβ[19]. συμβαλὼν τοῖς Γότθοις Οὐάλης, καὶ κακῶς ἡττηθεὶς, φεύγει σὺν ὀλίγοις εἰς οἴκημα· ὅπερ αἰσθόμενοι οἱ πολέμοι, κατέκαυσαν αὐτὸν σὺν τοῖς οὖσιν σὺν αὐτῷ, καὶ αὐτῷ τῷ οἰκήματι.

Πέτρος Ἀλεξανδρείας ὀλίγον χρόνον ἐπιβιοὺς μετὰ τὴν ὑποστροφὴν τὴν ἀπὸ τῆς φυγῆς, ἐτελεύτησεν. Τιμόθεος δὲ ὁ ἀδελφὸς αὐτοῦ ἐχειροτονήθη τῆς ἐκκλησίας Ἀλεξανδρείας ἐπίσκοπος.

[20] Ἀπολινάριος ὁ Λαοδικεὺς βαθμοὺς ἐπὶ τῆς θείας φύσεως δοξάζειν ἐτόλμησε· καὶ ψυχὴν λογικὴν τὴν σάρκα τοῦ Κυρίου ἔχειν οὐκ ἔλεγεν· τὸ δὲ σῶμα τοῦ Κυρίου, ποτὲ μὲν ἐξ οὐρανοῦ, ποτὲ δὲ ἐκ τῆς παναγίας θεοτόκου ἐκήρυττεν· καὶ μύθους δέ τινας ταῖς θείαις ἐπαγγελίαις συνέζευξεν.

Θεοδόσιος ὁ μέγας, νόμον ἐξέθετο γυναῖκα εἰς διακονίαν μὴ προχειρίζεσθαι, εἰ μὴ ὑπὲρ ξ̄ εἴη ἐτῶν.

Ἐπὶ Θεοδοσίου ἡ τιμία κεφαλὴ τοῦ βαπτιστοῦ Ἰωάννου, ἐν Κωνσταντινουπόλει διεκομίσθη· εὑρεθεῖσα μὲν πρότερον παρά τισι μοναχοῖς τῆς Μακεδονίου αἱρέσεως· οἵ τινες ἐξ Ἱεροσολύμων ἐλθόντες εἰς Κιλικίαν διέτριψαν. Μαρδονίου δὲ τοῦ εὐνούχου τοῦτο

[19] ἀχαάμ Cod. [20] Hæc partim descripsit Suidas v. Ἀπολινάριος in fin.

μαθόντος καὶ μηνύσαντος Οὐάλεντι, μετεκομίζετο ἐκ προστάξεως αὐτοῦ ἐν Κωνσταντινουπόλει. Θεοδόσιον δὲ τῆς εὐσεβείας ὁ Θεὸς ἀμειβόμενος, μεταγαγεῖν αὐτὴν τῷ βασιλεῖ συνεχώρησεν· ἣν καὶ ἐν τῷ ἑβδόμῳ ἀπέθετο, ναὸν περικαλλῆ καὶ μέγιστον τῷ προδρόμῳ οἰκοδομήσας.

Διὰ τοὺς γενομένους φόνους ἐν τῇ Θεσσαλονίκῃ προφάσει τοῦ ἡνιόχου καὶ τοῦ παιδὸς τοῦ ἐπάρχου, καὶ τῆς διὰ τὸν θάνατον τοῦ ἐπάρχου ὀργῆς τοῦ βασίλεως, ἐξ ἧς καὶ ἀνέδην οἱ φόνοι γεγόνασι, Ἀμβρόσιος γενόμενος ἐν Μεδιολάνῳ, Θεοδόσιον εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν οὐκ εἴασεν ἕως τέλους μηνῶν ὀκτώ· ἐν δὲ τῇ γενεθλίῳ τοῦ Σωτῆρος ἡμέρᾳ, Ῥουφίνῳ τῷ μαγίστρῳ εἰς παράκλησιν ἐλθόντι, δεινῶς ἐχρήσατο ὁ Ἀμβρόσιος.

Νόμον δὲ τοῦ βασιλέως ἐξ ἐπιτροπῆς Ἀμβροσίου ἐκθεμένου, ὥστε τοῖς καταδικαζομένοις θανάτῳ ἢ καὶ δημεύσει, τριάκοντα ἡμερῶν προθεσμίαν εἰς διάσκεψιν δίδοσθαι, προσεδέξατο αὐτὸν Ἀμβρόσιος εἰς τὴν ἐκκλησίαν· ἀλλ' οὐκέτι αὐτὸν τὸ θυσιαστήριον εἰσελθεῖν συνεχώρησεν, μεχρὶς ἐκείνου τούτου κρατοῦντος τοῦ ἔθους· ἔξω δὲ καὶ μᾶλλον ἑστάναι μετὰ τοῦ λαοῦ τῷ βασιλεῖ ἐπέτρεψεν· ὅπερ καὶ ἐξ ἐκείνου φυλάττεται.

Θεοδόσιος ἐλθὼν εἰς τὴν ἐκκλησίαν Κωνσταντινούπολιν, οὐκ ἔτι πρὸς τὸ ἀρχαῖον ἔθος ἐν τῷ ἱερατείῳ ἑστὼς τὴν λειτουργίαν ἐποίει, ἀλλ' ἔξω σὺν τῷ λαῷ. Νεκταρίου δὲ τῷ βασιλεῖ δηλώσαντος δι' ἣν αἰτίαν οὐ πρὸς τὸ ἔθος εἰς τὸ ἱερατεῖον μεμένηκεν, ἐδήλωσεν αὐτῷ Θεοδόσιος, "ὅτι Ἀμβρόσιος ὁ ἐπίσκοπος ἐδίδαξέ "με πόσον ἐστὶν ἱερέως πρὸς λαϊκὸν τὸ διάφορον."

Νεκταρίου τοῦ ἐπισκόπου τελευτήσαντος, κοινῇ ψήφῳ Ἀρκάδιος ἐκ τῆς Ἀντιοχέων Ἰωάννην μεταστειλάμενος, χειροτονηθῆναι παρεσκεύασεν ἐν τῇ Κωνσταντινουπόλει ἐπίσκοπον· συνέβη δὲ καὶ Θεόφιλον ἐνδημεῖν, ὃς καὶ πάνυ κωλῦσαι τὴν χειροτονίαν Ἰωάννην ἐσπούδασεν.

Ἰωάννης ὁ Χρυσόστομος πολὺς ἦν καὶ βίῳ καὶ λόγῳ, καὶ ἀκριβῶς περὶ πάντα πάσαις ταῖς ἀρεταῖς λαμπρυνόμενος. ὁ δὲ λαὸς ἅπας, ἠγάπα τὸν ἄνδρα· καὶ ταῖς ἐκκλησίαις διδασκαλίαις αὐτοῦ ἔχαιρεν· μῖσος δὲ κατ' αὐτοῦ οἱ κακῶς θέλοντες ζῆν ἐσχηκότες, εἰς τὸν κατ' αὐτοῦ διανέστησαν πόλεμον. ἐπεσυνέβη δὲ τὰ κατὰ

τὸν εὐνοῦχον Εὐτρόπιον· εἶτα δὲ καὶ ἡ φιλονεικία Σευηριανοῦ τοῦ Γαβάλων πρὸς Σαραπίωνα, τὸν Ἰωάννην ἀρχιδιάκονον, καὶ τὸν τῶν μακρῶν ἐξ Αἰγύπτου φυγόντων Θεόφιλον, καὶ τὰ παρὰ Θεοφίλου πρὸς Ἐπιφάνιον γράμματα, καὶ οὕτως ἐξ ἁπάντων ὁ Ἰωάννης ἐπεβουλεύετο.

Ἐπεσυνέβη δὲ αὖθις τὰ κατὰ τὴν ἀργυρᾶν στήλην τῆς Εὐδοξίας· καὶ πάλιν μῖσος, καὶ πάλιν ὀργὴ, καὶ πάλιν ἔχθρα, καὶ λόγου ἐπίδειξις, οὗ ἡ ἀρχὴ, "πάλιν Ἡρωδιὰς μαίνεται·" καὶ πάλιν καθαίρεσις καὶ ἐξορία. ὅπερ γνοὺς ὁ λαὸς, τὴν ἐκκλησίαν ἐνέπρησεν· καὶ πολλοὶ ὑπὲρ Ἰωάννου κινδύνοις ὡμίλησαν. Ἰωάννου ἐξορισθέντος χειροτονεῖται Ἀρσάκιος, ὁ ἀδελφὸς Νεκταρίου τοῦ ἐπισκόπου.

Φλαβιανὸς ὁ Ἀντιοχείας τῇ ἐκβολῇ Ἰωάννου οὐδαμῶς ἐκοινώνησεν. Ἰνοκέντιος δὲ ὁ Ῥώμης, οὐ μόνον οὐ συνήνεσεν, ἀλλὰ καὶ ἔγραψε πρὸς Ἰωάννην, τοῦτον παραμυθούμενος καὶ ἀλείφων αὐτὸν πρὸς ὑπομονήν· ἔγραψε δὲ καὶ πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως, δυσχεραίνων ἐπὶ τοῖς τολμηθεῖσι κατ' αὐτοῦ, καὶ ἀχθόμενος.

21 Πουλχερία ἡ βασιλὶς, ιε ἐτῶν οὔπω τυγχάνουσα, ἄριστα τὴν βασιλείαν διῴκει· ἐπαίδευε δὲ καὶ τὸν ἀδελφὸν Θεοδόσιον. σοφωτάτη γὰρ οὖσα, καὶ θεῖον νοῦν κεκτημένη, τήν τε ἰδίαν παρθενίαν Θεῷ προσανέθηκεν· καὶ τὰς ἀδελφὰς τὸ ὅμοιον πρᾶξαι ἐδίδαξεν· εἰς πάντα δὲ, τὸν ἀδελφὸν ἐκανόνιζεν, ἦθος τὲ καὶ λόγον, καὶ βάδισμα καὶ γέλωτα καὶ ἐνδυμάτων περιβολὴν, καὶ σχῆμα καθέδρας καὶ στάσεως, βασιλικῶς ἐπαίδευσεν· πρὸ δέγε ἁπάντων, τὴν εἰς τὸ θεῖον εὐσέβειαν αὐτὸν ἐπιμελῶς ἐδίδασκεν· ὡσαύτως δὲ καὶ περὶ τὰς ἀδελφὰς διεγίνετο.

Πολλὰς ἐκκλησίας καὶ πτωχεῖα, καὶ ξενῶνας, καὶ μοναστήρια ἡ βασιλὶς Πουλχερία κτίσασα, πᾶσι προσόδους ἀφώρισεν· λέγει δὲ πρὸς ἄλλοις μυρίοις αὐτῆς κατορθώμασιν ὁ Σωζομενὸς, ὅτι πολλάκις αὐτῇ καὶ τὸ θεῖον ἐφαίνετο.

Ἀττικὸς ὁ ἐπίσκοπος, πολὺς εἰς τὰ περὶ Θεὸν εἶναι ἱστόρηται· ἐπὶ αὐτοῦ δὲ Ἰουδαῖος παραλυτικὸς προσελθὼν καὶ βαπτισθεὶς, ὑγιὴς ἐκ τῆς κολυμβήθρας ἀνῆλθεν.

21 Hæc fere exscripsit Suid. v. Πουλχερία.

Σαββάτιος Ναυατιανῶν ἀπέσχισε, προφάσει τῆς διαφορᾶς τοῦ Πάσχα, περισυνάγων ἐν τῷ ξηρολόφῳ, τολμήματι φοβέρῳ ἐνεχείρισεν· ἀναγινώσκων γὰρ τῷ λαῷ τὸ τοῦ Εὐαγγελίου ῥητὸν, τὸ, "ἦν δὲ ἡ ἑορτὴ τοῦ Πάσχα," προσέθηκεν αὐτός· "ἐπικατάρατος ὁ ἔξω ἀζύμων ποιῶν τὸ Πάσχα·" τοῦτο δὲ πολλοὺς συναρπάσαν, τῆς ἐκείνου μεταλαβεῖν ἐποίησε ματαιότητος.

Θεοφίλου τοῦ ἐπισκόπου Ἀλεξανδρείας τελευτήσαντος, προεχειρίσθη εἰς τὴν ἐπισκοπὴν Κύριλλος ὁ ἀνεψιὸς αὐτοῦ.

Πουλχερίᾳ τῇ βασιλίδι ὁ μάρτυς Θύρσος διαφόρως ὀφθεὶς, τῶν μ̄ μαρτύρων τὰ λείψανα κατεμήνυσε συγκεχωσμένα ἐν λάρνακι ὑπὸ μιᾶς γυναικὸς τῆς Μακεδονίου αἱρέσεως, ἅμα καὶ αὐτῶν τῶν μ̄ μαρτύρων ὀφθέντων τῇ βασιλίδι. Ἀρκαδία καὶ Μαρίνα τὴν ἀδελφὴν Πουλχερίαν περὶ τὴν παρθενίαν, καὶ τὴν εὐσέβειαν, καὶ τοὺς πτωχοὺς ἐμιμήσαντο· καὶ σὺν αὐτῇ τὰ θεῖα ἔργα ἐτέλουν.

Ζαχαρίου τοῦ προφήτου τὸ λείψανον, εἰς κώμην εὑρέθη τινὰ τῆς περιοικίδος Ἐλευθερουπόλεως, ἐν τοῖς χρόνοις Θεοδοσίου· ὡσαύτως δὲ καὶ τὸ Στεφάνου τοῦ πρωτομάρτυρος ἐν κώμῃ Καφαργαμάλα· ἐν ᾗ Γαμαλιὴλ ὁ Παύλου τοῦ Ἀποστόλου διδάσκαλος σὺν Ἀββίῳ τῷ υἱῷ αὐτοῦ τὸ Στεφάνου σῶμα κηδεύσας, ἐτάφη σὺν τῷ υἱῷ αὐτοῦ.

Σαββάτιος ὁ αἱρετικὸς ἐν Ῥόδῳ περιορισθεὶς, ἐτελεύτησεν· οὗ τὸ σῶμα μεταγαγόντες οἱ γνώριμοι, προσεκύνουν· ὅπερ γνοὺς Ἀττικὸς, ἀνώρυξε τοῦτο, καὶ ἐν ἄλλῳ τόπῳ ἀφανεῖ τοῦτο κατέθετο.

Πρόκλος ἐπίσκοπος ἦν ἀγαθὸς καὶ ἐνάρετος· καὶ πείσας τὸν βασιλέα, τὸ σῶμα Ἰωάννου ἀπὸ Κωμάνων μετήγαγεν εἰς Κωνσταντινούπολιν, σὺν εὐφημίᾳ πολλῇ, καὶ δημοσίαν τούτου πομπὴν ποιησάμενος, εἰς τοὺς Ἀποστόλους ἀπέθετο· ὅπερ τοὺς διὰ Ἰωάννου χαριζομένους τῇ ἐκκλησίᾳ ἥνωσε μετὰ ἔτη λ̄ε.

Θεοδόσιος τὴν γαμετὴν αὐτοῦ Εὐδοκίαν εἰς Ἱεροσόλυμα ἔπεμψεν, εὐχαριστηρίους τῷ Θεῷ ὕμνους προσάξουσαν· ἥτις πάμπολλα ταῖς ἐκκλησίαις ἀπιοῦσα καὶ ἐπανερχομένη ἐδωρήσατο.

[22] Ἐπὶ τοσοῦτον ἐμίσει Πουλχερία τὸν Νεστόριον, ὡς τοὺς

22 Hæc exscripsit Suidas v. Πουλχερία.

φιλοῦντας ἐκεῖνον διαθρυλεῖν, ὅτι πορνείαν πρὸς τὸν ἀδελφὸν αὐτῆς Θεοδόσιον τὸν βασιλέα διέβαλεν Πουλχερίας Νεστόριος, καὶ διὰ τοῦτο οὕτως ὑπ' αὐτῆς ἐμισεῖτο· ἐλοιδόρει γὰρ αὐτὴν εἰς τὸν τότε μάγιστρον Παυλῖνον λεγόμενον.

Θεοδόσιος ἐξελθὼν εἰς κυνήγιον εἰς Λευκὸν ποταμὸν περιχθεὶς[23], ὥς λέγει, τῇ ἐπιούσῃ νυκτὶ ἐτελεύτησεν· καὶ ἐτάφη ἐν τῇ θήκῃ Ἀρκαδίου τοῦ πατρὸς αὐτοῦ· λέγει δὲ οὗτος, ὡς Εὐδοκία ἡ βασιλὶς ἀπελθοῦσα εἰς τὰ Ἱεροσόλυμα, οὐκ ἔτι ὑπέστρεψεν.

Μαρκιανοῦ εἰσελθόντος ἐν τῇ ἐκκλησίᾳ, κλῆρος ἅπας καὶ μοναχοὶ καὶ λαϊκοὶ πλήθη ὄντες, πολλὰ ἐπεβόησαν εὐφημοῦντες βασιλέα καὶ Πουλχερίαν, αἰτοῦντες ζητηθῆναι τὰ ὑπὸ Διοσκόρου καὶ Εὐτυχοῦς κατὰ Φλαβιανοῦ τολμηθέντα.

Τῶν ἁπανταχοῦ ἐπισκόπων συναθροισθέντων ἐν τῇ Νικαίᾳ, Μαρκιανὸς διατρίβων ἐν Θρᾴκῃ, ἔγραψε τῇ συνόδῳ ἀπολογούμενος δι' ἑαυτοῦ παρεῖναι ἐν τῇ συνόδῳ κατὰ μίμησιν Κωνσταντίνου τοῦ θείου. οὕτω τοίνυν ἡ σύνοδος ἐν Χαλκηδόνι μετῆλθεν, καὶ ἐν τῷ ναῷ Εὐφημίας τῆς μάρτυρος συνήδρευσεν· ἐν ᾗ πολλὰ καὶ ἀναγκαῖα διετυπώθησαν δογματά τε καὶ πράγματα, ὧν ἡ γνῶσις καὶ ἡ ὠφέλεια πολυμερὴς οὖσα, διὰ τῆς τῶν πεπραγμένων δηλοῦται ἀναγνώσεως· καὶ τῶν κζ κανόνων ἡ ἔκθεσις· ἅπερ ἅπαντα πράξαντες οἱ ἐπίσκοποι, καὶ πάσῃ τιμῇ ὑπὸ τῶν βασιλέων τιμηθέντες, ἐν εἰρήνῃ ἕκαστος τὴν ἰδίαν πόλιν καὶ ἐκκλήσιαν κατέλαβεν.

Ἐν ταῖς λιταῖς ταῖς γιγνομέναις ἐν τῷ κάμπῳ, πεζὸς Μαρκιανὸς ἐξερχόμενος, πολλὰς τοῖς δεομένοις δωρεὰς παρεῖχεν. Ἀνατόλιον δὲ τὸν ἐπίσκοπον προετρέπετο, κατὰ τὸ ἔθος τῶν ἐπισκόπων τῆς πόλεως, ἀπὸ τοῦ Ταύρου φορείῳ φερόμενον λιτανεύειν ἕως τοῦ κάμπου· ὁ δὲ Μαρκιανὸν βλέπων πεζεύοντα, καὶ αὐτὸς πεζεύων ἐλιτάνευεν.

Οὐαλεντινιανοῦ τούτου σφαγέντος, ἐν ταραχῇ οὔσης τῆς Ῥώμης, Γινζέριχος[24] ὁ τῶν Ἄφρων ἡγούμενος, μετὰ πλήθους ἀπελθὼν τῇ Ῥώμῃ, πολλὰ μὲν πλήθη Ῥωμαίων κατέσφαξεν, πολλὰ δὲ

23 παραχθεὶς leg. cum Vales. exc. Theodor. Lect. p. 551. B.
24 Σινδιρέχος Cod.

καὶ αἰχμαλώτων ἔλαβεν· μεθ' ὧν καὶ Εὐδοξίαν τὴν Θεοδοσίου μὲν τοῦ μικροῦ θυγατέρα, Οὐαλεντινιανοῦ δὲ τοῦ τρίτου γυναῖκα, σὺν ταῖς δυσὶ θυγατράσιν αὐτῆς Πλακιδίᾳ καὶ Εὐδοκίᾳ· λαβὼν καὶ τὰ ἱερὰ σκεύη τοῦ ἀποστόλου Πέτρου, ἐξ ὧν πολλὰ τοῖς Ἀρειανοῖς εἰς Κωνσταντινούπολιν ἔπεμψεν.

Μαρκιανὸς γνοὺς τὰ ἐκ τῶν Ἄφρων κατὰ τῆς Ῥώμης καὶ τῶν βασιλίδων γενόμενα, κινηθεὶς βασιλικῶς πρὸς πόλεμον ηὐτρεπίζετο· συνέβη δὲ ἐξελθεῖν αὐτὸν εἰς τὴν λιτὴν ἐν τῷ κάμπῳ, τῷ Ἰανουαρίῳ μηνὶ, εἰκάδι ἕκτῃ, καὶ ὑποστρέψας ἐν τῇ πόλει τῇ ἑξῆς, τῇ εἰκάδι ἑβδόμῃ ἐτελεύτησεν· βασιλεύσας ϛ ἥμισυ[25] ἔτη· προχειρίζεται δὲ εἰς βασιλέα Λέων τὶς, Θρᾲξ μὲν τῷ γένει, τριβοῦνος δὲ τὴν ἀξίαν.

Τιμόθεός τις ἐπικαλούμενος Αἴλουρος, πάθει φιλαρχίας κρατούμενος, ἔχων συντρέχοντας αὐτῷ τοὺς τοῖς Εὐτυχοῦς καὶ Διοσκόρου χαίροντας, τὸν Μαρκιανοῦ αἰσθόμενος θάνατον, πρὸς πόλεμον κατὰ τοῦ ἐπισκόπου Προτερίου κινοῦνται· καὶ τοῦτον ἐν τῇ κολυμβήθρᾳ τῆς ἐκκλησίας σφαγῆναι παρεσκεύασεν, καὶ τὸν νεκρὸν συρῆναι, καὶ πυρὶ παραδοθῆναι.

Τιμόθεος ὁ Αἴλουρος πρὶν ἢ[26] ἀναιρεθῆναι Προτέριον, μαγγανείᾳ[27] τινὶ χρησάμενος, νυκτὸς ἐν τοῖς τῶν μοναχῶν κελλίοις περιερχόμενος, ἐξ ὀνόματος ἐκάλει ἕκαστον μοναχόν· ἐκείνου δὲ ὑπακούοντος, ἔλεγεν ὅτι εἷς μὲν εἴη τῶν λειτουργικῶν πνευμάτων, ἀπεστάλην δὲ πᾶσιν εἰπεῖν ἵνα Προτερίου μὲν τῆς κοινωνίας ἀφαίξωνται[28], Τιμόθεον δὲ τὸν Αἴλουρον ἐπίσκοπον προχειρίσωνται· ἑαυτῶν δηλονότι ὑποκαθῃρημένων ἐπισκόπων, χειροτονεῖται Αἴλουρος, ἔτι ζῶντος τοῦ Προτερίου, καὶ εὐθὺς θορύβων καὶ ταραχῶν τὴν ἐκκλησίαν ἐπλήρωσεν.

Γνοὺς Λέων ὁ βασιλεὺς τὸν Προτερίου ἄνομον θάνατον, καὶ Τιμοθέου τὴν ἄθεσμον προαγωγὴν, δεινῶς ἠγανάκτησεν· καὶ Ἀνατολίῳ μὲν τῷ ἐπισκόπῳ Κωνσταντινουπόλεως ἐπέστειλεν συναγαγεῖν τοὺς ἐνδημοῦντας ἐπισκόπους τῇ βασιλίδι, καὶ ταῖς δεήσεσιν ἐντυχεῖν ταῖς ἐξ ἑκατέρου μέρους ἀναπεμφθείσαις, καὶ τί δέον

25 ὕμιση Cod. 26 ἦν Cod. 27 μαγγανία Cod. μελανείᾳ Vales. Cod. quem Vid. in not. ad Theod. Lect. p. 162. 28 Leg. φεύξωνται cum Vales. Cod.

γενέσθαι σκοπῆσαι, περί τε τῆς Τιμοθέου προβολῆς, περί τε τῆς ἐν Χαλκηδόνι συνόδου.

Νισιβηνὸς ἦν ὁ μέγας Ἰάκωβος· ὅπως δὲ ἦν ἐνάρετος, ἔδειξεν τὸ περὶ τὰς πλυνούσας ἐν τῇ πηγῇ Ἑλληνίδας κόρας· αἵτινες ἐπὶ τῷ θεάσασθαι Ἰακώβου ἐπολιώθησαν, καὶ ἡ πηγὴ ἐξηράνθη· ἣν εὐξάμενος πάλιν ἀπεκατέστησεν· τὰς μέντοι κόρας πεπολιῶσθαι κατέλιπεν. δεῖ δὲ εἰδέναι ὅτι οὗτος Ἰάκωβος ὁ κατὰ τὸ θαῦμα, τὸ περὶ τὴν πηγὴν καὶ τὰς κόρας γενόμενον, οὐκ ἔστιν ὁ ἀντιγράψας πρὸς τὰ ἐγκύκλια· οὗτος γὰρ ὁ Νισιβηνὸς ἐν τοῖς Κωνσταντίνου ἦν χρόνοις, πλὴν καὶ οὗτος ὁ δεύτερος Ἰάκωβος μέγας ἦν περὶ θαύματα, ὥς φησι Θεοδώρητος ἐν τῇ φιλοθέῳ αὐτοῦ ἱστορίᾳ. λάρνακα ἡτοίμασε Θεοδώρητος πρὸς ταφὴν τῷ μεγαλῷ Ἰακώβῳ· συνέβη δὲ προτελευτῆσαι τὸν Θεοδώρητον· πλὴν καὶ οὗτος ἐν αὐτῇ ἐτέθη Ἰάκωβος.

Λέων ἐνομοθέτησεν τὴν κυριακὴν ἀργεῖσθαι παρὰ πᾶσιν, ἄπρακτόν τε εἶναι καὶ σεβασμίαν· καὶ τοὺς κληρικοὺς παρὰ τῷ ἐπάρχῳ τῶν πραιτωρίων [29] μόνον ἀποχωρίζεσθαι.

Πολλὰ ἦσαν τὰ Γενναδίου κατορθώματα, καὶ οὐδένα ἐχειροτόνει ποτὲ ἐπὶ χρήμασιν, οὐδὲ τὸ ψαλτήριον μὴ γινώσκοντα.

Ἐπὶ Γενναδίου ἡ χεὶρ τοῦ ζωγράφου ἐξηράνθη, τοῦ ἐν τάξει Διὸς τὸν Σωτῆρα γράψαι τολμήσαντος· ὃν δι' εὐχῆς ἰάσατο ὁ Γεννάδιος. φησὶ δὲ ὁ ἱστορῶν, ὅτι τὸ ἄλλο σχῆμα τοῦ Σωτῆρος τὸ οὖλον καὶ ὀλιγότριχον ὑπάρχει τὸ ἀληθέστερον.

Ἐλευτερίῳ τῷ μάρτυρι, δι' ἕνα κληρικὸν τοῦ ναοῦ αὐτοῦ ἐδήλωσεν ὁ Γεννάδιος, "ὅτι ὁ στρατιώτης σοῦ ἀτακτεῖ· ἢ διόρθωσαι "τοῦτον, ἢ ἔκκοψον·" ὁ δὲ εὐθὺς ἐτελεύτησεν.

Ἐπὶ Γενναδίου Στούδιος ἔκτισε τὸν ναὸν τοῦ ἁγίου Ἰωάννου, καὶ μοναχοὺς ἐκ τῶν ἀκοιμήτων [30] ἐνεκατέστησε. Γρατίσιμος δὲ ὁ πραιπόσιτος, τὸν τοῦ ἁγίου κυριακοῦ, ἐν ᾧ καὶ τὸ μοναχικὸν σχῆμα ἔλαβεν, ἅμα ἐπλήρωσεν τὸν πραιπόσιτον [31].

Δανιὴλ ὁ θαυμάσιος ἐκ τῆς Συμεῶνος μάνδρας ἐλθὼν, τῷ στύλῳ ἐπέβη τῷ ἐν τῷ ἀνάπλῳ.

Πλεῖστοι καὶ ἐν τῷδε τῷ χρόνῳ, τὸ μοναδικὸν μετῆλθον κατόρ-

29 πραιτορίων Cod. 30 ἀκοινήτων. Codd. 31 τὰ πραιπ. leg. cum Vales.

θωμα· μεθ' ὧν ἦν καὶ Ματρῶνα ἡ διαβόητος, ἥτις οἶκον καὶ πλοῦτον καὶ ἄνδρα καταλιποῦσα, ἐν ὑποκρίσει εὐνούχου μετὰ ἀνδρῶν ἐμόνασεν. καὶ Βαστιανὸς ὁ θαυμάσιος μοναχὸς ἐν τούτῳ τῷ χρόνῳ διέλαμπεν.

Ἰωάννης ὁ ὑπατικὸς, ὁ ἐπίκλην τῶν Βιγκομάλου, παρακαλέσας Βαστιανὸν, ὡς μοναχὸς παρ' αὐτῷ ἐτέτακτο· καὶ ἐν μὲν τῷ παλατίῳ ἀδιαλείπτως προήρχετο, καὶ ὡς εἷς τῶν συγκλητικῶν ἐχρημάτιζεν· ἀναχωρῶν δὲ μέχρι μὲν τῆς θύρας τῆς μονῆς Βαστιανοῦ, ὡς ὕπατος ὠψικεύετο· ἅμα δὲ ἔνδον ἐγίνετο μοναχικὴν σισύραν περιβαλλόμενος· μαγειρίου καὶ σταύλου καὶ τῶν τοιούτων τὴν διακονίαν μετήρχετο.

Ἄνθιμος[32] καὶ Τιμοκλῆς οἱ τῶν τροπαρίων ποιηταὶ, κατὰ φατρίας διῃρέθησαν· ἀλλ' ὅσοι μὲν ἔχαιρον τῇ ἐν Χαλκηδόνι συνόδῳ, παρὰ τῷ Ἀνθίμῳ[33] συνήγοντο· αὐτὸς γὰρ καὶ τὰς παννυχίδας παρεσκεύασε γίνεσθαι· ὅσοι δὲ ταύτης ἔχθροι, τῷ Τιμοκλεῖ προσέκειντο.

Εὐδοξία ἡ θυγάτηρ Θεοδοσίου τοῦ μικροῦ, γαμετὴ δὲ Οὐαλεντινιανοῦ τοῦ τρίτου, καὶ ἡ μία θυγάτηρ αὐτῆς Πλακιδία ἀπὸ Ἀφρικῆς ἐπανῆλθον. Εὐδοκίαν γὰρ αὐτῆς τὴν ἄλλην θυγατέρα ἔζευξεν Σινδίριχος[34] Ὀνωρίχῳ τῷ υἱῷ αὐτοῦ. ἐκ τούτου ἐκείνη οὐκ ἀνῆλθεν.

Ἐμπρησμὸς ἐν τούτῳ τῷ χρόνῳ μέγας ἐγένετο, τῇ β τοῦ Σεπτεμβρίου μηνὸς, ἀπὸ τοῦ νεωρίου ἀρξάμενος, καὶ φθάσας ἕως τοῦ ἀποστολίου Θωμᾶ τοῦ Ἀποστόλου τῶν Ἀμαντίου. Μαρκιανὸς δὲ ὁ οἰκονόμος ἀνελθὼν εἰς τὰς κεράμους τῆς ἁγίας Ἀναστασίας, κατέχων τὰ Εὐαγγέλια, εὐχαῖς καὶ δάκρυσιν ἀπαθῆ τὸν οἶκον ἐφύλαξεν.

Γεννάδιος νυκτὸς κατελθὼν εἰς τὸ θυσιαστήριον εὔξασθαι, εἶδέν τι φάσμα δαιμόνιον· ᾧ ἐπιτιμήσας, ἤκουσε κράζοντος, ὡς αὐτοῦ μὲν ζῶντος ἐνδίδωσιν, ὕστερον δὲ κρατήσει πάντως τῆς ἐκκλησίας· ὅπερ δείσας Γεννάδιος πολλὰ τὸν Θεὸν ἱκετεύσας μετὰ μικρὸν ἐτελεύτησεν.

Λέων ὁ βασιλεὺς προεβάλετο Καίσαρα Λέοντα τὸν μικρὸν τὸν

32 ἄντιμος Cod. 33 ἀντίμῳ Cod. 34 Γινζέριχος Cod.

υἱὸν Ἀριάδνης τῆς ἑαυτοῦ θυγατρὸς, καὶ Ζήνωνος τοῦ γαμβροῦ αὐτοῦ. ἡ κόνις τούτῳ τῷ χρόνῳ κατῆλθεν μηνὶ Νοεμβρίῳ πυρακτούντων νεφῶν φανέντων ἐν οὐρανῷ πρότερον, ὡς πάντας πιστεῦται ὅτι πῦρ ἦν τὸ μέλλον καταφέρεσθαι.

Λέων ὁ μικρὸς ὁ Ζήνωνος υἱὸς ἀνηγορεύθη βασιλεὺς, Λέοντος τοῦ μεγάλου ἀρρωστήσαντος, καὶ μετὰ βραχὺ τελευτήσαντος. Λέων ὁ μικρὸς τὸν ἴδιον πατέρα Ζήνωνα βασιλέα ἐν τῷ ἱπποδρομίῳ ἀνηγόρευσεν· δέκα μόνους μῆνας αὐτὸς βασιλεύσας, καὶ εὐθὺς τελευτήσας.

Πολλὰ δὲ κακὰ εἰργάσατο ὁ Αἴλουρος· τῷ δὲ Σαλωφακιάλῳ οὐκ ἠδυνήθη, διὰ τὸ πάντας ἀγαπᾷν αὐτόν· τὴν δὲ σύνοδον εὐθέως ἀνεθεμάτισεν· εἰσερχομένῳ δὲ αὐτῷ ἐν Ἀλεξανδρείᾳ προσεφώνουν τὸ αἰσχρὸν ἐκεῖνο οἱ σπουδασταὶ αὐτοῦ· "ἐψώμισας τοὺς ἐχθρούς "σου ὁ πάπας·" ὁ δὲ ἀντεφώνει· "ναὶ ἀληθῶς ἐψώμισα."

Ἰουλιανὸς ὁ μετὰ Μαρτύριον Ἀντιοχείας ἐπίσκοπον, ὑπὸ λύπης τῶν κινουμένων ἀπέθανεν. ὁ δὲ Κναφεὺς καταλαβὼν τὸν θρόνον, εἰς ἀναθεματισμοὺς καὶ ταραχὰς ἐσχόλαζεν· ἐν οἷς καὶ φόνοι καὶ ἁρπάγαι διὰ τὴν προσθήκην δῆθεν τοῦ τρισαγίου γεγόνασιν.

Τιμοθέου τοῦ Σαλοφακιάλου τελευτήσαντος, προχειρίζεται Ἀλεξανδρείας ἐπίσκοπος Ἰωάννης ὁ Ταβεννησιώτης, ἀνὴρ ὅσιος, καὶ τῶν δογματῶν τῆς ἀληθείας ὑπέρμαχος· πρεσβύτερος καὶ οἰκονόμος τῆς ἐν Ἀλεξανδρείᾳ ἐκκλησίας ὑπερμαχόντος πρότερον.

Πέτρος ὁ Μογγὸς καταλαβὼν Ἀλεξανδρείαν, εὐθέως τὴν σύνοδον ἀναθεμάτισεν, καὶ διωγμὸν βαρύτατον κατὰ τῶν ὀρθοδόξων ἐποίησεν· καὶ ἐκ τῶν διπτύχων περιελὼν τὰ ὀνόματα Προτερίου καὶ Τιμοθέου τοῦ Σαλοφακιάλου, τὰ τῶν καθῃρημένων ἐνέγραψεν, Διοσκούρου καὶ τοῦ Αἰλούρου. Τιμοθέου δὲ τὸ λείψανον ὀρύξας ἐκ τοῦ τάφου τῶν ἱερέων, εἰς ἰδιωτικὸν τάφον ἀπέθετο. οἱ τῆς ἀνατολῆς ἐπίσκοποι τὰ γενόμενα γνόντες, ἔγραψαν Ἀκακίῳ μεμφόμενοι, ὡς δηλοῖ ἡ πρὸς αὐτὸν ἐπιστολὴ Ἰωάννου τοῦ Τύρου, ἥτις καὶ ἐντέτακται, δηλοῦσα ὅτι οὐδεὶς ἐξ αὐτῶν τὸν Μογγὸν εἰς κοινωνίαν ἀνέχεται δέξασθαι.

Πέτρου προσθήκην ποιησαμένου ἐν τῷ τρισαγίῳ, "ὁ σταυρω-"θεὶς δι' ἡμᾶς," ἤδη πρότερον Καλανδίων ὁρῶν πολλοὺς σκανδαλι-

ζομένους, προσέθηκε, "Χριστὲ βασιλεῦ, ὁ σταυρωθεὶς δι' ἡμᾶς." Πέτρος δὲ πάλιν ἐλθὼν, περιεῖλεν τὸ, "Χριστὲ βασιλεῦ."

Τὸ σύμβολον ἐν ταῖς συνάξεσιν διὰ παντὸς Πέτρος ὁ Κναφεὺς ἐπενόησε λέγεσθαι, πρότερον μὴ λεγόμενον.

Πολλοὶ τῶν ἐπισκόπων ἀνατολῆς, φόβῳ Ζήνωνος καὶ Ἀκακίου, τῷ Μογγῷ ἐκοινώνησαν· πολλοὶ δὲ μέχρι θανάτου ὑπὲρ τῆς ἀληθείας διηγωνίσαντο.

Θευδέριχος ὁ Ἄφρος διάκονόν τινα εἶχεν ὀρθόδοξον, ὃν πάνυ ἠγάπα καὶ ἔθαλπεν. οὗτος δὲ ὁ διάκονος νομίζων Θευδερίχῳ χαρίζεσθαι, τῆς τοῦ ὁμοουσίου πίστεως ἀποστὰς, τὰ Ἀρείου ἐφρόνησεν· γνοὺς δὲ τοῦτο Θευδέριχος, τὸν ὄντως ἀγαπώμενον ἀπεκεφάλισεν εὐθέως, εἰπὼν, "εἰ τῷ Θεῷ πίστιν οὐκ ἐφυλάξας, πῶς ἀνθρώπῳ "φυλάξεις συνείδησιν ὑγιαίνουσαν."

Ὀλύμπιός τις Ἀρειανὸς εἰς λουτρὸν λουόμενος Ἑλενιανῶν, τολμηρῶς βλασφημήσας, ἐλεεινῷ θανάτῳ ἐν τῇ νεροφόρῳ ἀπώλετο· τὸ δὲ γενόμενον γράψαντες οἱ πιστοὶ ἐν εἰκόνι πρὸς τῇ νεροφόρῳ ἀνέθεντο.

Εὐτυχιανός τις τῶν διαιταρίων[35] ὁ πρῶτος, χρήματα λαβὼν ὑπό τινων Ἀρειανῶν, τὴν εἰκόνα κατήγαγεν, καὶ αὐτὸς τὸ σῶμα δαπανηθεὶς ἀπώλετο.

Μαθὼν Μακεδόνιος τὰ ὑπὸ Φλαβιανοῦ ἐν Ἀντιοχείᾳ γενόμενα, τοὺς ἀποκρισιαρίους αὐτοῦ ἐλθόντας πρὸς αὐτὸν διά τινα χρείαν ἐδίωξεν· ἀναθεματίζων κακεῖνον, καὶ πάντα τὸν τολμῶντα ὑπεναντίον τι λέγειν ἢ ποιεῖν τῶν ἁγίων πατέρων.

Ἀσπίωνα τινὰ τῶν πρώτων ἐν τῇ συγκλήτῳ τοῦ κατὰ Περσῶν πολέμου, τὸ κράτος πρώην ὑπὸ Ἀναστασίου πιστευθέντα, διὰ πολλῶν τῶν ἐν μέσῳ διελθόντα κινδύνων, τελευταῖον ὁ βασιλεὺς εἰς Νίκαιαν ἐξώρισεν, καὶ τὸν ἐπίσκοπον Νικαίας Ἀναστάσιον παρεσκεύασε πρεσβύτερον χειροτονῆσαι, βοῶντα καὶ κράζοντα, ὡς παιδεράστης καὶ αἱρετικός· καὶ τὴν χειροτονίαν μὴ θέλοντα δέξασθαι. καὶ τὸν υἱὸν δὲ αὐτοῦ Ἡρακλείδαν, εἰς Προῦσσαν διάκονον χειροτονηθῆναι προσέταξεν· ὅπερ αὐτὸς μετὰ χαρᾶς κατεδέξατο.

35 διαταρίων Cod.

Πολλοὺς ὁ βασιλεὺς κατὰ Μακεδονίου τρόπους ἐπενόει. οἱ δὲ ἀποσχίσται ὄχλον μισθωτὸν συναθροίσαντες, ἐν κυριακῇ εἰσῆλθον εἰς τὸν ναὸν τοῦ ἀρχαγγέλου ἐν τῷ παλατίῳ, καὶ τῶν ψαλτῶν τὸ τρισάγιον λεγόντων, αὐτοὶ μετὰ τῆς προθήκης τοῦ, "ὁ σταυρωθεὶς "δι' ἡμᾶς," ἔλεγον καὶ ἔψαλλον. τῇ ἐπιούσῃ κυριακῇ τὰ ὅμοια ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐποίησαν, μετὰ βάκλων εἰσελθόντες· ὁ δὲ λαὸς ζηλώσας, τὰ μὲν προφωναῖς ἀντέκραζον κράζουσιν, καὶ ὑβρίζοντας ὕβριζον. ὕστερον δὲ μετὰ πολλῶν πληγῶν τούτους ἐξέβαλον.

Ἀναστάσιος ὁ βασιλεὺς λοιπὸν ἀπαρακαλύπτως κατὰ Μακεδονίου κινούμενος[36], ποτὲ μὲν τοὺς μοναχοὺς τοὺς ἀποσχίστας, ποτὲ δὲ τοὺς ἄρχοντας παρεσκεύαζεν ὕβρεσιν[37] ἀσέμνοις μετὰ κραυγῶν βάλλειν τὸν ἐπίσκοπον.

Ὁ λαὸς σὺν γυναιξὶ καὶ τέκνοις πλῆθος ὑπάρχον ἄπειρον, σὺν τοῖς ἡγουμένοις τῶν μονάχων συναθροισθεὶς, διὰ τῆς πόλεως ἔκραζον· "καιρὸς, Χριστιανοὶ, μαρτυρίου, τὸν πατέρα μηδεὶς κατα-"λίπῃ." ὕβριζον δὲ τὸν βασιλέα Μανιχαῖον καλοῦντες, καὶ τῆς βασιλείας ἀνάξιον· ἐν οἷς ὁ βασιλεὺς φοβηθεὶς, τὰς πύλας τοῦ παλατίου, πανταχόθεν ἀπέκλεισεν, καὶ πλοῖα εἰς τὸ φύγειν τῷ παλατίῳ παρέστησεν.

Ὁ βασιλεὺς ὁ πρώην ὀμόσας μὴ ἰδεῖν Μακεδονίου πρόσωπον ἔτι, πέμψας παρεκάλει τοῦτον ἀσπάσασθαι. ὁ δὲ λαὸς εἰσερχομένου, τοὺς τῶν μοναστηρίων διεμαρτύρατο, "τὸν πατέρα πρὸς "ἡμᾶς ἔχωμεν." καὶ οἱ τῶν σχολῶν δι' ὅσων διῆλθεν εὐφημοῦντες ἐδέχοντο, καὶ εἰσελθὼν ἤλεγξεν Ἀναστάσιον ὡς τῆς ἐκκλησίας πολέμιον· ὁ δὲ μετὰ ὑποκρίσεως ἔδοξεν ἑνοῦσθαι τῷ ἐπισκόπῳ.

Ὅπου δή ποτε ἐν ἐκκλησίᾳ εἰσῆλθε Τιμόθεος, εἰ μὴ πρότερον τὰς εἰκόνας Μακεδονίου κατέσπασεν, οὐκ ἤρχετο τῆς λειτουργίας.

Τὰς κατὰ παρασκευὴν λιτὰς, ἐν τῷ ναῷ τῆς θεοτόκου ἐν τοῖς χαλκοπρατείοις, Τιμόθεος ἐποίησε γίνεσθαι.

Τὸν Ἀλεξανδρείας Ἰωάννην τὸν Νικαιώτην, ἐν τοῖς διπτύχοις

[36] κείμενος male Cod. Vales. [37] ὕβρεσι Cod.

ἔταξεν ὁ Τιμόθεος· καὶ τοὺς ἀποκρισιαρίους αὐτοῦ σὺν πάσῃ τιμῇ ἐδέχετο, καὶ συνοδικὰ γράμματα τούτῳ ἀπέστειλεν.

Δεινὴ πληγὴ κατὰ Ἀλεξανδρέων ἐπῆλθεν ὑπὸ πνευμάτων ἀκαθάρτων παιδευομένων. ἔν τε τῇ πόλει καὶ πάσῃ τῇ περιχώρῳ ἀνδρῶν καὶ γυναῖκων, καὶ νηπίων ἐνοχλουμένων πλήθους ἀπείρου καὶ ὑλακτούντων. κατ' ὄναρ δέ τις εἶδεν τινὰ λέγοντα ὡς διὰ τοὺς ἀναθεματισμοὺς τοὺς κατὰ τῆς συνόδου ταῦτα πάσχουσι. τινὲς δὲ ἔλεγον, ὅτι διὰ τοὺς ἀθεσμοὺς ὅρκους, οὓς κατὰ τοῦ θείου τολμῶσιν ὀμνύειν, τὰ τοιαῦτα παιδεύονται. ἕτεροι δὲ ἔφασκον, ὅτι διὰ τὸ κωλυθῆναι ἀνέρχεσθαι εἰς τὴν ὕψωσιν τοῦ σταυροῦ εἰς Ἱεροσόλυμα τοὺς Ἀλεξανδρεῖς καὶ τοὺς Αἰγυπτίους, ὁ Θεὸς ὀργῇ[38] τούτους ἐξέπεμψεν.

Ὁ βασιλεὺς προσέταξεν Ἀναστάσιος Ἠλίαν τῶν Ἱεροσολύμων ἐπίσκοπον, ἢ κοινωνῆσαι Σευήρῳ, ἢ τῆς ἐπισκοπῆς ἐκβληθῆναι. οἱ δὲ τῶν μοναστηρίων συναχθέντες, τοῦτον ὠχύρωσαν, καὶ διεμαρτύραντο. ὁ δὲ τῆς ἐπισκοπῆς μᾶλλον ἐκβληθῆναι προετίμησεν ἢ κοινωνῆσαι Σευήρῳ.

Ἀναστάσιος ὁ βασιλεὺς ἐτελεύτησεν ἄφνω, ζήσας ἔτη π̅η̅, βασιλεύσας δὲ ἔτη κζ καὶ μῆνας γ̅. προήχθη δὲ βασιλεὺς Ἰουστῖνος, ἀνὴρ πρεσβύτης, ἀπὸ στρατιωτῶν ἀρξάμενος, καὶ μέχρι τῆς συγκλήτου προκόψας, καὶ διὰ πάντων ἄριστος φανείς, τῆς δὲ ὀρθῆς πίστεως ἔμπυρος[39] ζηλωτής· γένος Ἰλλύριος, σύμβιον ἔχων ὀνόματι Λουπίκιναν[40]. ἣν γενομένην Αὐγούσταν, Εὐφημίαν οἱ δημόται ὠνόμασαν.

Δύο ἐπισκόπων ἀμφισβητούντων, ὀρθοδόξου καὶ Ἀρειανοῦ· καὶ τοῦ μὲν Ἀρειανοῦ διαλεκτικοῦ ὄντος, τοῦ δὲ ὀρθοδόξου θεοσεβοῦς καὶ πιστοῦ, ὁ ὀρθόδοξος προὔτεινεν ὥστε ἀφεμένους τῶν λόγων, εἰς πυρὰν εἰσελθεῖν· καὶ τούτῳ τῷ τρόπῳ δειχθῆναι τὸν εὐσεβέστερον· τοῦ δὲ Ἀρειανοῦ παραιτησαμένου, αὐτὸς εἰσελθὼν ἀπὸ τῆς πυρᾶς διελέγετο, καὶ ἀπαθὴς ἐφυλάττετο.

38 ὀργὴν Cod. 39 ἔμπειρος male Vales. Cod. 40 λουπικίναν Cod. λουπικίαν Vales.

Ξεναίας ὁ φιλόξενος, οὔτε Χριστοῦ τοῦ Θεοῦ, οὔτε ἀγγέλου, εἰκόνας ἐν ἐκκλησίᾳ συνεχώρει ἀνάτιθεσθαι.

## Ἐκ τοῦ η λόγου.

Κωάδης, τὸν ἴδιον θεῖον Βλάσσον βασιλεύοντα τυφλώσας, Περσῶν ἐβασίλευσεν.

Ἀναστάσιος ὁ βασιλεὺς, Κωαδοῦ χρήματα παρ' αὐτοῦ ζητήσαντος, ἀπεκρίνατο, εἰ μὲν δανείσασθαι βούλοιτο, γραμματεῖον ποιῆσαι· εἰ δὲ ἄλλως, οὐ δίδωσι· καὶ ὅτι διὰ τοῦτο Κωάδης κατὰ Ῥωμαίων ἐστράτευσεν.

Ἀναστάσιος ἀνέστειλεν τὸ χρυσάργυρον, καὶ τὰ κυνήγια ἔπαυσεν, καὶ τὰς ἀρχὰς ὠνίους οὔσας προῖκα παρεῖχεν.

Μέρος τοῦ λειψάνου Σεργίου τοῦ μάρτυρος τὸν μέγα δάκτυλον πέμψας ἔλαβεν Ἀναστάσιος· καὶ διὰ τοῦτο Σεργιούπολιν τὴν πόλιν ὠνόμασεν, καὶ μητροπόλεως αὐτῇ παρέσχετο δίκαια.

Ἐν Νεοκαισαρείᾳ σεισμοῦ τηνικαῦτα μέλλοντος γίνεσθαι, στρατιώτης τις ἐπὶ τὴν πόλιν ὁδεύων, δύο στρατιώτας ἀπιόντας ἐπ' αὐτὴν ἐθεάσατο, καὶ τούτων ὄπισθεν ἕτερον κράζοντα· "φυλάξατε τὸν "οἶκον ἐν ᾧ ἡ θήκη Γρηγορίου ἐστίν·" καὶ ὁ μὲν σεισμὸς ἐγένετο, καὶ τὸ πλεῖστον μέρος τῆς πόλεως ἔπεσεν· ὁ δὲ οἶκος τοῦ θαυματουργοῦ διεσώθη.

Ἔθος λέγει τῇ ἐκκλησίᾳ εἶναι τῆς Ῥώμης, ἀκίνητα μὴ κρατεῖν δίκαια, ἀλλ' εἰ καὶ περιέλθωσιν, εὐθέως πιπράσκεσθαι, καὶ εἰς μοίρας[41] τρεῖς διαιρεῖσθαι τὸ τίμημα· καὶ τὸ μὲν τῇ ἐκκλησίᾳ δίδοσθαι, τὸ δὲ τῷ ἐπισκόπῳ, τὸ δὲ τῷ κλήρῳ· οὕτως δὲ ποιεῖν καὶ ἐπὶ πᾶσι τοῖς λοιποῖς πράγμασι.

Ἰουστῖνος ἀνηγόρευσε βασιλέα τὸν ἀνεψιὸν αὐτοῦ Ἰουστινιανὸν, καὶ τέσσαρας μῆνας συμβασιλεύσας αὐτῷ ἐτελεύτησε· τὰ ὅλα βασιλεύσας ἔτη θ καὶ ἡμέρας κβ. Ἰουστινιανὸς βασιλεύσας Θεοδώραν τὴν γαμετὴν αὐτοῦ Αὐγούσταν προεβάλετο· βασιλεύσας, μηνὶ Ἀπρηλίῳ ἰνδικτιῶνος ε· σεισμὸς φοβερὸς εἰς Ἀντιόχειαν γέγονε, καὶ πολλὰ πλήθει ἀπέθανε· μεθ' ὧν καὶ ὁ ἐπίσκοπος Ἀντιο-

[48] μύρας Cod.

χείας Εὐφράσιος. καὶ γέγονε μετ' ἐκεῖνον ἐπίσκοπος Εὐφραίμιος ὁ Ἀμιδηνὸς Κόμης ἀνατολῆς ὤν, ἐν ἐκείνῳ τῷ χρόνῳ.

Ἐπιφανίου τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως τελευτήσαντος, μετηνέχθη ἐν τῷ θρόνῳ, Ἄνθιμος ὁ ἐπίσκοπος Τραπεζούντων· ἀνὴρ οἷον ἔδειξε τὰ μετὰ ταῦτα γενόμενα.

Πολλὰς δωρεὰς οἱ βασιλεῖς χρημάτων εἰς ἀνανέωσιν τῇ Ἀντιοχείᾳ παρέσχοντο· ἔκτισαν δὲ καὶ ναὸν τῆς θεοτόκου, καὶ ξενῶνα τὸν ἐπ' ὀνόματι Ἰουστινιανοῦ χρηματίσαντα, καὶ τὴν πόλιν προσέταξαν Θεούπολιν ὀνομάζεσθαι.

Θεοδώρα ἡ Αὐγούστα, τὸ τῶν πορνοβοσκῶν κατέλυσε τόλμημα, καὶ αὐτοὺς καὶ τὰς πόρνας συγκροτήσεως ἀξιώσασα.

Σαμαρεῖται καὶ Ἰουδαῖοι ἐν Παλαιστίνῃ ἀντάραντες, βασιλέα ἔστρεψαν Ἰουλιανὸν ὀνόματι, καὶ πολλὰς ἁρπαγὰς καὶ φόνους καὶ ἐμπρησμοὺς εἰργάσαντο· πάντας δὲ Θεὸς διὰ τοῦ βασιλέως ἀνάλωσεν.

Παῦλος ἀνεχώρησεν ἀπὸ Ἀλεξανδρείας, καὶ εἰς Ἱεροσόλυμα διέτριβεν. καὶ προεχειρίσθη ἐπίσκοπος Ζωΐλος. ἡ ἅγια ὑπαπαντὶς (sic) κατὰ τοῦτον τὸν χρόνον ἔλαβε τὴν ἀρχὴν κατὰ τὴν δευτέραν τοῦ Φευρουαρίου μηνὸς ἑορτάζεσθαι.

Πέτρος ὁ ἐπίσκοπος Ἱεροσολύμων ἐτελεύτησεν, καὶ γέγονε μετ' ἐκεῖνον Μακάριος. Ζωΐλος ὁ Ἀλεξανδρείας ἀπέθανεν ἐν Βυζαντίῳ, καὶ προήχθη Ἀπολινάριος εἷς τῶν μοναχῶν τοῦ ἐνάτου νβ ἔτη ποιήσας εἰς μοναστήριον.

Ὁ Ἀββᾶς Ἄγαθος, ἀδελφὸς ἦν Ἀπολιναρίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, καὶ γενόμενος εἰς τὴν Ἀλεξανδρείαν, εὗρεν μέγαν οἰκονόμον, τὸν Ἀββᾶν Εὐστόχιον· τοῦτον δὲ λόγους εἰσπράττων τῆς οἰκονομίας, ἀπέκλεισεν· ὁ δὲ φυγὼν διὰ τῆς στέγης, ἀνῆλθεν εἰς τὸ Βυζάντιον, καὶ Μακαρίου σκευασθέντος τοῦ Ἱεροσολύμων, γέγονεν ἀντ' ἐκείνου ἐπίσκοπος.

Τὰ ἐγκαίνια τῆς ἁγίας Εἰρήνης ἐν Συκαῖς ἐν τούτῳ τῷ χρόνῳ γεγόνασι. καὶ εὑρεθέντος ἐν Βυζαντίῳ Ἀπολιναρίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, προετρέψατο αὐτὸν Μηνᾶς ὁ ἐπίσκοπος, καὶ σὺν αὐτῷ εἰς τὸ ὄχημα ἀνελθὼν, τὴν κατάθεσιν τῶν λειψάνων καὶ πᾶσαν τὴν ἀκολουθίαν ἐτέλεσεν.

Χοσρόης παρέλαβεν Ἀντιόχειαν, καὶ στρέψας πολλὰ μέρη τῆς πόλεως, τὰς ὕλας τὰς ἐξαιρέτους εἰς τὴν Περσίδα εἰσήγαγεν· καὶ κτίσας πόλιν, ἐκάλεσεν Ἀντιόχειαν, καὶ πάντας τοὺς Χριστιανοὺς αἰχμαλώτους ἐν αὐτῇ τῇ πόλει οἰκεῖν ἐκέλευσεν.

Δομνίμου τοῦ ἐπισκόπου Ἀντιοχείας τελευτήσαντος, προεχειρίσθη κελεύσει Ἰουστινιανοῦ ὁ μέγας Ἀναστάσιος, ἀποκρισιάριος ὢν Ἀπολιναρίου.

Βελισάριος σὺν τῇ γαμετῇ αὐτοῦ ἐπέμφθη ἐν Ἀφρικῇ, καὶ σὺν πολλῇ νίκῃ μετὰ πραίδας ἀφάτου ὑπέστρεψεν.

Θεοδώρα ἡ Αὐγούστα ἀπέθανε τῷ κ̄ ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ ἀνδρὸς αὐτῆς.

Ἐκβληθέντος Μακαρίου τῆς ἐπισκοπῆς Ἱεροσολύμων, γενόμενος Εὐστόχιος, μίσει τὸ πρὸς ἀγαθὸν, καὶ Ἀπολινάριον καὶ Μακάριον τοὺς τῆς νέας λαύρας, ἐξέβαλεν ὡς Ὠριγενιαστάς.

Τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου δόγμα κινήσας Ἰουστινιανὸς, καὶ ἔδικτον πανταχοῦ καταπέμψας τῆς εὐσεβείας ἀλλότριον, Θεοῦ προφθάσαντος, ἐτελεύτησεν, μηνὶ Νοεμβρίῳ, βασιλεύσας ἔτη λ̄θ̄. καὶ μετ᾽ αὐτὸν ἐβασίλευσεν Ἰουστῖνος ὁ νέος, ἀνεψιὸς τοῦ προβασιλεύσαντος.

Μετὰ Βιγίλιον γέγονε πάπας Ῥώμης, Πελάγιος, καὶ μετὰ τοῦτον Ἰωάννης, καὶ λοιπὸν ἑξῆς Βενέδικτος, καὶ πάλιν ἄλλος Πελάγιος, καὶ μετὰ τοῦτον Γρηγόριος· εἶτα Σαβινιανός· καὶ τοῦτον διεδέξατο Βονιφάτιος· καὶ τοῦτον ὁμώνυμος Βονιφάτιος.

Τῷ πρώτῳ ἔτει τῆς βασιλείας Ἰουστίνου τοῦ νέου ἀπῆλθε Φώτιος ὁ Ἀββᾶς, ὁ προγονὸς Βελισαρίου τοῦ πατρικίου, ἐν Παλαιστίνῃ· λαβὼν ἐξουσίαν ὑπὸ τοῦ βασιλέως κατὰ παντὸς προσώπου καὶ πράγματος.

Θεοδωρος ὁ ἀποσκριβώνων (sic) ὁ ἐπίσκοπος Ἀλεξανδρείας ἀπέθανεν· ὡσαύτως δὲ καὶ ὁ ἐπίσκοπος Θεουπόλεως Ἀναστάσιος, ἔτι Φωκᾶ τῶν πραγμάτων κρατοῦντος· ἀμφότεροι δὲ μαχαίρᾳ ἀπέθανον.

[49] Ἀναιρεῖται δὲ καὶ Λικίνιος ὕστερον, διωγμὸν κινήσας κατὰ Χριστιανῶν, καὶ βασιλεύει μόνος Κωνσταντῖνος, ᾧ καὶ παῖδες

[49] Hæc videntur aliunde irrepsisse.

γεγόνασιν ἐκ τῆς Φαύστης, Κρίσπος καὶ Κωνσταντῖνος ὁμώνυμος, Κωνστάντιός τε καὶ Κώνστας, καὶ θυγάτηρ Ἑλένη· ἥτις ἐγαμήθη τῷ τρισαθλίῳ Ἰουλιανῷ.

Ἐπὶ Λέοντος τοῦ βασιλέως γέγονεν ὁ μέγας ἐμπρησμὸς ἐν Κωνσταντινουπόλει, τῇ ᾱ τοῦ Σεπτεμβρίου μηνὸς, οἷος οὐδέποτε γέγονεν. ἐκαύθη γὰρ ἡ πόλις ἀπὸ θαλάσσης εἰς θάλασσαν, τουτέστιν, ἀπὸ τοῦ νεωρίου μέχρι τοῦ Ἰουλιανοῦ λιμένος. εἰς δὲ τὰ τελευταῖα τῆς αὐτοῦ βασιλείας μηνὶ Νοεμβρίῳ ἕκτη, ἐβράχη ἐν Κωνσταντινουπόλει ἡ κόνις, συντεθεῖσα, ὡς γράφουσι τινὲς, ἐπὶ παλαιστὴν μιάν.

Ἐπὶ τῆς Ζήνωνος βασιλείας, γέγονε σεισμὸς μέγας καὶ φοβερὸς ἐν Κωνσταντινούπολει, μηνὶ Σεπτεμβρίῳ, κε̄, καὶ ἔπεσον πολλαὶ ἐκκλησίαι καὶ οἰκίαι, καὶ ἔμβολοι ἕως ἐδάφους, καὶ ἐγένετο ἀπώλεια ἀνθρώπων ἀναριθμήτων. ἔπεσε δὲ καὶ ἡ σφαίρα τοῦ ἀνδριάντος τοῦ ἐν τῷ φόρῳ, καὶ ἡ στήλη τοῦ μεγάλου Θεοδοσίου, ἡ ἑστῶσα εἰς τὸν κίονα τοῦ Ταύρου· ἔπεσον δὲ καὶ τὰ ἔσω τείχη ἐπὶ πολὺ διάστημα, καὶ ἐπεκράτησεν ὁ σεισμὸς ἐπὶ πολὺν χρόνον.

Τῷ ε̄ ἔτει τῆς Ἰουστινιανοῦ βασιλείας ἰνδικτιῶνος ῑ, μηνὶ Ἰανουαρίῳ ιη̄, γέγονεν ἡ τοῦ λεγομένου Νίκα ἀνταρσία, καὶ ἔστεψαν οἱ τῶν δήμων εἰς βασιλέα Ὑπάτιον τὸν συγγενῆ Ἀναστασίου τοῦ βασιλέως· καὶ ἐκαύθη πολὺ μέρος τῆς πόλεως· ἐκαύθη δὲ καὶ ἡ ἐκκλησία ἡ μεγάλη καὶ ἡ ἁγία Εἰρήνη, καὶ ὁ ξενῶν τῶν Σαμψὼ, καὶ τὸ Αὐγουσταῖον, καὶ τὸ προσκήνιον τῆς βασιλικῆς, καὶ ἡ χαλκὴ τοῦ Παλατίου· καὶ ἐγένετο φόνος πολὺς τῶν εὑρεθέντων ἐν τῷ ἱππικῷ μετὰ Ὑπατίου, ὡς γράφουσι τινὲς, παρὰ τὰς λ̄ χιλιάδας.

Τῷ ζ ἔτει τῆς αὐτῆς βασιλείας, ἰνδικτιῶνος λ̄, μηνὶ τῷ αὐτῷ, ἐκβληθέντος τοῦ δυσσεβοῦς Ἀνθίμου, ἐχειροτονήθη Μηνᾶς πατριάρχης Κωνσταντινουπόλεως, ὁ ἀπὸ ξενοδόχων τῶν Σαμψὼ, ὑπὸ Ἀγαπητοῦ πάπα Ῥώμης· καὶ τῇ αὐτῇ ἐπινεμήσει μηνὶ Ἰουλίῳ, ἔτει τοῦ αὐτοῦ βασιλέως δεκάτῃ, γέγονεν ἡ κατὰ Σευήρου τοῦ καταράτου σύνοδος.

Τῷ ια̅ ἔτει τῆς αὐτῆς βασιλείας, ἰνδικτιῶνος ᾱ, μηνὶ Δεκεμβρίῳ, γέγονε τὰ πρότερα ἐγκαίνια τῆς ἁγιωτάτης μεγάλης ἐκκλη-

σίας· ἐξῆλθεν ἡ λιτὴ ἀπὸ τῆς ἁγίας Ἀναστασίας, καθημένου τοῦ Πατριάρχου Μηνᾶ ἐν τῷ βασιλικῷ ὀχήματι, καὶ τοῦ βασιλέως τῷ λαῷ συλλιτανεύοντος.

Γίνονται ἀπὸ τῆς ἡμέρας τῆς καύσεως τῆς ἁγιωτάτης ἐκκλησίας μέχρι τῶν ἐγκαινίων, ἔτη ε̄, μῆνες ια̅, ἡμέραι ῑ. τῷ ιε̅ ἔτει τῆς αὐτῆς βασιλείας, ἰνδικτιῶνος ε̄, γέγονεν ἐν Κωνσταντινουπόλει τὸ μέγα θανατικόν.

Τῷ κα̅ ἔτει τοῦ αὐτοῦ βασιλέως, ἰνδικτιῶνος ια̅, μηνὶ Ἰουνίῳ κη̅, ἐτελεύτησε Θεοδώρα ἡ βασίλισσα.

Τῷ κδ̅ ἔτει τῆς αὐτῆς βασιλείας, μηνὶ Ἰουνίῳ ια̅, ἰνδικτιῶνος ιγ̅ ἐγένετο τὰ ἐγκαίνια τῶν ἁγίων Ἀποστόλων, καὶ καθήμενος ὁ πατριάρχης Μηνᾶς ἐν τῷ χρυσῷ ὀχήματι, ἐβάσταξεν τὰ λείψανα τῶν ἁγίων τριῶν Ἀποστόλων, Ἀνδρέου, Λουκᾶ, καὶ Τιμοθέου· ἄλλου χρυσοῦ ὀχήματος προηγουμένου ἀδεστράτου ἔμπροσθεν.

Τῷ κϛ̅ ἔτει τῆς αὐτῆς βασιλείας, ἰνδικτιῶνος ιε̅, μηνὶ Αὐγούστῳ, ἐγένετο τὰ ἐγκαίνια τῆς ἁγίας Εἰρήνης, πέραν ἐν Συκαῖς, καὶ ἐξῆλθεν ἡ λιτὴ ἀπὸ τῆς μεγάλης ἐκκλησίας, καὶ ἐκάθισεν ἐν τῷ χρυσῷ ὀχήματι Μηνᾶς πατριάρχης Κωνσταντινουπόλεως, καὶ Ἀπολινάριος ὁ Ἀλεξανδρείας, μέχρι τοῦ παραθαλασσίου. μηνὶ τῷ αὐτῷ Αὐγούστῳ κλ̅, ἰνδικτιῶνος τῇ αὐτῇ ιε̅, ἐτελεύτησεν ὁ ἐν ἁγίοις Μηνᾶς ὁ πατριάρχης, καὶ τῇ αὐτῇ ἡμέρᾳ κειμένου τοῦ λειψάνου αὐτοῦ ἐν τῷ ἱερατείῳ τῆς μεγάλης ἐκκλησίας, ἐχειροτονήθη ὁ ἐν ἁγίοις Εὐτύχιος.

Τῷ κη̅ ἔτει τῆς αὐτῆς βασιλείας ἰνδικτιῶνος ε̄, μηνὶ Αὐγούστῳ ιϛ̅, ἐγένετο σεισμὸς μέγας ἐν Κωνσταντινουπόλει, καὶ ἔπεσον οἶκοι πολλοὶ καὶ ἐκκλησίαι, καὶ τὸ τεῖχος, καὶ μάλιστα τὸ κατὰ τὴν χρυσῆν πόρταν. ἔπεσε δὲ καὶ ἡ λόγχη, ἣν κρατεῖ ὁ ἀνδριὰς ὁ ἑστὼς εἰς τὸν φόρον τοῦ ἐν ἁγίοις Κωνσταντίνου, καὶ ἡ δεξιὰ χεὶρ τοῦ ἀνδριάντος εἰς τὸν ξηρόλοφον, καὶ ἀπέθανον πολλοὶ ἐν τῷ αὐτῷ σεισμῷ.

Τῷ λ̄ ἔτει τῆς αὐτῆς βασιλείας, ἰνδικτιῶνος ϛ̄· μηνὶ Δεκεμβρίῳ ιδ̅, γέγονε σεισμὸς μέγας ἐν Κωνσταντινουπόλει, ὥστε πολὺ[42] μέρος πεσεῖν τῶν δύο τειχῶν, τοῦ[43] τε Κωνσταντινιακοῦ,

[42] πολλὴ Cod. [43] τοῦτο Cod.

καὶ Θεοδοσιακοῦ, καὶ τὴν ἐκκλησίαν τοῦ ἁγίου Σαμουὴλ, καὶ τῆς παναγίας θεοτόκου τῆς εἰς τὰ πέταλα, καὶ τοῦ ἁγίου Βικεντίου τὴν ἐν τῷ κάμβῳ, καὶ ἄλλας πολλὰς ἐκκλησίας, καὶ οἴκους, καὶ κατ' ἐξαίρετον ἀπὸ τῆς χρυσῆς πόρτης, καὶ ἕως τοῦ ῥησίου καὶ τοῦ ἑβδόμου, καὶ ἑτέρων τόπων, καὶ τὸ ῥήγιν ἕως ἐδάφους· ὥστε καὶ τὸν βασιλέα ἐπὶ πολλὰς ἡμέρας μὴ φορεῖν τὸ στέμμα· καὶ ἐν τῇ ἁγίᾳ Χριστοῦ γεννήσει καὶ ἐν τοῖς θεοφάνιοις χωρὶς στέμματος προῆλθεν ἐν τῇ ἐκκλησίᾳ, μὴ ποιήσας μὴ δὲ τὰ σύνηθη ἄριστα ἐν τῇ ἐκκλησίᾳ.

Τῷ αὐτῷ ἔτει, φυγόντες οἱ Ἄβαρεις ἐκ τῆς ἰδίας χώρας, ἦλθον εἰς τὰ μέρη Σκυθίας καὶ Μυσίας, καὶ ἔπεμψαν πρεσβευτὰς ἐν Κωνσταντινουπόλει εἰς παράκλησιν τοῦ βασιλέως, ὥστε δεχθῆναι αὐτούς.

Τῷ λ̄α ἔτει τῆς αὐτῆς βασιλείας, ἰνδικτιῶνος ϛ̄, μηνὶ Μαίῳ ζ̄, φιλοκαλουμένου τοῦ τρούλλου τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, διὰ τὸ γενέσθαι ῥήγματα διάφορα, εἰς τοὺς λαγόνας τοῦ αὐτοῦ τρούλλου ἐκ τῶν γενομένων σεισμῶν, ὥρᾳ ε̄ τῆς ἡμέρας ἔπεσεν αἰφνίδιον τὸ ἀνατολικὸν μέρος τῆς προυποστολῆς τοῦ ἁγίου θυσιαστηρίου, καὶ συνέτριψεν τότε κιβώριον καὶ τὴν ἁγίαν τράπεζαν, καὶ τὸν ἄμβωνα· συνεῖδεν οὖν ὁ βασιλεὺς κατενεχθῆναι καὶ τὸ λοιπὸν μέρος τὸ ἀπομεῖναν τοῦ αὐτοῦ τρούλλου, καὶ γενέσθαι ἄνωθεν.

Τῷ λ̄ε ἔτει τῆς αὐτῆς βασιλείας ἰνδικτιῶνος ῑ, μετηνέχθη ἡ σύναξις τῆς ὑπαπαντῆς γινομένη τὸ πρὶν τῇ ῑδ̄ τοῦ Φευρουαρίου, καὶ γέγονε τῇ β̄ τοῦ αὐτοῦ μηνός.

Τῷ λ̄ϛ̄ ἔτει τῆς αὐτῆς βασιλείας ἰνδικτιῶνος ῑᾱ, μηνὶ Δεκεμβρίῳ κ̄δ̄, ἐγένοντο τὰ β̄ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας, καὶ ἐξῆλθεν ἡ λιτὴ ἀπὸ τοῦ ἁγίου πλάττωνος[44] καθημένου τοῦ ἐν ἁγίοις Τυχίου[45] ἐν τῷ χρυσῷ ὀχήματι, καὶ φοροῦντος τὸ ἀποστολικὸν σχῆμα, καὶ κρατοῦντος ἐν ταῖς χερσὶν τὸ ἅγιον Εὐαγγέλιον· καὶ ἐλιτάνευον τὸ, "ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν."

[44] Sic. Leg. vid. Εὐτυχίου.

# ΕΚ ΤΩΝ ΤΟΥ ΕΥΣΕΒΙΟΥ

# ΧΡΟΝΙΚΩΝ.

SATIS notum est iis, qui Rei Chronologicæ studium impenderunt, Jos. Scaligerum in magno opere quod Thesaurum temporum nuncupavit, quum jam ad finem laboris appropinquaret, quædam Excerpta Eusebiana accepisse Casauboni beneficio, quæ maximi ei esse pretii visa sunt, ita ut non dubitaverit ea inter addenda Operis sui inserere, ut ipse refert. (Scal. Thesaur. Temp. edit. Lugd. Bat. 1606. Addend. p. 213.) "Hæc omnia fragmenta omni laude majora superioribus diebus, jam absoluto Canone Græco Eusebiano, a præstantissimo summæque eruditionis Viro Isaaco Casaubono accepimus, ut hoc eximio beneficio etiam privatim de nobis bene mereret, qui de nobis publice mereri non cessat: si tamen privatum benefactum vocandum est, quod non solum in nos, sed etiam in omnes literarum studiosos, atque adeo in literas ipsas collatum est. Quanta jactura fuerit illis carere, non judicabit nisi is qui quanta utilitas sit illis frui, intelliget. Vere Eusebiana esse, etiam si nomen Eusebii Eclogarius in quibusdam non interjecisset, non difficile fuit illi colligere, qui aliquem usum Eusebianorum scriptorum habet."

Idem et in Prolegom. "Accessit his cumulus comitate ejusdem, quem modo nominavi, præstantissimi Viri (Casauboni) σταδιονῖκαι et alia immortalia monumenta, quæ in calcem Græcorum Eusebianorum conjecimus, quod ea sero accepissemus."

Hæc autem vere esse excerpta ex deperdito Græco Eusebii textu, post editam Armeniacam Versionem opera P. Jo. Bapt. Aucher. Venet. 1818, nullus amplius est relictus dubitationis locus. Cum vero in Regia Bibl. Paris. incidissem in ipsum, ut opinor, Codicem, e quo sua cum Scaligero communicata deprompserat Casaubonus, et cum ea parum fideliter expressisse visus est Scaliger, haud ingratum fore reputavi viris antiquorum monumentorum studiosis, si ea in-

signia Eusebii fragmenta iterum vulgarentur quam fidelissime juxta Codicem, in quo unice, ut credo, hactenus inventa fuerunt.

Ipsius autem Codicis hæc est descriptio.

Cod. 2600. Chart. form. in 4°. sæc. xv. fere totus Mich. Suliardi manu scriptus.

*Περὶ ἀνωμάλων ῥημάτων.*

*Γραμματικά τινα κανονίσματα καὶ τεχνολογίαι κ. τ. λ.*

Fol. 1, r. *Περὶ ἀνωμάλων ῥημάτων κατὰ στοιχεῖον· ἀρχὴ τοῦ α.*

Fol. 10, r. De verbis tractatus qui incipit: *Ἰστέον ὅτι εἰσὶ τινὰ ῥήματα ἐνεργητικὰ καὶ τῇ φωνῇ καὶ τῇ σημασίᾳ, ἁπλουστέραν ἔχοντα κ. τ. λ.*

Fol. 12, r. De perfectis temporibus verborum et quomodo formentur: Incipit: *Ὅθεν τὸ μέμβλωκα, παρὰ τὸ μελῶ μελήσω μεμέληκα κ. τ. λ.*

Fol. 16, r. *Ὁριστικὰ, αἰσθητικά.*

Fol. 17, r. *Περὶ παραγωγῶν δισκλήτων ὀνομάτων.* Initium: *Ὅθεν τὸ σπένδω ἐκ τοῦ σπείδω κ. τ. λ.*

Fol. 18, r. *Παρεκβολαὶ τῶν εἰς μι ῥημάτων.*

Fol. 20, r. *Περὶ παθητικῶν τῶν εἰς μι.*

Fol. 21, r. *Περὶ ἀπαρεμφάτων.*

Ib. *Περὶ προστακτικῶν.*

Fol. 22, r. *Περὶ εὐκτικῶν.*

Ib. *Περὶ ὑποτακτικῶν.*

Fol. 22, v. *Περὶ μετοχῶν.*

Fol. 36, r. *Περὶ τῶν παθητικῶν ῥημάτων· Πρῶτον εἶδος.*

Fol. 37, r. *Περὶ τοῦ δευτέρου εἴδους.*

Fol. 37, v. *Τρίτον εἶδος.*

Fol. 38, r. *Τέταρτον εἶδος.*

Fol. 38, v. *Πέμπτον εἶδος.*

Fol. 39, r. *Ἕκτον εἶδος.*

Fol. 40, r. *Περὶ οὐδετέρων ῥημάτων· ὑπαρκτικῶν.*

Fol. 41, r. *Περὶ οὐδετέρων μεταβατικῶν.*

Et plura ad grammaticam pertinentia usque ad fol. 51, v. sequuntur novem folia non exarata.

Fol. 61, r. Κολούθου ποιητοῦ περὶ τῆς ἁρπαγῆς Ἑλένης. Notulæ quædam interlineares.

Fol. 72, r. Tryphiodorus. Περὶ τῆς Ἰλίου ἁλώσεως. Deest nomen auctoris.

Fol. 91, r. Μουσαίου γραμματικοῦ τὰ κατ' Ἥρω καὶ Λεάνδρω, cum notulis interlinearibus.

Fol. 103, r. Χρυσᾶ ἔπη τοῦ Πυθαγόρου.

Fol. 106, r. Γένος Φωκυλίδους.
Ib. Εἰς τὸν αὐτὸν ἕτεροι.
} Cum quibusdam correctionibus interlinearibus.

Fol. 114, r. Σόλωνος ἐλεγεῖα. Inc. Ἡμετέρα δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται. Solon. Fr. xv. Gaisf.

Fol. 119, r. Κάτωνος Ῥωμαίου γνῶμαι παραινετικαὶ διστίχαι· ἃς μετένεγκεν ἐκ τῆς Λατίνων φωνῆς εἰς τὴν Ἑλλάδα διάλλεκτον Μάξιμος ᾶ Πλανούδης, cum glossis interlin.

Fol. 129, r. Ὁμήρου βατραχομυομαχία· ἐν δέ τισι· ἴγρητος, τοῦ Καρὸς, ἡ ἀρχή. Glossas adjecit manus interlinearis. Scriptura vero tam evanida est ut vix legi possit.

Fol. 151. Versio Latina versibus hexametris ejusdem Poematis Leonardo Aretino facta.

Fol. 167, r. Luciani Ἐπιστολαὶ Κρονικαί.

Fol. 178, r. Quædam Vaticinia de Christo.

Fol. 183, r. Notitiæ breves quorundam insignium Virorum in Creta natorum e Diogene Laertio et Suida.

Fol. 192, r. Excerpta ex Eusebii Chronicis.

Fol. 219, r. Jo. Damascenus de Hæresibus edit. a Cotelerio To. I. Monument. Eccl. Gr.

Fol. 244, v. De Synodis.

Fol. 247, r. Περὶ πίστεως versibus politicis. Initium. Ὁ πάπας Πέτρου ἀποστόλου διάδοχος κ. τ. λ.

Fol. 256, r. Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ λόγου τοῦ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ λόγου· οὗ ἡ ἀρχή· Αὐτάρκως ἐν τοῖς κ.τ.λ.

Fol. 258, r. Ἱππολύτου τοῦ Θηβαίου ἐκ τοῦ Χρονικοῦ αὐτοῦ συντάγματος περὶ γενεαλογίας τῆς θεοτόκου.

Fol. 263, r. Ἐκ τῆς τραγῳδίας τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου· finis deest.

[1] [Ἄ]ρα δὲ καὶ τοὺς τῶν Περσῶν βασιλεῖς καταλύξαι[2], προστιθέντας αὐτοῖς καὶ τοὺς ἐνιαυτοὺς οὓς ἦρξαν.

[Ἐ]βασίλευσε Κῦρος - - - ἔτη λʹ.
[Μ]εθ᾽ ὃν Καμβύσης - - - ἔτη ϛʹ[3].
[Δ]αρεῖος ἐβασίλευσεν - - - ἔτη λϛʹ.

[Τ]ούτου δευτέρῳ ἔτει ὁ ἐν Ἱεροσολύμοις ἀνενεώθη ναός· μεθ᾽ ὃν

[Ξ]έρξης ὁ Δαρείου - - - ἔτη καʹ.
[Ἀ]ρτάβανος - - - - μῆνας ζʹ.
[Ἀ]ρταξέρξης ὁ μακρόχειρ - - - ἔτη μαʹ.

[Κ]ατὰ τοῦτον Ἔσδρας Ἑβραίων ἱερογραμματεὺς ἐγνωρίζετο· ὃς λέγεται πάσας τὰς θείας γραφὰς ἀπομνημονεῦσαι, καὶ παραδοῦναι Ἰουδαίοις καινοτέροις[4] χαρακτῆρσι· διὰ τὸ ἐπὶ τυγχάνειν χώρας. ἀλλὰ ἀρχιοινοχόος ἐγνωρίζετο· ὃς Ἰουδαίαν βασιλέως, ἄνεισιν ἐπὶ τὴν Ἱερουσαλὴμ αὐτήν· οἰκοδομεῖ τε τὰ Ἱεροσόλυμα, τεῖχος τῇ πόλει περιβαλών· μέχρι γὰρ ἐκείνου, ἡ πόλις ἦν ἔρημος· μόνου τοῦ ἱεροῦ κατὰ Δαρεῖον ἀνανεωθέντος.

Μετὰ δὲ Ἀρταξέρξην Περσῶν ἐβασίλευσαν οἵδε·

Ξέρξης ὁ δεύτερος - - - - μῆνας βʹ.
Γογδιανὸς[5] - - - - - μῆνας ζʹ.
Δαρεῖος ὁ νόθος - - - - ἔτη ιθʹ.
Ἀρταξέρξης ὁ μνήμων - - - ἔτη μʹ.

[1] Primas litteras omisit rubricator. Unde hanc Persarum Regum Chronographiam sumpserit Eclogarius non satis dispicio, nam neque cum Eusebio neque Syncello plane quadrat. [2] Sic. Leg. καταλέξαι. [3] ηʹ alii. [4] Sic spatia vacua. [5] Leg. Σογδιανός.

Κατὰ τοῦτον τὰ κατὰ τὴν Ἐσθὴρ ἐπιτελεῖται·

Ἀρταξέρξης ὁ καὶ Ὦχος - - - ἔτη κϛʹ.

Ἀρχισοχοῦ[6] - - - - ἔτη δʹ.

Δαρεῖος ὁ Ἀρσάμου - - - ἔτη ϛʹ.

Τοῦτον Ἀλέξανδρος ὁ μέγας καθελὼν, τὴν Περσῶν ἀρχὴν ἐβασίλευσεν[8] - - - - - ἔτη ϛʹ.

Πρὸ τοῦ καθελεῖν Δαρεῖον βασιλεύσας Ἱστάσπις ἔτη ϛʹ.

τῇ τῆς Περσῶν βασιλείας - - - ολδʹ.

Πρὸ τοῦ καθελεῖν τὸν Δαρεῖον, βασιλεύσας, ὥς τινες φασὶν, ἔτη ιβʹ, ἐτελεύτησε δὲ ἐν Βαβυλῶνι, ἐτῶν ὑπάρχων λεʹ· ὑπέταξε δὲ βαρβάρων ἔθνη κβʹ καὶ φυλλὰς[9] Ἑλλήνων ιγʹ. Ὁμοῦ τὰ πάντα ἀπὸ Ἀδὰμ ἕως τελεύτης Ἀλεξάνδρου ἔτη ρξζ

Ἀρξάμενοι πεντηκοστῇ πέμπτῃ Ὀλυμπιάδι, κατέπαυσαν ἐν τῇ ἑκατοστῇ τρισκαιδεκάτῃ.

Ῥητέον δὲ τοὺς μετὰ Ἀλέξανδρον βασιλεύσαντας, τοὺς ἐν Αἰγύπτῳ πάντας· εἶτα καὶ τοὺς λοιποὺς, ἀνακεφαλαιωσαμένους πρὸ τούτου σύμπαντα τὰ ἔτη τῆς ἀνὰ χεῖρα χρονογραφίας.

Ἀπὸ μὲν οὖν τοῦ Ἀδὰμ, ἐπὶ τὸ δεύτερον ἔτος Δαρείου, ἔτη ͵δχό.

Ἀπὸ δὲ τοῦ δευτέρου ἔτους Δαρείου ἐπὶ τὴν τοῦ Σωτῆρος ἡμῶν ἐπιφάνειαν, κατὰ τὸ πέντε καὶ δέκατον ἔτος Τιβερίου, Ῥωμαίων αὐτοκράτορος γενωμένων[10], ὅπερ ἦν ἔτος τέταρτον Ὀλυμπιάδος διακοσιοστῆς - - - - - ἔτη φμʹ.

Ἀπὸ δὲ ιεʹ ἔτους Τιβερίου, ἐπὶ τὴν εἰκοσαετηρίδα Κωνσταντίνου Νικήτα Σεβαστοῦ - - - ἔτη τʹ.

Συνάγεται ὁ πᾶς καθ' Ἑβραίους χρόνος κατὰ τὴν τῶν ο̄ ἑρμηνείαν εἰς ἔτη ͵εφιή.

[11]Ῥητέον οὖν καὶ τοὺς μετὰ Ἀλέξανδρον βασιλεύσαντας, Αἰγύπτου τε καὶ Συρίας, καὶ Μακεδονίας. τὴν γὰρ Αἰγυπτιακὴν μυθολογίαν καὶ τοὺς πρὸς τὸν τῆς σελήνης[12] κύκλον ἀριθμουμένους

[6] Ἀρσίοχος Chron. Pasch. p. 170. Leg. Ἀρσῆς Ὤχου. [8] Sic. in marg. τέλος τῆς βασιλείας Περσῶν. [9] Leg. φυλάς. [10] Sic. [11] Hinc inc. Scal. Eclog. p. 224 = p. 59, 40. Ed. 2ae. [12] σελήνης Cod. ☾.

ἐνιαυτοὺς, καὶ τὰ Αἰγυπτιακὰ τῶν ἐν αὐτοῖς βεβασιλευκότων ὀνόματα καὶ τοῖς λήροις[13], ἔδοξέ μοι ἀναγράφειν.

Οἱ μετὰ Ἀλέξανδρον τὸν Μακεδόνα Αἰγύπτου καὶ Ἀλεξανδρείας βασιλεύσαντες. ἀπὸ τῆς Πορφυρίου γραφῆς.

Τελευτᾷ μὲν Ἀλέξανδρος ὁ Μακεδὼν, ἐπὶ τῆς ἑκατοστῆς τέσσαρες[14] καὶ δεκάτης Ὀλυμπιάδος, ἄρξας ἔτη σύμπαντα δώδεκα· διαδέχεται δὲ τὴν βασιλείαν Ἀριδαῖος, ὁ μετονομασθεὶς Φίλιππος, ἀδελφὸς ὢν Ἀλεξάνδρου, οὐχ ὁμομήτριος, γέγονε γὰρ ἐκ Φιλίννης τῆς Λαρισσαίας τῷ Φιλίππῳ. βασιλεύει δὲ ἐπὶ ἔτεσιν[15] ζ, καὶ ἀναιρεῖται ἐν τῇ Μακεδονίᾳ διὰ Πολυσπέρχοντος, τοῦ Ἀντιπάτρου υἱοῦ.

Πτολεμαῖος δὲ ὁ Ἀρσινόης καὶ Λάγου υἱὸς μετ᾽ ἐνιαυτὸν, καὶ διὰ τῆς εἰς Φίλιππον ἀναγεγραμμένης ἡγεμονίας, σατράπης εἰς Αἴγυπτον πέμπεται, καὶ στραπεύει μὲν τὰ πρῶτα ἔτη ζ καὶ δέκα· βασιλεύει δὲ, ἔτη τρία καὶ εἴκοσιν[16], ὥστε πάντα μ΄ λογίζεσθαι αὐτῷ, ἄχρι τῆς τελευτῆς. ἐπεὶ δὲ ζῶν ἔτι τῆς ἀρχῆς παρεχώρησε τῷ υἱῷ Πτολεμαίῳ τῷ ἐπικληθέντι Φιλαδέλφῳ· δύο ἔτη ἐπέζησε[17] τῷ παιδὶ, τὴν ἀρχὴν διαδεξαμένῳ. οὐκέτι δὴ τεσσάκοντα, τριάκοντα δὲ καὶ ὀκτὼ τὰ τοῦ πρώτου Πτολεμαίου, ὃν Σωτῆρα ἐπεκάλουν, λογίζονται.

Τοῦτον διαδέχεται Πτολεμαῖος ὁ υἱὸς, ὁ ἐπικληθεὶς, ὡς ἔφαμεν, Φιλάδελφος· καὶ ζῶντος μὲν ἔτι τοῦ πατρὸς, δύο πληροῖ τῆς βασιλείας ἔτη ἀποθανόντα[18] δὲ καὶ τριάκοντα, ὡς καὶ τούτῳ ὀκτὼ καὶ τριάκοντα τοὺς τῆς βασιλείας ἐνιαυτοὺς, ἴσους τοῖς τοῦ πατρὸς, ἀποδίδοσθαι[19].

Τοῦτον διαδέχεται τρίτον Πτολεμαῖος ὁ ἐπικληθεὶς Εὐεργέτης, καὶ βασιλεύει ἔτη πέντε[20] καὶ [21] εἴκοσιν· ὃν ὁ τέταρτος διαδέχεται Πτολεμαῖος, ὁ κληθεὶς Φιλοπάτωρ, καὶ βασιλεύει ἔτεσιν ὅλοις ἑπτακαίδεκα[22]. ὁ δὲ μετ᾽ αὐτὸν πέμπτος Πτολεμαῖος, Ἐπιφανὴς μὲν ἐκεκλήθη, βασιλεύει δὲ τέσσαρσι καὶ εἴκοσιν ἔτεσιν[23].

13 τοὺς λήρους Scal. 14 τεσσαρεσκαιδεκάτης Scal. 15 ἔτεσι Scal. 16 εἴκοσι Scal. 17 τῷ επικλ. Φιλ. δύο ἔτ. ἐπ. om. Scal. 18 αποθανόντος δὲ ὀκτὼ κ. τρ. Scal. 19 ἀποδιδοῦσθαι Scal. 20 κη΄ (sic in marg.) 21 εἴκοσι Scal. 22 ἑπτὰ καὶ δέκα Scal. 23 εἴκοσι ἔτεσι Scal.

Τούτου παῖδες δύο Πτολεμαῖοι μετ' αὐτὸν τὴν ἀρχὴν διαδεξάμενοι, ὅ τε πρεσβύτερος ὁ κατ' ἐπίκλησιν Φιλομήτωρ, καὶ ὁ νεώτερος ὁ ἐπικαλούμενος Εὐεργέτης δεύτερος· ἀμφοῖν δὲ ἔτη τέσσαρα καὶ ἑξήκοντα λογίζονται. Ὑφ' ἓν γὰρ τὸν ἀριθμὸν αὐτῶν ἐτάξαμεν, ὅτι διαστασιαζόντων πρὸς ἀλλήλους, καὶ ἐναλλὰξ βασιλευόντων σύγχυσις περὶ τοὺς χρόνους γέγονεν. ἄρχει μὲν γὰρ ὁ Φιλομήτωρ πρότερος, ἔτεσιν ἕνδεκα μόνος. Ἀντιόχου δὲ ἐπιστρατεύσαντος Αἰγύπτῳ, καὶ περιελόντος αὐτοῦ τὸ διάδημα, οἱ Ἀλεξανδρεῖς, τῷ νεωτέρῳ ἐπετρέψειν[24] τὰ πράγματα, καὶ διώξαντες Ἀντίοχον, ἐρρύσαντο τὸν Φιλομήτορα, καὶ ἐχρημάτισεν αὐτοῖς φιλομήτορος ιβ′[25]. Εὐεργέτου δὲ τὸ[26] ἕν· ὁμονοοῦσι[27] δὲ ἄχρι τοῦ ἑπτακαιδεκάτου· ἀπὸ δὲ τοῦ ὀκτωκαιδεκάτου μόνου χρηματίζ′[28] τοῦ Φιλομήτορος· ἀφαιρεθέντα γὰρ τῆς ἀρχῆς τὸν πρεσβύτερον ὑπὸ τοῦ νεωτέρου, κατάγουσι Ῥωμαῖοι. καὶ ἄρχει μὲν αὐτὸς τῆς Αἰγύπτου· τῷ δὲ ἀδελφῷ τῆς Λιβύης τὴν ἀρχὴν ἐγχειρίζει, καὶ μόνος ἄρχει ἔτη δεκαοκτώ. ἀποθανόντος δὲ ἐν Συρίᾳ, καὶ γὰρ καὶ ἐκείνων ἐγκρατὴς ἦν τῶν τόπων, μετακληθεὶς ἐκ Κυρήνης ὁ Εὐεργέτης, καὶ βασιλεὺς ἀναγορευθεὶς, τὰ ἔτη αὐτοῦ ἀναγράφει, ἀφ' οὗ πρῶτον βασιλεὺς ἐνομίσθη, ὡς δοκεῖν μετὰ τὴν τοῦ ἀδελφοῦ τελευτὴν ἄρξαντα αὐτὸν ἔτεσιν εἰκοσιπέντε[29] ἀνατιθέναι ἑαυτῷ τέσσαρα καὶ πεντήκοντα· τὸ γὰρ τριακοστὸν ἕκτον τοῦ[30] Φιλομήτορος δέον προσαγορεύεσθαι τῆς τούτου βασιλείας· πρῶτος αὐτὸς εἰκοστὸν πέμπτον προσέταξε γράφεσθαι, καὶ οὕτως ἀμφοτέρων μὲν ἑξήκοντα τέσσαρα, τοῦ μὲν Φιλομήτορος λε′· τὰ δ' ὑπολειπόμενα τοῦ Εὐεργέτου· ἡ δ' ὑποδιαίρεσις ἐν τοῖς κατὰ μέρος ποιεῖ πλάνην. Πτολεμαίου δὲ τοῦ δευτέρου Εὐεργέτου ἐκ Κλεοπάτρας γίνονται υἱοὶ δύο, Πτολεμαῖοι καλούμενοι· ὧν ὁ μὲν πρεσβύτερος Σωτὴρ ἐπεκαλεῖτο· ὁ δὲ νεώτερος Ἀλέξανδρος. βασιλεύει δὲ πρότερος[31] ὁ πρεσβύτερος ὑπὸ τῆς μητρὸς ἀναδειχθείς· δοκῶν δ' αὐτῇ εἶναι πειθήνιος, ἄχρι μέν τινος ἠγαπᾶτο. Ἐπεὶ δὲ κατὰ τὸ δέκατον ἔτος τῆς ἀρχῆς τοὺς φίλους τῶν γονέων ἀπέσφαξεν, ὑπὸ τῆς μητρὸς, διὰ τὴν ὠμότητα, τῆς ἀρχῆς καθῃρέθη, καὶ εἰς Κύπρον

24 ἐπέτρεψαν Scal. 25 ιϛ Scal. 26 τὸ om. Scal. 27 ὁμονοοῦσι Scal. 28 Sic. χρηματίζει Scal. 29 εἴκοσι πέντε Scal. 30 τοῦ om. Scal. 31 Ἀλεξ. βασιλ. δὲ προτ. om. Scal.

ἐφυγαδεύθη. Τὸν δὲ νεώτερον ἡ μητὴρ ἐκ Πηλουσίου μεταπεμψαμένη, βασιλέα ἀπέδειξε σὺν ἑαυτῇ. Συνεβασίλευεν οὖν ὁ νεώτερος τῇ μητρὶ, τῶν χρηματισμῶν ἀναφερομένων εἰς ἀμφοτέρους, καὶ ἑνδέκατον μὲν Κλεοπάτρας ἀνηγορεύθη, ὄγδοον δὲ Πτολεμαίου Ἀλεξάνδρου. Συνέλαβε[32] γὰρ ἀπὸ τοῦ τετάρτου ἔτους τῆς τοῦ ἀδελφοῦ βασιλείας εἰς ἑαυτὸν τοὺς χρόνους ἀπὸ τῆς[33] Κύπρου ἐβασίλευσε· καὶ τοῦτο ζώσης τῆς[34] Κλεοπάτρας τὸ ἔτος περιῆν· εἰς μόνον δὲ ἤρξατο μετατίθεσθαι τὸν Ἀλέξανδρον, μετὰ τὸν ἐκείνης θάνατον, τὰ συμβόλαια· ὀκτωκαιδεκάτους[35] πάντας ἀντιλαβόμενος τῶν σκήπτρων ἐνιαυτοὺς, ἀφ' οὗ κατῆλθεν εἰς Ἀλεξάνδρειαν, ἓξ καὶ εἴκοσι βεβασιλευκὼς ἐχρημάτιζε[36]. Τῷ δὲ ἐννέα καὶ δεκάτῳ[37] τοῖς στρατεύμασιν ὀργισθεὶς ἐξῆλθε συλλέξων ἐπ' αὐτοὺς δύναμιν εἰς Αἴγυπτον· οἱ δ' ἐπιδιώξαντες, ἡγουμένου Πύρρου[38] συγγενοῦς τῶν βασιλέων, κατεναυμάχησαν αὐτὸν, καὶ φεύγειν ἠνάγκασαν μετὰ γυναικὸς καὶ θυγατρὸς τῆς Λυκίας εἰς πόλιν Μύραν[39]· ὅθεν εἰς Κύπρον μεταπηδήσας[40], καὶ καταπολεμηθεὶς ὑπὸ ναυάρχου Χαιρέου, θνήσκει.

Μετὰ δὲ τὴν τούτου φυγὴν, πρὸς τὸν πρεσβύτερον Πτολεμαῖον τὸν Σωτῆρα, οἱ Ἀλεξανδρεῖς πρεσβευσάμενοι, παραδιδόασι πάλιν τὴν βασιλείαν αὐτῷ, ἐκ Κύπρου καταπλεύσαντι. διαγενομένων δὲ ἄλλων ἐτῶν ἑπτὰ πρὸς μησὶν ἓξ, τοσαῦτα γὰρ ἐπέζησε μετὰ τὴν κάθοδον, ὁ πᾶς χρόνος, ὁ μετὰ τὸν τοῦ πατρὸς ἀμφοτέρων θάνατον, εἰς τοῦτον ἀναφέρεται· τὸν μὲν ἀριθμὸν σώζων λε' ἐνιαυτῶν πρὸς μησὶν ἕξ· διῳκηκὼς δὲ κατὰ τὴν ἀλήθειαν εἰς μὲν τὸν Σωτῆρα Πτολεμαῖον κατὰ διαφόρους χρόνους, δεκαεπτὰ ἔτη καὶ μῆνας ἕξ, εἰς δὲ τὸν δεύτερον καὶ[41] Ἀλέξανδρον τοὺς μέσους, ὧν ἦρξεν ὁ πρεσβύτερος, ἐνιαυτοὺς δεκαοκτὼ, οὓς καίτοι μὴ δυνηθέντες ἐκ τῆς ἀναγραφῆς ἀφανίσαι, τὸ ὅσον ἐφ' ἑαυτοῖς ἀπαλείφουσι· προσέκρουσε γὰρ αὐτοῖς διά τινας Ἰουδαϊκὰς ἐπικουρίας· οὐ γὰρ ἀριθμοῦσι τούτους τοὺς χρόνους, τοὺς δὲ πάντας τὰ ἓξ καὶ τριάκοντα ἔτη τῷ πρεσβυτέρῳ προσνέμουσι. πάλιν τοὺς ἓξ μῆνας

32 συνανέλαβε Scal. 33 ἀφ' οὗ τῆς Scal. 34 τῆς ζώσης Κλ. Scal. 35 ὀκτωκαίδεκα τοὺς Scal. 36 ἐχρημάτισε Scal. 37 ἐννεακαιδεκάτῳ Scal. 38 Τύρρου Scal. 39 Μύρας Scal. 40 μεταπηδηθεὶς Scal. 41 τὸν καὶ Scal.

τοὺς μετὰ τὸν θάνατον τοῦ πρεσβυτέρου, οἳ συνεπιλήρουν[42] τὰ τριάκοντα ἓξ ἔτη, μὴ ἀποδόντες Κλεοπάτρᾳ, τῇ θυγατρὶ μὲν τοῦ πρεσβυτέρου, γυναικὶ δὲ τοῦ νεωτέρου· ἥτις μετὰ τὸν θάνατον τοῦ πατρὸς, ἀντελάβετο τῶν πραγμάτων· οὐδὲ γὰρ Ἀλεξάνδρῳ τῷ μετ' αὐτῆς ἡμέρας ἄρξαντι ιθ', τὰς ιθ' ἡμέρας ἀποδιδόασιν. οὗτος δὲ υἱὸς μὲν ἦν τοῦ νεωτέρου Πτολεμαίου τοῦ καὶ Ἀλεξάνδρου· πρόγονος δὲ Κλεοπάτρας. καταμένων δὲ ἐν Ῥώμῃ, τῆς ἐν Αἰγύπτῳ δυναστείας ἀνδρῶν ἐρήμου γενομένης, μετάκλητος ἦλθεν εἰς τὴν Ἀλεξάνδρειαν, καὶ γήμας τὴν προειρημένην Κλεοπάτραν, παραλαβών τε παρ' ἑκούσης τὴν ἐξουσίαν, ἐννεακαίδεκα διαγινομένων[43] ἡμερῶν, ἀνεῖλεν αὐτὴν, καὶ αὐτὸς ὑπὸ τῶν ἐνόπλων ἐν τῷ γυμνασίῳ διὰ τὴν μιαιφονίαν συνεχόμενος ἀπώλετο.

Τοῦτον τὸν Ἀλέξανδρον διαδέχεται Πτολεμαῖος, ὁ ἐπικληθεὶς νέος Διόνυσος, υἱὸς μὲν ὢν Πτολεμαίου τοῦ Σωτῆρος, ἀδελφὸς δὲ τῆς εἰρημένης Κλεοπάτρας· οὗ τῆς ἀρχῆς ἔτη κθ' λογίζονται· τούτου θυγάτηρ Κλεοπάτρα, ὑστάτη τῆς Λαγιδῶν γενεᾶς, ἧς ἔτη ἀριθμεῖται τῆς ἀρχῆς δύο καὶ εἴκοσι.

Οὐδ' αἱ αὐταὶ[44] δὲ αἱ βασιλεῖαι τὸν εἱρμὸν τῶν χρόνων ἀπ' ἀρχῆς ἄχρι τέλους, κατὰ τὸ ἑξῆς ἀναγραφόμενον ἔσχον· ἀλλ' ἐγένετό τις αὐτῶν ἐν ἑκατέρῳ διὰ μέσου παρένθεσις εἰς ἄλλους. ἐπί τε γὰρ[45] τοῦ νέου Διονύσου εἰς τὰς αὐτοῦ θυγατέρας Κλεοπάτραν τὴν καὶ Τρύφαιναν, καὶ Βερενίκην, τριετὴς ὡς βεβασιλευκυίας ἀνεγράφη χρόνος. εἰς μὲν ἀμφοτέρας ἐνιαυτὸς εἷς, ἡ δ' ἑξῆς μετὰ τὸν Κλεοπάτρας, τῆς καὶ Τρυφαίνης, θάνατον, διετία εἰς μόνην Βερενίκην· ἕνεκα τοῦτον[46] μὲν Πτολεμαῖον εἰς Ῥώμην ἀπηρκέναι, καὶ τοῦτον ἐκεῖ διατετριφέναι τὸν χρόνον· τὰς δὲ θυγατέρας, ὡς οὐκέτ'[47] ἐπανέξοντος[48] τοῦ πατρὸς, ἀντιλῆφθαι[49] τῶν πραγμάτων, συνεπισπωμένης ἑαυτῇ κατὰ χρόνους τῆς Βερενίκης, ἄνδρας τινὰς συγγενεῖς τοὺς ξυνάρξαντας· μέχρι ὅτου παραγενόμενος ὁ Πτολεμαῖος ἀπὸ Ῥώμης, τῆς μὲν πρὸς τὴν θυγατέρα διαθέσεως ἐπελάθετο, στυγήσας δ' αὐτὴν διὰ τὰ πραχθέντα, τοῦ ζῆν ἐστέρησεν. ἐπεί γε τῆς Κλεοπάτρας τὰ πρῶτα τῆς δυναστείας

42 συνεπλήρουν Scal. 43 διαγενομένων Scal. 44 οὐδ' αὐταὶ Scal. 45 ἐπὶ γὰρ Scal. 46 τοῦ τὸν Scal. 47 οὐκέτι Scal. 48 ἐπανήξοντος Scal. 49 ἀντειλῆφθαι Scal.

ἔτη, εἰς ἐκείνην τε καὶ τὸν πρεσβύτερον αὐτῆς ἀδελφὸν ἀνηνέχθη Πτολεμαῖον, τὰ δ' ἑξῆς εἰς ἑτέρας, διὰ τοιαύτην αἰτίαν. τελευτῶν ὁ νέος Διονύσιος[38], ἐπὶ παισὶ τέτρασι, Πτολεμαίοις δυσὶ, καὶ Κλεοπάτρᾳ καὶ Ἀρσινόῃ· διέταξε τοῖς προγενεστέροις αὐτοῦ παισὶ, Πτολεμαίῳ καὶ Κλεοπάτρᾳ τὴν ἀρχήν· ὧν συμβασιλευόντων, τετραετὴς διεγένετο χρόνος· καὶ τοῦτο διέμεινεν ἂν καὶ ἐν τοῖς ἑξῆς τὸ ἔτος[39], εἰ μὴ Πτολεμαῖον παραβάντα τὰς τοῦ πατρὸς ἐντολὰς, καὶ μόνον τῆς ἡγεμονίας ἀντιποιεῖσθαι βουλόμενον, ἡ μοῖρα τοῦ ζῆν μετέστησεν, ἐν Αἰγύπτῳ καταναυμαχηθέντα ὑπὸ Ἰουλίου Καίσαρος Κλεοπάτρᾳ συλλαμβανομένου.

Μετὰ δὲ τὴν ἀπώλειαν Πτολεμαίου, ὁ νεώτερος ἀδελφὸς Κλεοπάτρας συνεθρονίσθη τῇ ἀδελφῇ, Πτολεμαῖος καλούμενος, γνώμῃ Καίσαρος, καὶ ἐχρημάτισε τὸ πέμπτον ἔτος Κλεοπάτρας, τὸ καὶ πρῶτον Πτολεμαίου, καὶ τὰ τούτοις ἑπόμενα, μέχρι τῆς ἀναιρέσεως αὐτοῦ, ἄλλα δύο.

Τελευτήσαντος δὲ καὶ τούτου ταῖς Κλεοπάτρας ἀπάταις, τῷ τετάρτῳ μὲν αὐτοῦ, τῆς δὲ Κλεοπάτρας ὀγδόῳ, ὁ μεταγενέστερος εἰς μόνην Κλεοπάτραν ἀνεγράφη χρόνος, ἕως ἐτῶν πέντε καὶ δέκα[40]· τὸ δ' ἑξκαιδέκατον[42] ὠνομάσθη τὸ καὶ πρῶτον· ἐπειδὴ τελευτήσαντος Λυσιμάχου[43] τῆς ἐν Συρίᾳ Χαλκίδος βασιλέως, Μάρκος Ἀντώνιος ὁ αὐτοκράτωρ, τήν τε Χαλκίδα καὶ τοὺς περὶ αὐτὴν τόπους παρέδωκε τῇ Κλεοπάτρᾳ· καὶ ἀπὸ τοῦδε[44] καὶ τὰ τούτων ὕστερα[45] ἔτη, μέχρι τοῦ εἰκοστοῦ δευτέρου, ὃ καὶ τελευταῖον ἐγένετο Κλεοπάτρας, κατὰ τὸν αὐτὸν τρόπον προστιθεμένου τοῦ ἀριθμοῦ, ἐγράφετο, ὡς γενέσθαι τὸ δεύτερον καὶ εἰκοστὸν αὐτῆς, τὸ καὶ[46] ἕβδομον.

Ἀπὸ δὲ Κλεοπάτρας Ὀκταούιος Καῖσαρ, ὁ καὶ Αὔγουστος, τὴν ἀρχὴν διαδέχεται, κρατήσας Αἰγύπτου τῇ ἐπ' Ἀκτίῳ μάχῃ, κατὰ τὴν ἑκατοστὴν ὀγδοηκοστὴν τετάρτην Ὀλυμπιάδα, ἐν ἔτει δευτέρῳ.

Ἀπὸ τῆς ἑκατοστῆς ἑνδεκάτης[47] Ὀλυμπιάδος ἔτους πρώτου, ἀφ' οὗ Ἀριδαῖος, ὁ καὶ Φίλιππος[48], διεδέξατο τὴν ἀρχὴν, ἐπὶ τὴν

38 Διόνυσος Scal. 39 ἔθος Scal. 40 πεντεκαίδεκα Scal. 41 Non affirmem, nam scriptura plane confusa. ἑκκαιδέκατον Scal. 42 Λυσανίου marg. Scal. 43 τούτου δὲ Scal. 44 ἕτερα Scal. 46 κ̄ ἕβδ. Scal. 47 Sic. 48 Φιλ. ὁ Φιλίππου Scal.

ἑκατοστὴν ὀγδοηκοστὴν τετάρτην Ὀλυμπιάδα, καὶ ταύτης ἔτος δεύτερον· Ὀλυμπιάδες γίνονται ἑβδομήκοντα τρεῖς καὶ ἐνιαυτός· τούτων ἔτη - - - - - - σϞγ´

Τοσαῦτα δὲ καὶ ἀριθμεῖται τὰ ἔτη τῶν ἐν Ἀλεξανδρείᾳ βασιλευσάντων, ἐπὶ τῆς Κλεοπάτρας τελευτῆς.

Οἱ Πτολεμαίων χρόνοι, τῶν μετὰ Ἀλέξανδρον βασιλευσάντων Αἰγύπτου.

Ἀλέξανδρος ὁ Μακεδὼν κατὰ τὸ πρῶτον ἔτος τῆς ἑκατοστῆς ἑνδεκάτης Ὀλυμπιάδος βασιλεύει· κτίζει τε Ἀλεξάνδρειαν[49] τὴν πρὸς Αἰγύπτῳ· ὁ δὲ τῆς ἀρχῆς αὐτοῦ χρόνος, ἔτη ιβ´, μῆνες ζ´.

Πτολεμαῖος ὁ Λάγου - - ἔτη μ´.
Πτολεμαῖος ὁ Φιλάδελφος - - ἔτη λη´.
Πτολεμαῖος ὁ Εὐεργέτης - - ἔτη κδ´.
Πτολεμαῖος ὁ Φιλοπάτωρ - - ἔτη κα´.
Πτολεμαῖος ὁ Ἐπιφανής - - ἔτη κδ´.
Πτολεμαῖος ὁ Φιλομήτωρ - - ἔτη λα´.
Πτολεμαῖος ὁ νεώτερος Εὐεργέτης - ἔτη κθ´.
Πτολεμαῖος ὁ Φύσκων ὁ καὶ Σωτήρ ἔτη ις´ μῆνας ς´.
Πτολεμαῖος ὁ καὶ Ἀλέξανδρος ἐξώσθεντος[50]· μητρὸς[51] τοῦ πατρὸς αὐτοῦ[52] - - - - ἔτη[53]
Πτολεμαῖος ὁ Φιλάδελφος κατελθὼν ἀπὸ τῆς φυγῆς ἐξωσθέντος[54] τοῦ Ἀλεξάνδρου - - - ἔτη η´.
Πτολεμαῖος ὁ Διόνυσος - - ἔτη λ´.
Πτολεμαίου θυγάτηρ Κλεοπάτρα - ἔτη κβ´.

Κατὰ ταύτην Γάϊος Ἰούλιος Καῖσαρ πρῶτος ἐμονάρχησε Ῥωμαίων· μεθ' ὃν Καῖσαρ Σεβαστὸς Ὀκτάουιος, ὁ καὶ Αὔγουστος, Κλεοπάτραν ἑλὼν, καθεῖλε τὴν τῶν Πτολεμαίων ἀρχὴν, οἳ ἐβασίλευσαν ἔτη σϞέ.

Ταῦτα καὶ τὰ παρ' Αἰγυπτίοις.

Ασίας καὶ Συρίας βασιλεῖς, οἱ μετὰ τὸν μέγαν Ἀλέξανδρον.

Φιλίππου τοῦ Ἀριδαίου ἕκτον ἔτος κατάγοντος τῆς βασιλείας[55] ἐπὶ τῆς ἑκατοστῆς πέντε καὶ δεκάτης[56] Ὀλυμπιάδος, ἔτει τρίτῳ,

49 τὴν Ἀλεξ. Scal. 50 ἐξώσθενος Cod. 51 μητρὸς om. Scal. leg. ὑπὸ μητρός. 52 πρὸ αὐτοῦ Scal. 53 ἔτη om. Scal. deest numerus. 54 ἐξωσθένου Cod. 55 τὴν βασιλείαν Scal. 56 πεντεκαιδεκάτης Scal.

Ἀντίγονος[57] ὁ πρῶτος ἐβασίλευσε τῆς Ἀσίας, καὶ ἦρξε μὲν ἔτεσιν ὀκτὼ καὶ δέκα[58], τὰ πάντα βιώσας ἓξ καὶ ὀγδοήκοντα· φοβερώτατος δὲ τῶν τότε βασιλέων γέγονε, καὶ θνήσκει περὶ τὴν Φρυγίαν[59], πάντων αὐτῶν[60] διὰ φόβον τῶν δυναστῶν ἐπιθεμένων, τετάρτῳ ἔτει τῆς ἑκατοστῆς ἐνεακαιδεκάτης Ὀλυμπιάδος. ὁ δ' υἱὸς αὐτοῦ Δημήτριος φυγὰς εἰς τὴν Ἔφεσον διεσώθη, καὶ τῆς Ἀσίας ἁπάσης ἀποσφαλεὶς, πάντων δεινότατος[61] βασιλεὺς ἔδοξεν εἶναι ἐν τῇ πολιορκίᾳ, ἀφ' οὗ δὴ καὶ Πολιορκητὴς ἐπεκλήθη· βασιλεύει δὲ καὶ αὐτός. - - - - ἔτη ιζ΄.

* * * * * * * * *

. . . [62]κῆσαι αἰχμάλωτον βασιλικῶς ἐφύλαττεν· ἦν Ἀντιόχῳ· καὶ τοῦ Σελεύκου τούτου νεώτερος υἱὸς ὁ Ἀντίοχος, ὁ ἐν Κυζίκῳ παρὰ Κρατερῷ τῷ εὐνούχῳ τρεφόμενος, διὰ δέος τοῦ Δημητρίου, ὃς διὰ τοῦτο Κυζικηνὸς ἐπεκλήθη· ὁ τοίνυν Δημήτριος ἀπολυθεὶς ὑπὸ τοῦ Ἀρσάκου, ὡς εἴρηται, καὶ κατελθὼν βασιλεύει. Πτολεμαῖος δὲ ἀγανακτήσας ὅτι τῷ Πηλουσίῳ προσέβαλεν ὁ Δημήτριος, ἅτε τῶν κατ' Αἴγυπτον πραγμάτων ἐχόμενος, πέμπει βασιλέα τῆς Ἀσίας Ἀλέξανδρον, ὡς υἱὸν Ἀλέξανδρου, ὡς[63] διὰ τὸ ὡς ἀγοραστὸς εἶναι νενομίσθαι τοῦ Πτολεμαίου, Ζαβινᾶς ἐπεκλήθη πρὸς τῶν Σύρων. συμβολῆς δὲ περὶ Δαμασκὸν γενομένης, ἡττηθεὶς ὁ Δημήτριος φεύγει εἰς Τύρον, κἀκεῖ κωλυόμενος εἰσελθεῖν, πλείῳ[64] ἐπιβὰς, κατεκόπη· βασιλεύσας πρὸς[65] μὲν τῆς αἰχμαλωσίας ἔτη τρία· μετὰ δὲ τὴν κάθοδον, ἔτη δ΄. διαδέχεται δὲ τὸν Δημήτριον Σέλευκος ὁ υἱὸς, καὶ εὐθὺς ἐκ διαβολῆς τῆς μητρὸς, ἀποθνήσκει. Ἀντίοχος δὲ ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος, παραλαμβάνει τὰ πράγματα, τῆς ἑκατοστῆς ἑξηκοστῆς τετάρτης Ὀλυμπιάδος ἔτει δευτέρῳ· καὶ τρίτῳ ἔτει νικᾷ τὸν Ζαβινᾶν. ὁ δὲ τὴν ἧτταν μὴ ἐνεγκας, φαρμάκῳ ἑαυτὸν διεχρήσατο, βασιλεύει δὲ ἔτη ια΄, ἄχρι τοῦ τετάρτου ἔτους τῆς ἑκατοστῆς ἑξηκοστῆς ἕκτης Ὀλυμπιάδος· συναριθμεῖται γὰρ ὁ τοῦ ἀδελφοῦ αὐτοῦ Σελεύκου ἐνιαυτὸς τῆς ἀρχῆς, εἰς τοῦτον. ἐκαλεῖτο δὲ—Γρυπὸς[66] καὶ Φιλομή-

[57] Ἀντίγωνος Cod. [58] ὀκτωκαίδεκα. [59] φυγίαν Cod. [60] αὐτῷ Scal. [61] δεινώτατος Cod. [62] Sic incipit fol. 193. recto. Sic etiam Scal. [63] ὃς Scal. [64] πλοίῳ Scal. [65] πρὸ Scal. [66] Sic lineola in cod.

τωρ. κατιόντι δὲ τῷ ὁμομητρίῳ ἀδελφῷ ἀγιτράχῳ[66] καὶ ἀνεψιῷ τὰ ἐκ πατρὸς, τῷ ἐπικληθέντι Κυζικηνῷ, περὶ οὗ πρὸ ὀλίγου εἰρήκαμεν, ἐκχωροῦν[67] τῆς ἀρχῆς, ἀπελθὼν εἰς τὴν Ἄσπενδον, ὅθεν καὶ Ἀοπένδιος ἐκλήθη, ὁ αὐτὸς καὶ Γρυπὸς καὶ Φιλομήτωρ ἐπικαλούμενος.

Τοῦ τοίνυν Ἀντιόχου εἰς τὴν Ἄσπενδον ἐκχωρήσαντος, ἀρχεῖ τῆς ρξζ' Ὀλυμπιάδος, ἔτους τοῦ πρώτου, ὁ Κυζικηνὸς Ἀντίοχος· τῷ δὲ δευτέρῳ ἔτει[68] τῆς αὐτῆς Ὀλυμπιάδος κάτεισι πάλιν ἀπὸ τῆς Ἀσπένδου ὁ Ἀντίοχος, καὶ κρατεῖ μὲν αὐτὸς τῆς Συρίας· ὁ δὲ Κυζικηνὸς[69] τῆς Κοίλης· διαιρεθείσης δὲ τῆς ἀρχῆς, ὁ μὲν Γρυπὸς παρατείνει ἄχρι τῆς ἑκατοστῆς ἑβδομηκοστῆς Ὀλυμπιάδος, τοῦ τετάρτου ἔτους· ἔτη μετὰ[70] τὴν κάθοδον ἐπιζήσας δεκαπέντε, ὡς ἄρξαι τὰ πάντα εἰκοσίεξ[71]· ἕνδεκα μὲν καθ' ἑαυτὸν, πέντε καὶ δέκα[72] δὲ τῆς ἀρχῆς διῃρημένης. Ὁ δὲ Κυζικηνὸς κρατήσας ἀπὸ τῆς ρξζ' ἔτους πρώτου, τελευτᾷ ἔτει πρώτῳ τῆς[73] ροα' Ὀλυμπιάδος· βασιλεύσας μὲν ἔτη ιη', βιοὺς δὲ τὰ πάντα ἔτη ν'.

Τελευτᾷ δὲ τοῦτον τὸν[74] τρόπον· ἀποθανόντος γὰρ τοῦ Γρυποῦ Ἀντιόχου[75] κατὰ τὸν εἰρημένον χρόνον, Σέλευκος ὁ τούτου παῖς ἐπελθὼν[76] μετὰ δυνάμεως πολλὰς πόλεις προσηγάγετο. Ἀντίοχος δ' ὁ Κυζικηνὸς προσαγαγὼν ἐκ τῆς Ἀντιοχείας τὴν δύναμιν, καὶ παραταξάμενος, ἐνικήθη· ἐξενεχθεὶς δ' ὑπὸ τοῦ [77] αὐτοῦ[78] πρὸς τοὺς πολεμίους, καὶ μέλλων συλλαμβάνεσθαι, ἑαυτὸν ἀπέσφαξε[79].

Τῆς δὲ βασιλείας ὁ Σέλευκος ἐγκράτης γενόμενος, παρέλαβε τὴν Ἀντιόχειαν. πρὸς δὲ τοῦτον ἐπολέμει τοῦ Κυζικηνοῦ υἱὸς γενόμενος Ἀντίοχος· γενομένης δὲ μάχης ἐν τῇ Κιλικίᾳ, περὶ πόλιν τὴν ὀνομαζομένην Μομψουεστίαν, ἐνίκησεν ὁ Ἀντίοχος. Σέλευκος δὲ φυγὼν εἰς τὴν πόλιν, καὶ πυθόμενος τοὺς ἐγχωρίους, ὅτι διεγνώκασιν[80] αὐτὸν ζῶντα κατακαῦσαι, φθάσας ἑαυτὸν κατέσφαξεν. οἱ δὲ ἀδελφοὶ αὐτοῦ οἱ κληθέντες Δίδυμοι, Ἀντίοχός τε καὶ

66 Leg. Ἀντιόχῳ. 67 ἐκχωρεῖ Scal. 68 ἔτει om. Scal. 69 κυλικηνὸς Cod. 70 κατὰ Scal. 71 εἴκοσι ἓξ Scal. 72 πεντεκαίδεκα Scal. 73 πρ. τῆς om. Scal. 74 τὸν om. Scal. 75 Ἀντίοχον Cod. 76 ἀέπελθὼν Cod. 77 Sic vacuum spatium. 78 ἵππου αὐτοῦ Scal. 79 ἀπέσφαξεν Scal. 80 διαγνώκασιν Cod.

Φίλιππος, ἐπιφανέντες μετὰ δυνάμεως, καὶ τὴν πόλιν βίᾳ χειρωσάμενοι, μετῆλθον τὴν ἀπώλειαν τοῦ ἀδελφοῦ, κατασκάψαντες τὴν πόλιν. ἐπελθὼν δὲ ὁ τοῦ Κυζικηνοῦ υἱὸς μάχῃ αὐτοὺς νικᾷ· καὶ τούτων Ἀντίοχος μὲν ὁ τοῦ Σελεύκου ἀδελφὸς ἀπὸ τῆς μάχης ἐλαύνων τὸν ἵππον, καὶ καταφυγὼν εἰς τὸν Ὀρόντην, ὑπὸ τοῦ ῥείθρου κατεφθάρη.

Λοιπῶν δὲ ὄντων τῶν ἀμφισβητούντων περὶ τῆς βασιλείας, Φιλίππου, καὶ τοῦ Σελεύκου μὲν ἀδελφοῦ, υἱοῦ δὲ τοῦ Γρυποῦ Ἀντιόχου· Ἀντιόχου δὲ τοῦ παιδὸς, τοῦ Κυζικηνοῦ Ἀντιόχου[80], ἀπὸ τρίτου ἔτους τῆς ροα´ Ὀλυμπιάδος ἀρξάμενοι, καὶ δυνάμεις ἀξιολόγους ἔχοντες, καὶ μέρους τῆς Συρίας ἐπικρατοῦντες διεπολέμουν πρὸς[81] ἀλλήλους περὶ τῆς Συρίας. καὶ ἡττηθεὶς Ἀντίοχος εἰς Πάρθους ἀπέφυγε, καὶ ὕστερον Πομπηΐῳ ἑαυτὸν ἐνεχείρισεν, ὡς ὑπ᾽ αὐτοῦ καταχθησόμενος εἰς τὴν Συρίαν. ὁ δὲ λαβὼν παρὰ Ἀντιοχέων χρήματα, τοῦ μὲν οὐκ ἐφρόντισεν, αὐτόνομον δὲ τὴν πόλιν εἴασε. πεμψάντων δὲ ἐπ᾽ αὐτοὺς[82] Μενέλαον καὶ Λάμπωνα καὶ Καλίμανδρον[83] Ἀλεξανδρέων, ὅπως Πτολεμαίου τοῦ Διονύσου τῆς Ἀλεξανδρείας ἐκστάντος, αὐτὸς ἐλθὼν τῆς Αἰγύπτου βασιλεύσῃ μετὰ τῶν θυγατέρων τοῦ Πτολεμαίου, νόσῳ συνεχθεὶς[84], ἐτελεύτ[85]. καταλύεται δὲ καὶ Φίλιππος, ὁ τοῦ Γρυποῦ καὶ Τρυφαίνης τῆς Πτολεμαίου τοῦ ὀγδόου, υἱὸς ὁ προειρημένος· καὶ κατιέναι θέλοντα αὐτὸν εἰς τὴν Αἴγυπτον, μετεπέμψαντο γὰρ καὶ τοῦτον τότε οἱ Ἀλεξανδρεῖς ἐπὶ τὴν ἀρχὴν, Γαβίνιος ὁ τῆς Συρίας ἄρχων Ῥωμαῖος, ἔπαρχος ὢν τοῦ Πομπηΐου, ἐπέσχε, καὶ οὕτως ἡ βασιλικὴ διαδοχὴ ἡ κατὰ Συρίαν ἄχρι τούτων φθάσασα κατελύθη.

Εἰσὶν οὖν ἐφεξῆς Ἀσίας καὶ Συρίας βασιλεῖς οἵδε.

Ἀντίγονος ἐβασίλευσε τῆς Ἀσίας - ἔτη ιη´.

Δημήτριος ὁ Πολιορκητὴς τῶν τε ἄνω τόπων καὶ τῆς[86] Συρίας - - - ἔτη ιζ´.

Σέλευκος ὁ Νικάτωρ - - - ἔτη λβ´.

Ἀντίοχος Σωτὴρ - - - ἔτη ιθ´.

80 διεπολήμουν Cod. 81 Ἀντιόχου om. Scal. 82 αὐτὸν Scal. 83 Καλλίμανδρω Scal. 84 συσχεθεὶς Scal. 85 ἐτελεύτησε Scal. 86 τῆς om. Scal.

| | | |
|---|---|---|
| Ἀντίοχος Θεὸς [87] | - - - | ἔτη ιέ. |
| Σέλευκος ὁ Καλλίνικος | - - - | ἔτη κά. |
| Σέλευκος ὁ Κεραυνὸς | - - - | ἔτη γ'. |
| Ἀντίοχος ὁ Μέγας | - - - | ἔτη λϛ'. |
| Σέλευκος ὁ Φιλοπάτωρ | - - - | ἔτη ιβ'. |
| Ἀντίοχος ὁ Ἐπιφανὴς | - - - | ἔτη ιά. |
| Ἀντίοχος ὁ Εὐπάτωρ | - - - | ἔτος ά μῆνας ϛ'. |
| Δημήτριος ὁ Σωτὴρ | - - - | ἔτη ιβ'. |
| Ἀλέξανδρος ( [88] | - - - | ἔτη ιέ. |
| Δημήτριος Δημητρίου | - - - | ἔτη γ'. |
| Ἀντίοχος ὁ Σιδίτης [89] | - - - | ἔτη θ'. |
| Δημήτριος αὖθις | - - - | ἔτη δ'. |
| Ἀντίοχος ὁ Γρυπὸς | - - - | ἔτη κϛ'. |
| Ἀντίοχος ὁ Κυζικηνὸς | - - - | ἔτη ιή. |
| Φίλιππος ὁ τοῦ Γρυποῦ, ἐφ' οὗ ἡ κατὰ Συρίαν ἀρχὴ κατελύθη | - - - | ἔτη β'. |

Συνάγεται οὖν ὁ τῆς Συριακῆς βασιλείας τῆς ὑπὸ Μακεδόνων χρόνος, ἀπὸ μὲν τοῦ Ἀντιγόνου, εἰς ἔτη σοδ'.

Ἀπὸ δὲ Σελεύκου τοῦ Νικάτορος - ἔτη σλθ'.

Ἡ Μακεδονικὴ βασιλεία ἀπὸ τῶν Πορφυρίου τοῦ καθ' ἡμῶν φιλοσόφου.

Μετὰ δὲ τὸν [90] Ἀλέξανδρον τὸν Φιλίππου, Μακεδόνων ἐβασίλευσαν οἵδε, τῆς Μακεδονίας καὶ Ἕλλαδος· ἡ τῶν Μακεδόνων ἀρχὴ, ἄχρι τῆς ὑπὸ Ῥωμαίων καταλύσεως τοῦτον διήρκεσε [91] τὸν τρόπον.

Ἀριδαῖος ὁ Φιλίππου καὶ Φιλίννης τῆς Θετταλῆς, ὃν οἱ Μακεδόνες πόθῳ τοῦ Φίλιππου γένους, Φίλιππον προσαγορεύσαντες, βασιλέα ἀνέδειξαν μετὰ Ἀλέξανδρον [92], καίπερ ἐξ ἑταίρας γεγονότα, καὶ ἄφρονα [93] συνειδότες εἶναι. διαδέχεται τὴν ἀρχὴν, ὥσπερ ἔφαμεν, Ὀλυμπιάδος τῆς ριδ', ἔτει δευτέρῳ· λογίζεται δὲ αὐτῷ ἔτη ζ'· ἐπέζησε γὰρ ἄχρι ἑκατοστῆς πεντεκαιδεκάτης Ὀλυμπιάδος ἔτους δ' (sic)

Κατέλιπε δὲ ὁ Ἀλέξανδρος παῖδας, Ἡρακλέα τε, ἐκ Μαρσίνης

87 ὁ Θεὸς Scal. 88 Sic. 89 Σιδήτης Scal. 90 τὸν om. Scal. 91 διηρκησε Scal. 92 μετ' Ἀλεξ. Scal. 93 ἢ ἄφρ. Scal.

τῆς Φαρναβάζου, Ἀλέξανδρόν τε, ἐκ Ῥωξάνης τῆς Ὀξυάρτου τοῦ Βάκτρων βασίλεως. Ἀριδαῖον μὲν οὖν Ὀλυμπίας ἔκτεινεν ἡ μητὴρ Ἀλεξάνδρου· αὐτὴν δὲ καὶ τοὺς δύο παῖδας Ἀλεξάνδρου Κάσσανδρος ὁ Ἀντιπάτρου ἀναιρεῖ· τὸν μὲν αὐτὸς φονεύσας, τὸν δὲ Βαρσίνης[93] Πολυσπέρχοντα πείσας. Ὀλυμπιάδα δὲ καὶ ἄταφον ἐκρίψας, ἀνεῖπεν ἑαυτὸν Μακεδόνων βασιλέα· καὶ ἀπὸ τοῦδε καὶ τῶν ἄλλων σατραπῶν ἕκαστος ἐβασίλευσε, τῆς Ἀλεξάνδρου γενεᾶς διεφθαρμένης. γῆμεν[94] δὲ Θεσσαλονίκην τὴν Φιλίππου, βασιλεύων ἐπεβίω ἔτη ιθ', καὶ φθινάδι νόσῳ ἐπιπόνῳ διελύθη. Τοῦτον διαδέχονται οἱ παῖδες, Φίλιππος καὶ Ἀλέξανδρος καὶ Ἀντίπατρος· οἵτινες ἔτη τρία καὶ μῆνας ς' ἐβασίλευσαν μετὰ τὸν πατέρα. Πρῶτος μὲν Φίλιππος καὶ ἐν Ἐλατείᾳ ἀποθνήσκει. Ἀντίπατρος δὲ Ἀλεξάνδρῳ τῷ παιδὶ συμπράττουσαν ἀνελὼν τὴν μητέρα Θεσσαλονίκην εἰς Λυσίμαχον ἔφυγε, καὶ τῶν ἐκείνου θυγατέρων γήμας τινὰ, ὁμοίως ἀνῃρέθη[95] πρὸς αὐτοῦ Λυσιμάχου.

Ἀλέξανδρος δὲ γαμεῖ μὲν Λύσανδραν τὴν τοῦ Πτολεμαίου· πρός τε τὸν νεώτερον πολεμῶν[96] ἀδελφὸν, εἰς συμμαχίαν ἐπικαλεῖται Δημήτριον τὸν Ἀντιγόνου, ὅτῳ Πολιορκητὴς ἦν ἐπώνυμον· ἀναιρεῖταί τε ὑπ' αὐτοῦ, καὶ Μακεδόσιν αὐτὸς ἄρχει ὁ Δημήτριος. Τῶν οὖν παίδων Κασάνδρου τῆς ἀρχῆς ἔτι[97] λογίζονται ἀπὸ τοῦ τετάρτου ἔτους τῆς ἑκατοστῆς     τοῦ τρίτου τῆς[98] ἑκατοστῆς πρώτης Ὀλυμπιάδος. Δημήτριον δὲ ἓξ ἔτη βασιλεύσαντα Μακεδονίας Πύρρος ἐκβάλλει, τῆς Ἠπείρου βασιλεὺς, τρίτος καὶ εἰκοστὸς, ἀπ' Ἀχιλλέως τοῦ Θέτιδος ὤν· ὡς ἂν αὐτῷ προσηκούσης τῆς ἀρχῆς, μετὰ τὸ Φιλίππου γένος δι' Ὀλυμπιάδα τὴν Ἀλεξάνδρου μητέρα, κἀκείνην ἐκ Πύρρου τοῦ Νεοπτολέμου γενομένην. ἑπτὰ δὲ μῆνας ἄρχει Μακεδόνων· τῷ δὲ ὀγδόῳ τοῦτον Λυσίμαχος διαδέχεται ὁ Ἀγαθοκλέους, Θετταλὸς ὢν ἐκ Ῥάνωνος[99], καὶ Ἀλεξάνδρου γεγονὼς δορυφόρος· Θρᾴκης δὲ τότε καὶ Χερροννήσου[1] βασιλεύων, εἰς γειτόνα καὶ ὅμορον τὴν Μακεδονίαν ἐπιδραμὼν, διεδέξατο. οὗτος Ἀρσινόῃ πεισθεὶς τῇ γυναικὶ, Ἀγαθοκλέα τὸν υἱὸν ἐκ τοῦ ζῆν ἦρε. βασιλεύει δὲ Μακεδονίας ἔτη ε'

93 Μαρσίνης Scal. 94 γήμας Scal. 95 ἀνηρεύθη Cod. 96 Πτολεμαῖον Scal. 97 ἔτη Scal. 98 τῆς om. Scal. 99 Κρανῶνος Scal. 1 Χειρονήσου Cod.

καὶ μῆνας ϛʹ. ἡττᾶται δ' ἐν τῇ περικόρου[2] πεδίον μάχῃ, τῇ πρὸς Σέλευκον, τὸν τῆς Ἀσίας βασιλέα, ὅτῳ Νικάτωρ ἐπίκλησις ἦν· ὅτε καὶ τοῦ ζῆν ἀπαλλάττεται. εὐθὺς δ' ἐπὶ τῇ νίκῃ Σέλευκον Πτολεμαῖος ὁ τοῦ Λάγου καὶ Εὐρυδίκης παῖς τῆς Ἀντιπάτρου, ᾧ Κεραυνὸς ἐπίκλησις ἦν, εὐεργέτην τε ὄντα ἑαυτοῦ, καὶ ἐκ φυγῆς ὑποδεξάμενον, ἀνελὼν, ἦρχεν[3] αὐτὸς Μακεδόσιν· ὅσπερ Γαλάταις πολεμῶν ἀνῃρέθη, βασιλεύσας ἐνιαυτὸν καὶ μῆνας εʹ. Τὸν δὲ Πτολεμαῖον Μελέαγρος ὁ ἀδελφὸς διεδέξατο· Μακεδόνες δ' αὐτὸν τῆς ἀρχῆς εὐθὺς ἐκβάλλουσιν ἄρξαντα δύο μῆνας, ὡς ἀνάξιον φανέντα· καὶ ἀντ' αὐτοῦ ποιοῦνται βασιλέα Ἀντίπατρον, ἀδελφιδοῦν μὲν ὄντα Κασσάνδρου, υἱὸν δὲ Φιλίππου, κατὰ ἀπορίαν[4] γένους βασιλικοῦ[5]. πέντε δὲ αὐτὸν καὶ τεσσαράκοντα ἡμέραις[6] ἄρχοντα Σωσθένης τίς τῶν δημοτικῶν ἐξελαύνει, ὡς ἀδύνατον στρατηγεῖν· Βρέννου τοῦ Γαλάτου ἐπιόντος τοσούτου πολέμου[7]. καὶ αὐτὸν οἱ Μακεδόνες Ἐτησίαν ἐκάλεσαν· ὅτι χρόνῳ τοσῷδε οἱ ἐτησίαι πνέουσι. Σωσθένης δὲ Βρέννον ἐξελάσας, καὶ ὅλων δύο ἐτῶν προστὰς[8] τῶν πραγμάτων, ἀποθνήσκει· καὶ γίνεται ἀναρχία Μακεδόσι, διὰ τὸ τοὺς περὶ Ἀντίπατρον καὶ Πτολεμαῖον καὶ Ἀριδαῖον, ἀντιποιεῖσθαι μὲν τῶν πραγμάτων, ὁλοσχερῶς δὲ μηδένα προστῆναι.

Ἀπὸ δὴ τοῦ Πτολεμαίου ἐπὶ τὸ τέλος τῆς ἀναρχίας, τουτέστιν ἀπὸ ρκδʹ Ὀλυμπιάδος, ἔτους τετάρτου, ἄχρι τῆς ρκϛʹ· Πτολεμαίου μὲν τοῦ Κεραυνοῦ ἐνιαυτὸν καὶ μῆνας εʹ ἄρξαντος· Μελεάγρου δὲ μῆνας βʹ· Ἀντιπάτρου δὲ ἡμέρας μεʹ· Σωσθένους δὲ ἔτη βʹ, καὶ τοῦ λοιποῦ χρόνου εἰς τὴν ἀναρχίαν λογισθέντος.

Τοῦ δ' Ἀντιπάτρου τοῖς πράγμασιν ἐπιβουλεύοντος, Ἀντίγονος ὁ Δημητρίου τοῦ Πολιορκητοῦ καὶ Φίλας τῆς Ἀντιπάτρου θυγατρὸς υἱὸς, μεταποιεῖται τῆς ἀρχῆς, ὃς ἐν Γόνοις τῆς [9]÷αλίας γενόμενός τε καὶ τραφεὶς Γονατᾶς[10] ἐπεκαλεῖτο· λογίζεται δὲ αὐτῷ τὰ πάντα ἔτη τῆς βασιλείας τέσσαρα καὶ τεσσαράκοντα. ἦν γὰρ βασιλεὺς καὶ πρὶν τῆς Μακεδονίας κρατῆσαι ὅλοις ἔτεσι δέκα πρότερον. οὗτος ἐστὶν ὁ τὴν Ἑλλάδα ἐγκρατῶς χειρωσάμενος·

[2] Sic Cod. περὶ κόρου Scal. [3] ἦρξεν Scal. [4] κατ' ἀπορ. Scal. [5] βασιλικῶς Cod. [6] ἡμέρας Scal. [7] πολεμίου Scal. [8] πρὸς τὰς Cod. [9] Sic. Θεσσαλίας Scal. [10] Γονάτας Scal.

καὶ βιοῖ μὲν τὰ πάντα ἔτη τρία καὶ ὀγδοήκοντα· τελευτᾷ δὲ τῆς ρλε´ Ὀλυμπιάδος ἔτει πρώτῳ· ὃν διαδέχεται υἱὸς Δημήτριος, ὃς καὶ πᾶσαν τὴν Λιβύην ἔλαβε, Κυρήνης τε ἐκράτησε καὶ κατέσχεν ἐτῶν δέκα. γήμας δέ τινα τῶν αἰχμαλώτων, καὶ Χρυσηΐδα προσειπὼν, Φίλιππον ἐξ αὐτῆς ἔσχε, τὸν πρῶτον πολεμήσαντα Ῥωμαίοις, καὶ κακῶν αἴτιον Μακεδόσι γενόμενον. Φίλιππον μὲν οὖν ὀρφανευόμενον ἐπετρόπευεν Ἀντίγονος ἕτερος ἐκ τοῦ βασιλείου γένους, ᾧ Φοῦσκος ἐπώνυμον ἦν. δίκαιον δὲ τὸν[11] Φοῦσκον[12] εἰς τὴν ἐπιτροπὴν ὁρῶντες οἱ Μακεδόνες ἐστήσαντο βασιλεύειν, καὶ τὴν Χρυσηΐδα αὐτῷ ἥρμοσαν· ὁ δὲ παίδων αὐτῷ γενομένων ἐκ τῆς Χρυσηΐδος, οὐκ ἀνεθρέψατο· τὴν ἀρχὴν τῷ Φιλίππῳ περισώζων[13]· ᾧ δὴ καὶ παρέδωκεν ἀποθνήσκων· ἐπιτροπεύσας μὲν ἐπὶ[14] ἔτη ιβ´· ζήσας δὲ τὰ[15] πάντα ἔτη μβ´. ὁ δὲ τοῦ Δημητρίου υἱὸς, ὃν οἱ Μακεδόνες Καλὸν ἐπωνόμαζον, χωρὶς τοῦ ἐπιτρόπου ἀπὸ τῆς ρμ´ Ὀλυμπιάδος ἄρχειν ἤρξατο· καὶ ἐβασίλευσεν ἔτεσιν ὅλοις δύο καὶ μ´· τελευτᾷ δὲ δευτέρῳ ἔτει τῆς ρνθ´ Ὀλυμπιάδος, νη´ τὰ ὅλα βιοὺς ἔτη.

Περσεὺς δὲ υἱὸς τοῦ Φιλίππου, Δημήτριον[16] τὸν ἀδελφὸν ταῖς πρὸς τὸν πατέρα αὐτοῦ διαβολαῖς ἀποκτείνας, βασιλεύει ἔτεσι δέκα καὶ μησὶν ὀκτώ. ἐπὶ γὰρ τῆς ρνβ´ Ὀλυμπιάδος τοῦ τετάρτου ἔτους, Λεύκιος Αἰμίλιος πρὸς τοὺς Μακεδόνας[17] περὶ τὴν Πύδναν εἷλε κατὰ κράτος. Περσεὺς δὲ εἰς τὴν Σαμοθράκην ἔφυγεν[18]· εἶτα ἑκουσίως παρέδωκεν ἑαυτὸν δέσμιον τοῖς πολεμίοις· κἀκεῖθεν εἰς Ἄλβην μετατεθεὶς, καὶ τηρούμενος μετὰ πέντε ἔτη ἐτελεύτα[19].

[20]. ὰ δὴ τῶν Μακεδόνων ἐπὶ τούτου κατελύθη, καὶ αὐτοὺς Ῥωμαῖοι τότε μὲν[21] αὐτονόμους ἀφῆκαν, αἰδούμενοι δόξαν ἀγαθὴν, καὶ μέγεθος ἀρχῆς τῆς Μακεδόνων.

Ἔτει δὲ ἐννεακαιδεκάτῳ ἐπὶ τῆς ρνζ´ Ὀλυμπιάδος εἰς ἔτος τρίτον, Ἀνδρίσκος τὶς, υἱὸν ἑαυτὸν ψευσάμενος εἶναι Περσέως, καὶ Φίλιππον ἑαυτὸν μετωνομάσας, καὶ ὃ[22] καὶ Ψευδοφίλιππος ἐκα-

[11] τὸν om. Scal. [12] Φοῦσκον Scal. [13] παρασώζων Scal. [14] ἐπ' ἔτη Scal. [15] τὰ om. Scal. [16] Δημητρίου Scal. [17] Nullum hic lac. vestigium. [18] ἔφευγεν Scal. [19] τελευτᾷ Scal. [20] Sic, prima littera omissa. [21] μὲν om. Scal. [22] παρ' ὃ Scal.

λεῖτο, κρατεῖ Μακεδονίας, Θρᾶκας λαβὼν συμμάχους. Ἐνιαυτὸν δὲ κρατήσας, ἐκ παρατάξεως μὲν φεύγει εἰς τοὺς Θρᾶκας· ἔκδοτος δὲ παρ' ἐκείνων δοθεὶς ἀναπέμπεται δέσμιος εἰς τὴν Ῥώμην.

Ῥωμαῖοι δὲ Μακεδόνας ἀχαρίστους γενομένους, διὰ τὸ συλλαβέσθαι τῷ Ψευδοφιλίππῳ, ὑποφόρους ἐποίησαν· ἔτει τετάρτῳ τῆς ρνζʹ Ὀλυμπιάδος. γίνονται οὖν μετὰ Ἀλέξανδρον τὸν Μέγαν ἀπὸ τῆς ριδʹ Ὀλυμπιάδος ἔτους δευτέρου, ἄχρι τῆς ρνζʹ τετάρτου ἔτους, ἐν ᾧ κατεδουλώθησαν Μακεδόνες, τὰ πάντα ἔτη ροδʹ· ἔτους τῆς Μακεδονικῆς βασιλείας· ἔτους ροδʹ.

| | | |
|---|---|---|
| Ἀριδαῖος ὁ καὶ Φίλιππος | - - | ἔτη ζʹ. |
| Κάσανδρος | - - - - | ἔτη ιθʹ. |
| Κασάνδρου παῖδες | - - - | ἔτη γʹ, μῆνας ςʹ. |
| Δημήτριος ὁ Πολιορκήτης[23] | - | ἔτη ςʹ. |
| Πύρρος[24] | - - - - | ἔτη[25] μῆνας ζʹ.[26] |
| Λυσίμαχος | - - - - | ἔτη εʹ, μῆνας εʹ. |
| Πτολεμαῖος ὁ Κεραυνός | - - | ἔτος αʹ, μῆνας εʹ. |
| Μελέαγρος | - - - - | ἔτος αʹ, μῆνας βʹ. |
| Ἀντίπατρος Λυσιμάχου | - - | ἔτος αʹ, μῆνας[27] εʹ. |
| Σωσθένης | - - - - | ἔτη βʹ. |
| Ἀναρχίας | - - - - | ἔτος[28] μῆνας βʹ. |
| Ἀντίγονος ὁ Γονατᾶς[29] | - - | ἔτη λδʹ. |
| Δημήτριος ὁ Καλὸς | - - | ἔτη ιʹ. |
| Ἀντίγονος ὁ Φοῦσκος | - - | ἔτη ιβʹ. |
| Φίλιππος | - - - - | ἔτη μβʹ. |
| Περσεὺς | - - - - | ἔτη ιʹ. μῆνας ηʹ. |
| Αὐτονομίας | - - - - | ἔτη ιθʹ. |
| Ψευδοφίλιππος | - - - | ἔτος αʹ. |

Major pars folii 199, v. alba relicta est.

Fol. 200. r. cujus caput erasum est, quando compactus fuit Codex. Attamen etiamnunc legi potest hic titulus:

Σικυώνια· τὰ νῦν λεγόμενα βασιλικά.

[23] πολυορκήτης Cod. [24] κύρρος Cod. [25] Deest numerus annorum. [26] ς Scal. [27] ἡμέρας με. [28] ἔτος αʹ Scal. [29] γονάτας Scal.

Καὶ τῶν μὲν Ἑλλήνων παλαιότατοι τοῖς χρόνοις ἀναγράφονται Σικυώνιοι καὶ βασιλεῖς ὁ Σικυώνων ἡγησάμενοι· ὧν πρῶτος ἦρξεν Αἰγιαλεὺς, μετὰ Νῖνον καὶ Βῆλον γεγονώς· τοὺς πρώτους Ἀσυρίων βασιλεῦσαι τῆς Ἀσίας μνημονευομένους· ἐξ οὗ Αἰγιαλία τὸ πρὶν, ἡ νῦν Πελοπόνησος, ἐκαλεῖτο.

Ἀργείων δὲ πρῶτος Ἴναχος βασιλεὺς ἀναγράφεται, τῆς Σικυῶνος ἀρχῆς ὕστερον γεγονὼς ἔτεσι σλέ.

Ἀθηναίων δὲ πρῶτος βασιλεύει Κέκροψ ὁ ἐπικληθεὶς διφυής· τῆς μὲν Ἀργείων ἀρχῆς ὕστερον, ἐγγύς που ἔτεσι τριακοσίοις· τῆς δὲ Σικυῶνος νεώτερος ἔτεσι φλγ΄.

[29] Εἰσὶν οἱ Σικυῶνος βασιλεῖς κατὰ τὴν τοῦ χρονογράφου Κάστορος ἔκθεσιν ὧδε.

Πρῶτος Αἰγιαλεὺς ἔτη νβ΄· οὗτος λέγεται βασιλεῦσαι Σικυῶνος κατὰ τὸ ιε΄ ἔτος Βήλου τοῦ πρώτου τῆς Ἀσυρίων ἀρχῆς ἡγησαμένου, ὃν Ποσειδῶνος υἱὸν εἶναι καὶ Λιβύης μυθεύουσι.

Δεύτερος Εὔρωψ - ἔτη με΄.
Τρίτος - - ἔτη.
Τέταρτος Πέλωψ [31] ἔτη κε΄. ἡ Πελοπόνησος ἐκλήθη.
Πέμπτος Θελξίων - ἔτη νβ΄.
Ἕκτος Γύδρος [32] - ἔτη λδ΄.
Ἕβδομος Θουρίμαχος ἔτη με΄. κατὰ τοῦτον Ἀργείων πρῶτος ἐβασίλευσεν [33] Ἴναχος.
Ὄγδοος Λεύκιππος - ἔτη νγ΄.
Ἔννατος Μέσσεππος [34] ἔτη μζ΄. κατὰ τοῦτον συνίσταται ἄρξας τῆς Αἰγύπτου Ἰωσὴφ, ὁ παρ᾽ Ἑβραίοις μνημονευόμενος.
Δέκατος Ἔρατος - ἔτη μϛ΄.
Ἑνδέκατος Πελημναῖος [35] ἔτη μη΄.
Δωδέκατος Ὀρθόπολις ἔτη ξγ΄.
Τρισκαιδέκατος Μαραθώνιος ἔτη λ΄. κατὰ τοῦτον πρῶτος τῆς Ἀττικῆς ἐβασίλευσε Κέκροψ ὁ διφυής.
Τεσσαρεσκαιδέκατος Μάραθος ἔτη η΄· κατὰ τοῦτον συνίσταται τῆς ἀπ᾽ Αἰγύπτου πορείας τῶν Ἑβραίων ἡγησάμενος Μωυσῆς, ὡς κατὰ καιρὸν δειχθήσεται.

29 Hic inc. Scal. Eclog. 30 Ἀσσυρίων Scal. 31 Πέλοψ Scal.
32 Scal. . . . . γυδρος. 33 βασιλεύει Scal. 34 Μέσσαππος Scal.
35 Πιλημναῖος Scal.

Πεντεκαιδέκατος Ἐχυρὲς[36] ἔτη νέ· κατὰ τοῦτον Ἀργείων βασιλεύει Δαναός.

Ἑκκαιδέκατος Κόραξ - ἔτη λ΄.

Ἑπτακαιδέκατος Ἐποπτεὺς[37] ἔτη λέ.

Ὀκτωκαιδέκατος Λαομέδων ἔτη μ΄.

Ἐννεακαιδέκατος Σικυὼν ἔτη μέ· κατὰ τοῦτον οἱ Ἀργείων βασιλεῖς ἐπαύσαντο, διαρκέσαντες ἔτεσι φμ΄.

Εἰκοστὸς Πόλυβος - ἔτη μ΄.

Εἰκοστὸς πρῶτος Ἴναχος ἔτη μ΄.

Εἰκοστὸς δεύτερος Φαῖστος ἔτη ή.

Εἰκοστὸς τρίτος Ἄδαρτος ἔτη δ΄.

Εἰκοστὸς τέταρτος Πολυφείδης ἔτη λά. κατὰ τοῦτον Ἴλιον ἥλω.

Εἰκοστὸς πέμπτος Πελασγὸς[38] ἔτη ή. κατὰ τοῦτον Αἰνείας Λατίνων ἐβασίλευσεν.

Εἰκοστὸς ἕκτος Ζεύξιππος ἔτη λά. Ὁμοῦ γίνονται Σικυῶνος βασιλεῖς οἱ πάντες κϛ΄· βασιλεύουσι δὲ χρόνον ἐτῶν ϡνθ΄.

Μετὰ Ζεύξιππον βασιλεῖς μὲν οὐκέτι, ἱερεῖς δὲ τοῦ Καρνίου[39].

Ὧν πρῶτος ἱεράσατο Ἀρχέλαος ἔτος ά.

Δεύτερος Αὐτομέδων - ἔτος ά.

Τρίτος Θεόκλυτος - ἔτη δ΄.

Τέταρτος Εὔνεος - ἔτη ϛ΄.

Πέμπτος Θεόνομος - ἔτη θ΄.

Ἕκτος Ἀμφιγύης - ἔτη ιή.

Ἕβδομος Χαρίδημος τελευταῖος ἔτος ά· οὗτος οὐχ ὑπομείνας τὴν δαπάνην ἔφυγεν· ἀφ᾽ οὗ ἐπὶ πρώτην Ὀλυμπιάδα ἔτη τνά. Ὁμοῦ Σικυωνίων βασιλέων τε καὶ ἱερέων ἔτη ϡξή.

Μετὰ τοὺς Σικυῶνος ἡγησαμένους εὖ ἂν ἔχοι καὶ τοὺς Ἀργείων βασιλεῖς ἐν ἐπιτομῇ διελθεῖν· καθὼς τὰ ἀκριβῆ τῶν παλαιῶν ἱστοριῶν περιέχει. μνημονεύει δὲ καὶ τούτων ὁ Κάστωρ ὡδέπη[40] γράφων.

36 Ἐχυρεὺς Scal. 37 Ἐποπεὺς Scal. 38 Πελασγῶν Scal.
39 Καρνείου Scal. 40 ὡδέπως Scal.

[41] Ἐκ τῶν Κάστορος περὶ τῆς Ἀργείων βασιλείας. βασιλεῖς Ἀργείων.

Πρῶτος Ἴναχος, ἀφ' οὗ Ἰναχία ἡ [42] χώρα ἐκαλεῖτο· ἔτη ν'· βασιλεύει δὲ πρῶτος Ἴναχος Ἀργείων κατὰ Θουρίμαχον, ὃς ἕβδομος ἦν τῆς Σικυωνίων ἀρχῆς.

Δεύτερος Φορωνεὺς - ἔτη ξ'. κατὰ τοῦτον Ὤγυγος [43], Ἐλευσῖνα ἔκτισε.

Τρίτος Ἄπις - - ἔτη λε'.

Τέταρτος Ἄργος ὁ Διὸς καὶ Νιόβης· ἀφ' οὗ ἡ χώρα μετωνομάσθη Ἀργεία - - ἔτη ο'.

Πέμπτος Κρίασος - ἔτη νδ'.

Ἕκτος Φόρβας - ἔτη λε'.

Ἕβδομος Τριόπας - ἔτη μϛ'.

Ὄγδοος Κρότοπος [44] - ἔτη κα'.

Ἔννατος Σθένελος - ἔτη ια'· τοῦτον δὲ Δαναὸς ἐκβαλὼν ἐκράτησεν Ἄργους, καὶ οἱ τούτου ἀπόγονοι.

Δέκατος Δαναὸς - ἔτη ν'.

Ἑνδέκατος Λυγκεὺς - ἔτη μα'.

Δωδέκατος Ἄβας - ἔτη κγ'.

Τρισκαιδέκατος Προῖτος ἔτη ιζ'.

Τεσσαρεσκαιδέκατος Ἀκρίσιος ἔτη λα'.

Ὁμοῦ τὰ πάντα τῆς Ἀργείων ἀρχῆς ἔτη φμε'.

Μέχρι τούτων οἱ Δαναΐδαι· μετὰ δὲ Ἀκρίσιον, εἰς Μυκήνας μετατεθείσης τῆς Ἀργείων ἀρχῆς, κατὰ Εὐρυσθέα τὸν Σθενέλου, οἱ Πελοπίδαι διεδέξαντο· βασιλεύει δὲ πρῶτος Πελοποννήσου Πέλοψ· οὗτος ὁ [45] Πέλοψ Ὀλυμπίων τε προέστη. . . . [46] ὃν εἰς Μυκήνας μετατεθείσης τῆς Ἀργείων ἀρχῆς, μετὰ Ἀκρίσιον ἐβασίλευσεν Εὐρυσθεὺς - ἔτη με'. Ἔπειτα οἱ Πελοπίδαι Ἀτρεὺς καὶ Θυέστης ἔτη ξε'.

Ἀγαμέμνων μετὰ τούτους ἔτη λ'.

Αἴγισθος - - - ἔτη ιζ'.

41 Ἐκ τῶν καστ. π. τ. Αργ. βασ. Αργ. om. Scal. 42 ἡ om. Scal. 43 ὤγιγος Cod. 44 Κροτωπὸς Scal. 45 οὗτος ὁ om. Scal. 46 Deest aliquid ὃν om. Scal.

Ὀρέστης καὶ Τισαμενὸς καὶ Πένθις καὶ Κομίτης[47] ἔτη νή.

Μέχρις Ἡρακλειδῶν καθόδου, ὅτε Πελοπόννησον εἶλον· ἀφ' ἧς[48] ἐπὶ τὴν Ἰωνίων ἀποικίαν - - - ἔτη ξ'.

Ἀπὸ δὲ τῆς Ἰωνίων ἀποικίας ἐπὶ Ὀλυμπιάδα πρώτην ἔτη σξζ'.

Ἑξῆς δ' ἂν εἴη τούτοις καὶ τὸν τῶν Ἀθήνῃσι βασιλευσάντων κατάλογον ἐπισυνάψαι[49].

## Ἀθηναίων βασιλεῖς.

Πρῶτος παρ' Ἀθηναίοις μνημονεύεται Ὤγυγος, καθ' ὃν παρ' Ἕλλησι ὁ μέγας καὶ παλαιὸς ἱστορεῖται κατακλυσμός. τούτῳ λέγεται συγχρονίσαι Φορωνεὺς ὁ Ἰνάχου[50], Ἀργείων βασιλεύς. γίνεται δὲ Ὤγυγος κατὰ Μέσσαπον ἔννατον Σικυῶνος βασιλέα, καὶ κατὰ[51] Βήλοχον Ἀσσυρίων ὄγδοον βασιλέα· μετὰ δὲ Ὤγυγον διὰ τὴν ἀπὸ τοῦ κατακλυσμοῦ πολλὴν φθορὰν φασὶν ἀβασίλευτον διαμεῖναι τὴν νῦν Ἀττικὴν, μέχρι Κέκροπος. ἔτη ρϛ'.

Ταῦτα δὲ διαριθμεῖται τὰ ἔτη καὶ ἀπὸ τῆς Ἀργείων βασιλείας πρὸ Ὠγύγου ἀρξαμένης· ἀπὸ δὲ τῶν τελευταίων Φορωνέως Ἀργείων βασιλέων, καθ' ὃν μνημονεύεται ὁ ἐπὶ Ὠγύγου κατακλυσμὸς, ἐπὶ Φόρβαντα, ἐφ' οὗ τῆς νῦν Ἀττικῆς πρῶτος ἐβασίλευσε Κέκροψ ὁ διφυὴς, συνάγεται ἔτη ρ'. Ἀπὸ δὲ Κέκροπος ἐπὶ τὴν πρώτην Ὀλυμπιάδα καταριθμοῦνται βασιλεῖς μὲν ἑπτακαίδεκα, ἄρχοντες δὲ διὰ βίου δώδεκα· ἐφ' ὧν λέγεται γεγονέναι τὰ ἐν Ἕλλησι θαυμάσια μυθολογούμενα. οἱ δ' οὖν μετὰ τὸν Ὤγυγον καὶ τὸν κατακλυσμὸν Ἀθηναίων βασιλεῖς εἰσὶν οἵδε.

Πρῶτος Κέκροψ ὁ διφυὴς ἔτη ν'.[52] κατὰ Μαραθώνιον βασιλεύσας, ὃς ἦρξε Σικυῶνος τρισκαιδέκατος. κατὰ δὲ τοῦτον καὶ Μωυσῆς παρ' Ἑβραίοις ἐγνωρίζετο, ὡς κατὰ καιρὸν ἐπιδείξομεν. Ἐφ' οὗ ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμὸς ἐν Θεσσαλίᾳ, ἧτε ἐπὶ Φαέθοντος ἐκπύρωσις ἐν Αἰθιοπίᾳ.

Δεύτερος Κραναὸς αὐτόχθων - - - ἔτη θ'.

Τρίτος Ἀμφικτυὼν[53] Δευκαλίωνος - - ἔτη ι'.

47 Κομήτης Scal. 48 ἀφ' ἧς om. Scal. 49 συνάψαι Scal. 50 οἰνάχου Cod. 51 μετὰ Scal. 52 ἔτη ν post τρισκαιδ. ponit Scal. 53 Ἀμφικτύων Scal.

Τέταρτος Ἐριχθόνιος Ἡφαίστου, ὁ παρ᾽ Ὁμήρῳ Ἐρεχθεύς· ἐφ᾽ οὗ Ἰδαῖοι Δάκτυλοι - - - - ἔτη ν΄.

Πέμπτος Πανδίων Ἐριχθονίου· ἐφ᾽ οὗ Κόρης ἁρπαγὴ καὶ τὰ περὶ Τριπτόλεμον - - - - - ἔτη μ΄.

Ἕκτος Ἐρεχθεὺς Πανδίονος, ἐφ᾽ οὗ τὰ περὶ Περσέα ἔτη ν΄.

Ἕβδομος Κέκροψ ἀδελφὸς Ἐρεχθέως, ἐφ᾽ οὗ τὰ περὶ Διόνυσον - - - - - - - ἔτη μ΄.

Ὄγδοος Πανδίων Ἐρεχθέως ἔτη κε΄. σὺν οἷς[43] φευγὼν ἐν Μεγάροις ἐβασίλευσεν· ἐφ᾽ οὗ Εὐρώπη, Κάδμος, καὶ τὰ περὶ τοὺς[44] Σπαρτούς.

Ἔννατος[56] Αἰγεὺς Πανδίονος ἔτη μη΄. ἐν ᾧ τὰ περὶ τοὺς Ἀργοναύτας καὶ Κενταύρους. Ἡρακλῆς τε τοὺς ἄθλους ἐτέλει.

Δέκατος Θησεὺς Αἰγέως ἔτη λ΄. ἐφ᾽ οὗ Μίνως ἐνομοθέτει.

Ἑνδέκατος Μενεσθεὺς Πετεῶ τοῦ Ὀρνέως[58] τοῦ Ἐρεχθέως· ἐφ᾽ οὗ Ἴλιον ἑάλω· - - - - ἔτη κγ΄.

Δωδέκατος Δημοφῶν Θησέως ἔτη λγ΄· ἐφ᾽ οὗ τὰ περὶ Ὀδυσσέα καὶ Ὀρέστην. καὶ Αἰνείας ἐβασίλευσε Λαβινίου.

Τρισκαιδέκατος Ὀξύντης Δημοφῶντος ἔτη ιβ΄· ἐφ᾽ οὗ τὸν ἐν Ἐφέσῳ ναὸν ἐνέπρησαν Ἀμάζονες.

Τέσσαρες καὶ δέκατος[59] Ἀφείδας Ὀξύντου - ἔτος α΄.

Πεντεκαιδέκατος Θυμοίτης Ἀφείδαντος ἀδελφὸς ἔτη η΄.

Ἑκκαιδέκατος Μέλανθος Ἀνδροπόμπου Πύλιος ἔτη λζ. ἐφ᾽ οὗ Ἡρακλειδῶν κάθοδος, καὶ κράτησις Πελοποννήσου.

Ἑπτακαιδέκατος Κόδρος Μελάνθου ἔτη κα΄. ἐφ᾽ οὗ Ἴωνες ἐξ Ἀχαίας ἐκπεσόντες εἰς Ἀθήνας κατέφυγον.

Ὀκτωκαιδέκατος Μέδων Κόδρου[61] - - ἔτη η΄.

Ἐννεακαιδέκατος Ἄκαστος Μέδοντος ἔτη λϛ΄. ἐφ᾽ οὗ Ἰώνων ἀποικία· ἐν οἷς Ὅμηρον ἱστοροῦσι. κατὰ τοῦτον παρ᾽ Ἑβραίοις Σολομῶν τὸν ἐν Ἱεροσολύμοις ᾠκοδόμει ναὸν, ὡς κατὰ καιρὸν ἐπιδείξομεν.

Εἰκοστὸς Ἄρχιππος Ἀκάστου - - - ἔτη ιθ΄.

54 ὃς φ. Scal. 55 τοὺς om. Scal. 56 ἔνατος Scal. 57 Πετεῶ Scal. 58 τοῦ Ὀρνέως om. Scal. 59 Τεσσαρεσκαιδέκατος Scal. 60 ἔτη Scal. 61 Κόδρου Μέδων Scal.

Εἰκοστὸς πρῶτος Θέρσιππος Ἀρχίππου - ἔτη μα΄.

Εἰκοστὸς δεύτερος Φόρβας Θερσίππου - ἔτη.

Εἰκοστὸς τρίτος Μεγακλῆς Φόρβαντος - ἔτη.

Εἰκοστὸς τέταρτος Διόγνητος Μεγακλέους ἔτη ἐφ' οὗ Λυκοῦργος ἐγνωρίζετο.

Εἰκοστὸς πέμπτος Φερεκλῆς Διογνήτου - ἔτη ιθ΄.

Εἰκοστὸς ἕκτος Ἀρίφρων Φερεκλέους ἔτη κ΄. ἐφ' οὗ ἡ Ἀσσυρίων ἀρχὴ κατελύθη, καὶ Σαρδανάπαλος ἀνῃρέθη.

Εἰκοστὸς ἕβδομος Θεσπιεὺς Ἀρίφρονος ἔτη κζ΄. ἐφ' οὗ Λυκοῦργος ἐνομοθέτει Λακεδαιμονίοις.

Εἰκοστὸς ὄγδοος Ἀγαμήστωρ Θεσπιέως - ἔτη ιζ΄.

Εἰκοστὸς ἔννατος Αἰσχύλος Ἀγαμήστορος ἔτη κγ΄. ἐφ' οὗ ἔτει δωδεκάτῳ πρώτη Ὀλυμπιὰς ἤχθη, ἣν ἐνίκα Κόρυβος Ἠλεῖος στάδιον. Ὁμοῦ συνάγεται ἐπὶ τὴν πρώτην Ὀλυμπιάδα, ἀπὸ μὲν Κέκροπος τοῦ διφυοῦς ἔτη ͵ψη΄· ἀπὸ δὲ Ὠγύγου ἔτη ͵αλό.

Ἐντεῦθεν δὲ κατὰ τὰς Ὀλυμπιάδας ἀριθμητέον τοὺς χρόνους. τριακοστὸς δὲ μετὰ Αἰσχύλον Ἀθηναίων βασιλεύει Ἀλκμαίων ἔτη ιβ΄.

Μετὰ τοῦτον ἔδοξεν[62] εἶναι τὰς ἀρχὰς δεκαετεῖς.

ἄροψ[63] ἔτη ι΄.
ἰσιμίδης[64] ἔτη ι΄.
λείδικος[65] ἔτη ι΄.
ἱππομένης[66] ἔτη ι΄.
εωκράτης[67] ἔτη ι΄.
ἀλέξανδρος[68] ἔτη ι΄.
ἀουξίας[69] ἔτη ι΄. ἐπὶ τούτου[70] ἔδοξεν αἱρεῖσθαι ἄρχοντα κατ' ἐνιαυτόν. Καὶ πρῶτος ἡγήσατο ἐνιαύσιος ἄρχων Κρέων ἐπὶ τῆς εἰκοστῆς τετάρτης Ὀλυμπιάδος· μεθ' ὃν καὶ ἕκαστον ἔτος εἷς τις παρ' αὐτοῖς ἦρχεν· ὧν οὐκ ἀναγκαῖον νῦν τὰ ὀνόματα παρατίθεσθαι.

Καὶ οἱ τῆς Ἀθηναίων ἀρχαιότητος ἐν ἐπιτομῇ μνημονευόμενοι

62 ἔδωξεν Cod. 63 Primas omisit litteras rubricator. Χάροψ Scal. 64 Αἰσιμήδης Scal. 65 Κλείδικος Scal. 66 Ἱππομένης Scal. 67 Λεωκράτης Scal. 68 Ἀλέξανδρος Scal. 69 Ἐρυξίας Scal. 70 ἐπὶ τούτου om. Scal.

χρόνοι, καὶ ὡς ἐν ταῖς παλαιαῖς καὶ μᾶλλον ἀκριβεστέραις ἱστορίαις ἀναφέρονται. Τοὺς μὲν οὖν ἔμπροσθεν χρόνους τῆς Ἰλίου ἁλώσεως, καὶ τὰς ἐν τούτοις πραχθείσας ἱστορίας οὐκ ἀκριβοῦς ἀναγραφῆς τυχούσας[71], ὡς οἷόν τε ἦν, ἐκ τῶν διαφόρως μνημονευομένων ἐπετεμόμεθα. τὰ δ' ἀπὸ τῆς Ἰλίου ἁλώσεως μέχρι τῆς πρώτης Ὀλυμπιάδος, οὐδ' αὐτὰ μὲν ἠξιώθη μνήμης ἐντελοῦς· ὅμως δ' ὁ Πορφύριος ἐν τῷ πρώτῳ τῆς φιλοσόφου ἱστορίας, ὧδέ πως ἐπιτέμνεται πρὸς λέξιν.

Πορφυρίου[72] ἀπὸ τοῦ πρώτου λόγου τῆς φιλοσόφου ἱστορίας.

Ἀπὸ τῆς ἁλώσεως Ἰλίου ἐπὶ τὴν τῶν Ἡρακλειδῶν εἰς τὴν Πελοπόννησον[73] κάθοδον ἔτη π' φησὶν εἶναι ὁ Ἀπολλόδωρος.

Ἀπὸ δὲ τῆς καθόδου εἰς τὴν Ἰωνίας κτίσιν, ἔτη ς'. ἐντεῦθεν ἐπὶ[74] Λυκοῦργον ἔτη θ' καὶ ἑκατὸν καὶ πεντήκοντα.

Ἀπὸ δὲ Λυκούργου εἰς τὴν πρώτην Ὀλυμπιάδα ὀκτὼ καὶ ἑκατόν· τὰ δὲ πάντα ἀπὸ τῆς ἁλώσεως Ἰλίου ἐπὶ τὴν πρώτην Ὀλυμπιάδα ἔτη ἑπτὰ καὶ υ'.

Ἐνταῦθά μοι δοκεῖ καλῶς ἔχειν καὶ τὰς παρ' Ἕλλησιν ἀναγραφομένας Ὀλυμπιάδας ἐπισυνάψαι τῷ λόγῳ. ἀπὸ γὰρ τούτων τὰ τῆς Ἑλλήνων χρονογραφίας, ἀκριβοῦς ἀναγραφῆς τετυχέναι[75] δοκεῖ, τὰ[76] περὶ αὐτῶν, ὡς ἑκάστῳ φίλον ἦν, ἀπεφήναντο.

## Περὶ τῆς θέσεως τοῦ ἀγῶνος τῶν Ὀλυμπίων.

Ὀλίγα δὲ ἀναγκαῖον περὶ τοῦ ἀγῶνος εἰπεῖν, ὡς οἱ μὲν πορρωτάτω τοῖς χρόνοις τὴν θέσιν αὐτοῦ προάγοντες, πρὸ Ἡρακλέους αὐτὸν τεθῆναι φασὶν, ὑπὸ ἑνὸς τῶν Ἰδέων[77] Δακτύλων· εἶτα ὑπὸ Ἀεθλίου ἐπὶ διαπείρᾳ τῶν αὐτοῦ παίδων· ἀφ' οὗ καὶ οἱ ἀγωνισταὶ ἀθληταὶ ἐκλήθησαν· μεθ' ὧν[78] τὸν υἱὸν αὐτοῦ Ἐπειόν· εἶτα Ἐνδυμίωνα, ἑξῆς δὲ Ἀλεξῖνον· εἶτα Οἰνόμαον προστῆναι τῆς θυσίας. μεθ' ὧν[79] Πέλοπα εἰς τιμὴν τῷ πατρίῳ Διῒ ἀγαγεῖν. εἶθ'[80] Ἡρακλέα τὸν Ἀλκμήνης καὶ Διός· ἀφ' οὗ γενεὰς δέκα τυγχάνειν. οἱ δὲ τὰς τελείας τρεῖς φασὶν, ἐπὶ Ἴφιτον τὸν ἀνανεωσάμενον τὸν

[71] ἀκριβεῖς ἀναγραφὰς ἐχούσας Scal. [72] Cætera post Πορφ. om. Scal. [73] εἰς τ. Πελ. om. Scal. [74] ἐπὶ om. Scal. [75] τετευχέναι Scal. [76] ἅττα Scal. [77] Ἰδαίων Scal. [78] ὃν Scal. [79] ὃν Scal. [80] εἶτα Scal.

*ἀγῶνα. τοῦτον γὰρ Ἠλεῖον ὄντα, καὶ προνοούμενον Ἑλλάδος*[81], *βουλόμενόν τε παῦσαι πολέμων τὰς πόλεις, ἐκ Πελοποννήσου πάσης στεῖλαι θεωρούς, τοὺς πευσομένους περὶ ἀπαλλαγῆς τῶν κατεχόντων πολέμων· τὸν δὲ θεὸν τοῖς μὲν Πελοποννησίοις χρῆσαι ταῦτα.*

*ὦ Πελοποννήσου ναέται, περὶ*[82] *βωμὸν ἰόντες,*
*θύετε, καὶ πύθεσθε τά κεν μαντεῖς ἐνέπουσιν*[83]·

*Τοῖς δὲ Ἠλείοις τάδε προαγορεῦσαι·*

*Ἠλεῖοι πρόπολοι, πατέρων νόμον ἰθύνοντες,*
*τὴν αὐτῶν*[84] *ῥύεσθε πάτραν, πολέμου δ' ἐπέχεσθε*[85],
*κοινοδίκου φιλίας ἡγούμενοι Ἑλλήνεσσι,*
*ἐνὶξ νόδοις*[86] *ἔλθῃ φιλόφρων ἐνιαυτός.*

*Τούτου χάριν Ἴφιτος ἀπήγγειλε τὴν ἐκεχειρίαν, καὶ τὸν ἀγῶνα ἐπετέλεσε*[87] *σὺν Λυκούργῳ τῷ Λακεδαιμονίῳ, συγγενεῖ τυγχάνοντι· ἀμφότεροι γὰρ ἀφ' Ἡρακλέους. καὶ τότε μόνον ἦν σταδίου ὁ ἀγών· ὕστερον δὲ τὰ ἄλλα ἆθλα κατὰ μέρος προσετέθη. ἱστοροῦσι δὲ οἱ περὶ Ἀριστόδημον τὸν Ἠλεῖον, ὡς ἀπὸ εἰκοστῆς καὶ ἑβδόμης Ὀλυμπιάδος ἤρξαντο οἱ ἀθληταὶ ἀναγράφεσθαι, ὅσοι*[88] *δηλαδὴ νικηφόροι· πρὸ τοῦ γὰρ οὐδεὶς ἀνεγράφη, ἀμελησάντων τὸν* $\overset{\text{τεγ}}{\text{πεο}}$ *ζʹ.*[89]. *τῇ δὲ εἰκοστῇ ὀγδόῃ τὸ στάδιον νικῶν Κοίροβος*[90] *Ἠλεῖος, ἀνεγράφη πρῶτος· καὶ ἡ Ὀλυμπιὰς αὕτη πρώτη ἐτάχθη· ἀφ' ἧς Ἕλληνες ἀριθμοῦσι τοὺς χρόνους. τὰ δ' αὐτὰ*[91] *τῷ Ἀριστοδήμῳ καὶ Πολύβιος ἱστορεῖ. Καλλίμαχος δὲ δεκατρεῖς Ὀλυμπιάδας ἀπὸ Ἰφίτου παρῆσθαι*[92] *φησὶ μὴ ἀναγραφείσας· τῆς δὲ τεσσαρεσκαιδεκάτης Κόρυβον νικῆς*[93]. *πολλοὶ δὲ λέγουσιν ἀπὸ τῆς ὑπὸ Ἡρακλέους τοῦ Ἀλκμήνης τοῦ ἀγῶνος θέσεως ἐπὶ τὴν πρώτην ἀριθμουμένην Ὀλυμπιάδα γενέσθαι ἔτι*[94] *υνθʹ. Ἄγουσι δὲ Ἠλεῖοι πενταετηρικὸν τὸν ἀγῶνα, τεσσάρων ἐτῶν μεταξὺ συντελουμένων.*

*Ἑλλήνων Ὀλυμπιάδες ἀπὸ τῆς πρώτης ἐπὶ τὴν σμζʹ, καθ' ἣν Ῥωμαίων ἐβασίλευσεν Ἀντωνῖνος υἱὸς Σεβήρου.*

[81] *τῆς Ἑλ.* Scal. [82] *παρὰ* Scal. [83] *ἐνέπωσιν* Scal. [84] *αὑτῶν* Scal. [85] *ἀπέχεσθε* Scal. [86] *εὖτ' ἂν πενταετὴς* Scal. Leg. credo *ἡνίκ' ἐτῶν ξυνόδοις* Coll. Arm. Lat. vers. [87] *ἐπετελησε* Cod. [88] *οἱ* Scal. [89] Sic bis in codice. [90] *Κόροιβος* Scal. [91] *τὰ δὲ αὐτὰ* Scal. [92] *παρεῖσθαι* Scal. [93] *Κόροιβον νικᾶν* Scal. [94] *ἔτη* Scal.

Πρώτη Ὀλυμπιὰς ἣν ἐνίκα Κόροιβος Ἠλεῖος στάδιον.

Τοῦτο γὰρ ἠγωνίζοντο μόνον ἐπὶ Ὀλυμπιακῶν ἀγώνων.

Δευτέρα Ἀντίμαχος Ἠλεῖος στάδιον. Ῥῶμος (sic) καὶ Ῥωμύλος ἐγεννήθησαν:

Τρίτη Ἄνδροκλος Μεσήνιος - - - στάδιον.

Τετάρτη Πολυχάρης Μεσήνιος - - στάδιον.

Πέμπτη Αἰσχίνης Ἠλεῖος - - - στάδιον.

Ἕκτη Οἰβώλας Δυμαῖος - - - στάδιον.

Ἑβδόμη Διοκλῆς Μεσήνιος· Ῥωμύλος Ῥώμην ἔκτισε στάδιον.

Ὀγδόῃ Ἀντικλῆς Μεσήνιος[95] - - - στάδιον.

Ἐννάτη Ξενοκλῆς Μεσήνιος[96] - - - στάδιον.

Δεκάτη Δωτάδης Μεσήνιος[97] - - - στάδιον.

Ἑνδεκάτη Λεωχάρης Μεσήνιος[98] - - στάδιον.

Δωδεκάτη Ὀξύθεμις Κορωναῖος - - στάδιον.

Τρισκαιδεκάτη Διοκλῆς Κορίνθιος - - στάδιον.

Τεσσαρεσκαιδεκάτη Δέσμων Κορίνθιος - στάδιον.

Προσετέθη καὶ δίαυλον· καὶ ἐνίκα Ὑπήνιος Ἠλεῖος.

Πεντεκαιδεκάτη Ὄρσιππος Μεγαρεὺς - στάδιον.

Προσετέθη δόλιχος· καὶ γυμνοὶ ἔδραμον. ἐνίκα Ἄκανθος Λάκων.

Ἑκκαιδεκάτη Πυθαγόρας Λάκων - - στάδιον.

Ἑπτακαιδεκάτη Πῶλος Ἐπιδαύριος - - στάδιον.

Ὀκτωκαιδεκάτη Τέλλις Σικυώνιος - - στάδιον.

Προσετέθη πάλη, καὶ ἐνίκα Εὐρύβατος Λάκων· προσετέθη καὶ πένταθλος, καὶ ἐνίκα Λάμπις[99] Λάκων.

Ἐννεακαιδεκάτη Μένος Μεγαρεὺς - - στάδιον.

Εἰκοστὴ Ἀθηράδας Λάκων - - - στάδιον.

Εἰκοστὴ πρώτη Πεντακλῆς[1] Ἀθηναῖος - στάδιον.

Εἰκοστὴ δευτέρα ὁ αὐτὸς τὸ δεύτερον - στάδιον.

Εἰκοστὴ τρίτη Ἰκάριος Ὑπηρεσιεὺς[2] - στάδιον.

Προσετέθη πυγμὴ, καὶ Ὀνομαστὸς Σμυρναῖος ἐνίκα, ὁ καὶ τῇ πυγμῇ νόμους θέμενος.

[95] Μεσσήνιος Scal. [96] Μεσσήνιος Scal. [97] Μεσσήνιος Scal.
[98] Μεσσήνιος Scal. [99] Λαμπίας Scal. [1] Παντακλῆς Scal.
[2] Ὑπηρεσσιεὺς Scal.

Εἰκοστὴ τετάρτη Κλεοπτόλεμος Λάκων - στάδιον.

Εἰκοστὴ πέμπτη Θάλπις[3] Λάκων - - στάδιον.

Προσετέθη τέθριππον, καὶ ἐνίκα Πάτων Θηβαῖος.

Εἰκοστὴ ἕκτη Καλλισθένης Λάκων - - στάδιον.

Φιλόμβροτος δὲ Λάκων πένταθλος τρισὶν Ὀλυμπιάσιν ἐνίκησε. Κάρνια ἐτέθη πρῶτον ἐν Λακεδαίμονι κιθαρωδῶν ἀγών.

Εἰκοστὴ ἑβδόμη, Εὔρυβος Ἀθηναῖος - - στάδιον.

Εἰκοστὴ ὀγδόη Χάρμις Λάκων - - στάδιον.

Ὃς σύκοις ξηροῖς ἤσκει. ταύτην ἦξαν Πισσαῖοι[4] Ἠλείων ἀσχολουμένων, διὰ τὸν πρὸς Δυσμαίους[5] πόλεμον.

Εἰκοστὴ ἐννάτη Χίονις Λάκων, οὗ τὸ ἅλμα ποδῶν ἦν νβ΄. - - - - - - - στάδιον.

Τριακοστὴ ὁ αὐτὸς τὸ δεύτερον. Πισσαῖοι[6] Ἠλείων ἀποστάντες ταύτην τε ἦξαν, καὶ τὰς ἑξῆς κβ΄.

Τριακοστὴ πρώτη Χίονις Λάκων τὸ τρίτον - στάδιον.

Τριακοστὴ δευτέρα Κρατῖνος Μεγαρεὺς - στάδιον.

Ὅτε καὶ πυγμὴν[7] Κομαῖος τρίτος ἀδελφῶν ἀγωνισάμενος ἐνίκα.

Τριακοστὴ τρίτη Γύγις Λάκων - - στάδιον.

Προσετέθη Παγκράτιον, καὶ ἐνίκα Λύγδαμις Συρρακούσιος[8] ὑπερμεγέθης· ὃς στάδιον ἐξεμέτρισε[9] τοῖς αὐτοῦ[10] ποσὶ, μόνας ἑξακοσίας[11] παραθέσεις ποιησάμενος· προσετέθη καὶ καὶ ἐνίκα Κράξιλλας[12] Θεσσαλός.

Τριακοστὴ τετάρτη Στόμας Ἀθηναῖος - στάδιον.

Τριακοστὴ πέμπτη Σφαῖρος Λάκων - - στάδιον.

Καὶ δίαυλον Κύλων Ἀθηναῖος[13], ὁ ἐπιθέμενος τυραννίδι.

Τριακοστὴ ἕκτη Φρύνων[14] Ἀθηναῖος, ὃς Πιττακῷ μονομαχῷ[15] ἀνῃρέθη - - - - - - στάδιον.

Τριακοστὴ ἑβδόμη Εὐρυκλείδας Λάκων - στάδιον.

Προσετέθη στάδιον παιδων, καὶ ἐνίκα Πολυνίκης[16] Ἠλεῖος.

[3] Θάλπιος Scal. [4] Πισαῖοι Scal. [5] Δυμαίους Scal. [6] Πισαῖοι Scal. [7] πυγμὴν om. Scal. [8] Συρακούσιος Scal. [9] ἐξεμέτρησε Scal. [10] ἑαυτοῦ Scal. [11] ἑξακοσίους Scal. [12] Πραξίλλας Scal. [13] ὁ Ἀθ. Scal. [14] Φρυνὼν Scal. [15] μονομαχῶν Scal. [16] Πολυνείκης Scal.

Προσετέθη καὶ παίδων πάλη, καὶ ἐνίκα Ἱπποσθένης Λάκων, ὃς διαλιπὼν μίαν τὰς ἑξῆς πέντε Ὀλυμπιάδας ἀνδρῶν πάλην ἐνίκησε.

Τριακοστὴ ὀγδόη Ὀλυνθεὺς Λάκων - - στάδιον.

Προσετέθη παίδων πένταθλος, καὶ ἠγωνίσαντο[17] τότε μόνον· ἐνίκα Δευτελίδας[18] Λάκων.

Τριακοστὴ ἐννάτη Ῥιψόλαος Λάκων - - στάδιον.

Τεσσαρακοστὴ Ὀλυνθεὺς Λάκων τὸ δεύτερον.

Τεσσαρακοστὴ πρώτη Κλεώνδας Θηβαῖος - στάδιον.

Προσετέθη παίδων πυγμὴ, καὶ ἐνίκα Φιλῶτας Συκαρίτης[20].

Τεσσαρακοστὴ δευτέρα Λυκῶτας Λάκων - στάδιον.

Τεσσαρακοστὴ τρίτη Κλέων Ἐπιδαύριος - στάδιον.

Τεσσαρακοστὴ τετάρτη Γέλων Λάκων - στάδιον.

Τεσσαρακοστὴ πέμπτη Ἀντικράτης Ἐπιδαύριος στάδιον.

Τεσσαρακοστὴ ἕκτη Χρυσόμαξος[21] Λάκων - στάδιον.

Καὶ Πολυμήστωρ[22] Μιλήσιος παίδων στάδιον· ὃς αἰπωλῶν[23] λαγῶν κατέλαβε.

Τεσσαρακοστὴ ἑβδόμη Εὐρυκλῆς Λάκων - στάδιον.

Τεσσαρακοστὴ ὀγδόη Γλύκων Κροτωνιάτης - στάδιον.

Πυθαγόρας Σάμιος, ἐκκριθεὶς παίδων πυγμὴν, καὶ ὡς θῆλυς χλευαζόμενος, προβὰς εἰς τοὺς ἄνδρας, ἅπαντας ἑξῆς ἐνίκησε.

Τεσσαρακοστὴ ἐννάτη Λυκῖνος Κροτωνιάτης στάδιον.

Πεντηκοστὴ Ἐπιτελίδας Λάκων. οἱ ἑπτὰ σοφοὶ ὠνομάσθησαν - - - - - - - στάδιον.

Πεντηκοστὴ πρώτη Ἐρατοσθένης Κροτωνιάτης στάδιον.

Πεντηκοστὴ δευτέρα Ἄγις Ἠλεῖος - - στάδιον.

Πεντηκοστὴ τρίτη Ἄγνων Πεπαρίθιος - στάδιον.

Πεντηκοστὴ τετάρτη Ἱππόστρατος Κροτωνιάτης στάδιον.

Ἀριχίων Φυγαλεὺς τὸ τρίτον νικῶν παγκράτιον, ψιλωθεὶς ἀπέθανε, καὶ νεκρὸς ἐστέφθη· φθάσαντος ἀπείπασθαι τοῦ[24] ἀνταγωνιστοῦ, κλωμένου αὐτῷ τοῦ ποδὸς ὑπ' ἐκείνου.

Πεντηκοστὴ πέμπτη Ἱππόστρατος ὁ αὐτὸς τὸ δεύτερον, ὅτε Κῦρος ἐβασίλευε Περσῶν.

17 ἠγονίσαντο Scal. 18 δευτελ. sic. 19 Ῥίψολκος Scal.
20 Leg. Συβαρίτης. 21 Χρυσάμαξος Scal. 22 Πολυμνήστωρ Scal.
23 αἰπολῶν Scal. 24 τοῦ om. Scal.

Πεντηκοστὴ ἕκτη Φαῖδρος Φαρσάλιος - στάδιον.

Πεντηκοστὴ ἑβδόμη Λάδρομος Λάκων - στάδιον.

Πεντηκοστὴ ὀγδόη Διόγνητος Κροτωνιάτης - στάδιον.

Πεντηκοστὴ ἐννάτη, Ἀρχίλοχος Κερκυραῖος στάδιον.

Ἑξηκοστὴ Ἀπελλαῖος Ἠλεῖος - - στάδιον.

Ἑξηκοστὴ πρώτη Ἀγάθαρχος Κερκυραῖος - στάδιον.

Ἑξηκοστὴ δευτέρα Ἐρυξίας Χαλκιδεὺς - στάδιον.

Μίλων Κροτωνιάτης πάλην· ὃς νικᾷ Ὀλυμπίᾳ[25] ἑξάκις· Πύθια ἑξάκις· Ἴσθμια δεκάκις· Νέμεα ἐννάκις.

Ἑξηκοστὴ τρίτη Παρμενίδης Καμαριναῖος - στάδιον.

Ἑξηκοστὴ τετάρτη Εὔανδρος Θεσσαλεὺς - στάδιον.

Ἑξηκοστὴ πέμπτη Ἀκοχᾶς Ταραντῖνος - στάδιον.

Προσετέθη ὁπλίτης, καὶ ἐνίκα Δαμάριτος[26] Ἡρακλείδης.

Ἑξηκοστὴ ἕκτη Ἴσχυρος Ἱμεραῖος - - στάδιον.

Ἑξηκοστὴ ἑβδόμη Φανᾶς Πελληνεύς· πρῶτος ἐτρίσσευσεν, στάδιον, αὔλον, ὅπλον.

Ἑξηκοστὴ ὀγδόη Ἰσόμαχος[27] Κροτωνιάτης - στάδιον.

Ἑξηκοστὴ ἐννάτη ὁ αὐτὸς τὸ δεύτερον.

Ἑβδομηκοστὴ Νικαίστας Ὀπούντιος - στάδιον.

Ἑβδομηκοστὴ πρώτη Τισικράτης Κροτωνιάτης στάδιον.

Ἑβδομηκοστὴ δευτέρα ὁ αὐτὸς τὸ δεύτερον.

Ἑβδομηκοστὴ τρίτη Ἀστύαλος Κροτωνιάτης στάδιον.

Ἑβδομηκοστὴ τετάρτη ὁ αὐτὸς τὸ δεύτερον.

Ἑβδομηκοστὴ πέμπτη ὁ αὐτὸς τὸ τρίτον.

Ἑβδομηκοστὴ ἕκτη Σκαμάνδριος[28] Μιτυληναῖος στάδιον.

Ἑβδομηκοστὴ ἑβδόμη Δάνδης Ἀργεῖος - στάδιον.

Ἑβδομηκοστὴ ὀγδόη Παρμενίδης Ποσειδωνιάτης στάδιον.

Ἑβδομηκοστὴ ἐννάτη Ξενοφῶν Κορίνθιος - στάδιον.

Ὀγδοηκοστὴ Τορύμμας[29] Θεσσαλός - στάδιον.

Πάλην Ἀμησινᾶς Βαρκαῖος, ὃς βουκολῶν ταύρῳ ἐγυμνάζετο· ὃν καὶ εἰς Πίσσαν[30] ἀγαγὼν συνεγυμνάσθη.

Ὀγδοηκοστὴ πρώτη Πολύμναστος Κυρηναῖος στάδιον.

25 Ὀλύμπια Scal. 26 Δαμάρητος Scal. 27 Ἰσχόμαχος 2a. Scal. Ed. Ἰσόμαχος 1a. 28 Σκάμανδρος Scal. 29 Τυρύμμας Scal. 30 Πίσαν Scal.

Ὀγδοηκοστὴ δευτέρα Λύκος Λαρισσαῖος - στάδιον.

Ὀγδοηκοστὴ τρίτη Κρίσσων Ἱμεραῖος - στάδιον.

Ὀγδοηκοστὴ τετάρτη ὁ αὐτὸς τὸ δεύτερον.

Ὀγδοηκοστὴ πέμπτη ὁ αὐτὸς τὸ τρίτον.

Ὀγδοηκοστὴ ἕκτη Θεόπομπος Θεσσαλὸς - στάδιον.

Ὀγδοηκοστὴ ἑβδόμη Σώφρων Ἀμβρακιώτης· ἐν ᾧ ὁ Πελοποννησιακὸς πόλεμος συνεκροτήθη - - - στάδιον.

Ὀγδοηκοστὴ ὀγδόη Σύμμαχος Μερλήνιος[31] - στάδιον.

Ὀγδοηκοστὴ ἐννάτη ὁ αὐτὸς τὸ δεύτερον.

Ἐννενηκοστὴ Ὑπέρβιος Συρρακούσιος[32] - στάδιον.

Ἐννενηκοστὴ πρώτη Ἐξάγεντος Ἀκραγαντῖνος στάδιον.

Ἐννενηκοστὴ δευτέρα ὁ αὐτὸς τὸ δεύτερον.

Ἐννενηκοστὴ τρίτη Εὔκατος Κυρηναῖος - στάδιον.

Παγκράτιον Πολυδάμας Σκοτουσσαῖος, ὑπερμεγέθης, ὃς ἐν Πέρσαις παρὰ Ὤχῳ γενόμενος λέοντας ἀνήρη[33], καὶ ὡπλισμένους γυμνὸς κατηγωνίσατο· ἵστη δὲ καὶ ἅρματα ἐλαυνόμενα κατὰ κράτος.

Προσετέθη συνωρὶς, καὶ ἐνίκα Εὐαγόρας Ἠλεῖος.

Ἐννενηκοστὴ τετάρτη Κροκίνας Λαρισσαῖος στάδιον.

Ἐννενηκοστὴ πέμπτη Μένων Ἀθηναῖος - στάδιον.

Ἐννενηκοστὴ ἕκτη Εὐπόλεμος Ἠλεῖος - στάδιον.

Προσετέθη σαλπιγκτὴς, καὶ ἐνίκα Τίμαιος Ἠλεῖος· προσετέθη καὶ κήρυξ, καὶ ἐνίκα Κράτης Ἠλεῖος.

Ἐννενηκοστὴ ἑβδόμη Τεριναῖος Ἠλεῖος - στάδιον.

Ἐννενηκοστὴ ὀγδόη Σώσιππος ἀδελφὸς[34] - στάδιον.

Ἀριστόδημος Ἠλεῖος πάλην· οὗ μέσας[35] οὐδεὶς ἔλαβεν.

Ἐννενηκοστὴ ἐννάτη Δίκων Συρρακούσιος[36] - στάδιον.

Προσετέθη τέθριππον πωλικὸν καὶ ἐνίκα Εὐρύβατος Λάκων.

Ἑκατοστὴ Διονυσόδωρος Ταραντῖνος - - στάδιον.

Ἑκατοστὴ πρώτη Δάμων Θούριος - - στάδιον.

Ἑκατοστὴ δευτέρα ὁ αὐτὸς τὸ δεύτερον.

Ἑκατοστὴ τρίτη Πυθόστρατος Ἐφέσιος - στάδιον.

31 Μεσσήνιος Scal. 32 Συρακούσιος Scal. 33 ἀνῄρει Scal. 34 ὁ Δελφὸς Scal. 35 μέσα Scal. 36 Συρακούσιος Scal.

Ἑκατοστὴ τέταρτη Φωκίδης Ἀθηναῖος πάλῃ· αὕτη ὑπὸ Πισσαίων[37] ἐτέθη.

Ἑκατοστὴ πέμπτη Παῦρος Κυρηναῖος - στάδιον.

Ἑκατοστὴ ἕκτη ὁ αὐτὸς τὸ δεύτερον.

Ἑκατοστὴ ἑβδόμη Μικρίνας Ταραντῖνος - στάδιον.

Ἑκατοστὴ ὀγδόη Πολυκλῆς Κυρηναῖος - στάδιον.

Ἑκατοστὴ ἐννάτη Ἀριστόλοχος Ἀθηναῖος - στάδιον.

[38]* * * * * * * *

Ἑκατοστὴ ἑνδεκάτη Κλεόμαντις Κλειτόριος στάδιον.

Ἑκατοστὴ δυωδεκάτη Εὐρύλας Χαλκιδεὺς - στάδιον.

Ἀλέξανδρος Βαβυλῶνα κατέσχε Δαρεῖον καθελών.

Ἑκατοστὴ τρισκαιδεκάτη Κλίτων Μακεδὼν - στάδιον.

Ἀγεὺς[39] Ἀργεῖος δόλιχον. ὃς ἐν Ἄργει τὴν ἑαυτοῦ νίκην αὐθημερὸν ἀνήγγειλεν.

Ἑκατοστὴ ιδʹ Μικίννας Ῥόδιος - - στάδιον.

Ἀλέξανδρος ἐτελεύτησεν. Μεθ' ὃν εἰς πολλοὺς διαιρεθείσης τῆς ἀρχῆς, Αἰγύπτου καὶ Ἀλεξανδρείας ἐβασίλευσε Πτολεμαῖος.

Ἑκατοστὴ ιέ Δαμασίας Ἀμφιπολίτης - στάδιον.

Ἑκατοστὴ ιϛʹ Δημοσθένης Λάκων - - στάδιον.

Ἑκατοστὴ ιζʹ Παρμενίδης Μιτυληναῖος - στάδιον.

Ἑκατοστὴ ιηʹ Ἀνδρομένης Κορίνθιος - - στάδιον.

Ἀντήνωρ Ἀθηναῖος ἢ Μιλήσιος παγκράτιον, ἀκόντιον, περιοδονίκης. ἄλεπτος[40] ἐν ταῖς τρισὶν ἡλικίαις.

Ἑκατοστὴ ιθʹ Ἀνδρομένης Κορίνθιος - - στάδιον.

Ἑκατοστὴ κʹ Πυθαγόρας Μάγνης - - στάδιον.

Πάλην Κερᾶς Ἀργεῖος· ὃς χηλὰς ἀπέσπα βοός[41].

Ἑκατοστὴ καʹ Πυθαγόρας τὸ δεύτερον.

Ἑκατοστὴ κβʹ Ἀντίγονος Μακεδὼν στάδιον στάδιον.

Ἑκατοστὴ κγʹ ὁ αὐτὸς τὸ δεύτερον.

Ἑκατοστὴ κδʹ Φιλόμηλλος[42] Φαρσάλιος - στάδιον.

Ἑκατοστὴ κηʹ Λάδας Αἰγεὺς - - στάδιον.

[37] Πισαίων Scal. [38] Centesima decima deest. Ἀντικλῆς Ἀθηναῖος victor fuit teste Diod. Sic. Anicles Vers. Arm. Lat. [39] Ἀργεὺς Scal. [40] ἄληπτος Scal. [41] κοός Cod. [42] Φιλόμηλος Scal.

Ἑκατοστὴ κϛ´ Ἰδαῖος ἢ Νικάτωρ Κυρηναῖος στάδιον.

Ἑκατοστὴ κζ´ Περιγένης Ἀλεξανδρεὺς - στάδιον.

Ἑκατοστὴ κη´ Σέλευκος Μακεδὼν - - στάδιον.

Ἑκατοστὴ κθ´ Φιλῖνος Κῷος - - - στάδιον.

Ἑκατοστὴ λ´ ὁ αὐτὸς τὸ δεύτερον.

Ἑκατοστὴ λα´ Ἀμμώνιος Ἀλεξανδρεὺς - στάδιον.

Ἑκατοστὴ λβ´ Ξενοφάνης Αἰτωλὸς - - στάδιον.

Ἑκατοστὴ λγ´ Σιμύλος Νεαπολίτης - στάδιον.

Πάρθοι Μακεδόνων ἀπέστησαν, καὶ πρῶτος ἐβασίλευσεν Ἀρσάκης, ὅθεν Ἀρσακίδαι.

Ἑκατοστὴ λδ´ Ἀλκίδας Λάκων - - στάδιον.

Ἑκατοστὴ λε´ Ἐράτων Αἰτώλιος[43] - - στάδιον.

Πυγμὴν Κλεόξενος Ἀλεξανδρεύς· περιοδονίκης ἀτραμάτιστος[44].

Ἑκατοστὴ λϛ´ Πυθοκλῆς Σικυώνιος - - στάδιον.

Ἑκατοστὴ λζ´ Μενεσθεὺς Βαρκυλίτης - στάδιον.

Ἑκατοστὴ λη´ Δημήτριος Ἀλεξανδρεὺς - στάδιον.

Ἑκατοστὴ λθ´ Ἰολαΐδας[45] Ἀργεῖος - - στάδιον.

Ἑκατοστὴ μ´ Ζώπυρος Συρρακούσιος[46] - στάδιον.

Ἑκατοστὴ μα´ Δωρόθεος Ῥόδιος - - στάδιον.

Ἑκατοστὴ μβ´ Κράτης Ἀλεξανδρεὺς - στάδιον.

Κάρος Ἠλεῖος πάλην[47] καὶ παγκράτιον ἐνίκα μεθ' Ἡρακλέα[48], καὶ ἀναγράφεται δεύτερος ἀφ' Ἡρακλέους.

Ἑκατοστὴ μγ´ Ἡράκλειτος Σάμιος - - στάδιον.

Ἑκατοστὴ μδ´ Ἡρακλείδης Σαλαμίνιος - στάδιον.

Ἑκατοστὴ με´ Πυρρίας Αἰτώλιος[49] - - στάδιον.

Παίδων πυγμὴν Μόσχος Κολοφώνιος μόνος παιδὶ τὴν[50] περίοδον· προσετέθη παίδων παγκράτιον, καὶ ἐνίκα Φαίδιμος Ἀλεξανδρεύς.

Ἑκατοστὴ μϛ´ Μικίων Βοιώτιος - - στάδιον.

Ἑκατοστὴ μζ´ Ἀγέμαχος Κυζικηνὸς - στάδιον.

Πάλην· Κλειτόστρατος[51] Ῥόδιος· ὃς τραχηλίζων ἀπελάμβανεν.

Ἑκατοστὴ μη´ Ἀκεσίλαος Μεγαλοπολίτης - στάδιον.

43 Αἰτωλὸς Scal. 44 ἀτραυμάτιστος Scal. 45 Ἰωλαΐδας Scal.
46 Συρακούσιος Scal. 47 καὶ πάλην Scal. 48 μετὰ Ἡρ. Scal.
49 Αἰτωλὸς Scal. 50 παιδικὴν Scal. 51 Κλεόστρατος Scal.

Ἑκατοστὴ μθ′ Ἱππόστρατος Σελευκεὺς - στάδιον.
Ἑκατοστὴ ν′ Ὀνησίκριτος[51] Σαλαμίνιος - στάδιον.
Ἑκατοστὴ να′ Θυμηλὸς[52] Ἀσπένδιος - στάδιον.
Ἑκατοστὴ νβ′ Δημόκριτος Μεγαρεὺς - στάδιον.
Ἑκατοστὴ νγ′ Ἀρίστανδρος Λέσβιος - στάδιον.
Ἑκατοστὴ νδ′ Λεωνίδας Ῥόδιος τριαστὴς - στάδιον.
Ἑκατοστὴ νε′ ὁ αὐτὸς τὸ δεύτερον.

Ἑκατοστὴ νϛ′ ὁ αὐτὸς τὸ τρίτον. Ῥόδιος τρίτος ἀφ᾽ Ἡρακλέους πάλην ὁμοῦ καὶ παγκράτιον.

Ἑκατοστὴ νζ′ Λεωνίδας τὸ τέταρτον· μόνος δὲ καὶ πρῶτος στάδιον.

Ἐπὶ τέσσαρας Ὀλυμπιάδας στεφάνους Ὀλυμπιακοὺς ἔχει δώδεκα.

Ἑκατοστὴ νη′ Ὄρθων Συρακούσιος - - στάδιον.
Ἑκατοστὴ νθ′ Ἄλκιμος Κυζικηνὸς - - στάδιον.
Ἑκατοστὴ ξ′ Ἀνώδωκος[53] Κυζικηνὸς - - στάδιον.
Ἑκατοστὴ ξα′ Ἀντίπατρος Ἠπειρώτης - στάδιον.
Ἑκατοστὴ ξβ′ Δάμων Δελφὸς - - στάδιον.
Ἑκατοστὴ ξγ′ Τιμόθεος Τραλλιανὸς - στάδιον.
Ἑκατοστὴ ξδ′ Βοιωτὸς Σικυώνιος - - στάδιον.
Ἑκατοστὴ ξε′ Ἀκρυσίλαος[54] Κυρηναῖος - στάδιον.
Ἑκατοστὴ ξϛ′ Χρυσόγονος Νικαεὺς - - στάδιον.
Ἑκατοστὴ ξζ′ ὁ αὐτὸς τὸ δεύτερον.
Ἑκατοστὴ ξη′ Νικόμαχος Φιλαδελφεύς - στάδιον.
Ἑκατοστὴ ξθ′ Νικόδημος Λακεδαιμόνιος - στάδιον.
Ἑκατοστὴ ο′ Σιμμίας Σελευκεὺς ἀπὸ Τίγριος στάδιον.
Ἑκατοστὴ οα′ Παρμενίσκος Κερκυραῖος - στάδιον.
Ἑκατοστὴ οβ′ Εὔδαμος Κῶος - - στάδιον.

Πρωτοφάνης Μάγνης, πάλην καὶ παγκράτιον, τέταρτος ἀφ᾽ Ἡρακλέους.

Ἑκατοστὴ ογ′ Παρμενίσκος Κερκυραῖος τὸ δεύτερον στάδιον.

[55]* * * * * * * * *

[51] Ὀνησίκρατος Scal. [52] Θύμηλος Scal. [53] Ἀνώδοκος Scal. [54] Ἀκουσίλαος Scal. [55] Deest ἑκατ. οδ′. Demostratus Larissæus Arm. Lat.

Ἑκατοστὴ οέ στάδιον παίδων Ἐπαινετὸς Ἀργεῖος. Ἄνδρες γὰρ οὐκ ἠγωνίσαντο, Σύλλα πάντας εἰς Ῥώμην μεταπεμψαμένου.

Ἑκατοστὴ ος´ Δίων Κυπαρισσεὺς - - στάδιον.

Ἑκατοστὴ οζ´ Ἑκατόμνως Ἠλεῖος - - στάδιον.

Ἑκατοστὴ οή Διοκλῆς Ὑπεπηνὸς[56] - στάδιον.

Στρατόνικος Κοράγου Ἀλεξανδρεὺς, πάλην καὶ παγκράτιον πέμπτος ἀφ' Ἡρακλέους. ὃς Νεμέα τῇ αὐτῇ ἡμέρᾳ παίδων καὶ ἀγενείων τέσσαρας στεφάνους ἔσχεν.

Ἑκατοστὴ οθ´ Ἀνδρέας Λακεδαιμόνιος - στάδιον.

Ἑκατοστὴ π´ Ἀνδρόμαχος Ἀμιρακιώτης[57] - στάδιον.

Ἑκατοστὴ πα´ Λάμαχος Ταυρομενίτης - στάδιον.

Ἑκατοστὴ πβ´ Ἀνθεστίων[58] Ἀργεῖος - στάδιον.

Μαρίων, Μαρίωνος Ἀλεξανδρεὺς πάλην καὶ παγκράτιον ἕκτος ἀφ' Ἡρακλέους.

Ἑκατοστὴ πγ´ Θεόδωρος Μεσήνιος[59] - στάδιον.

Ἰούλιος Καῖσαρ ἐμονάρχησε Ῥωμαίων.

Ἑκατοστὴ πδ´ ὁ αὐτὸς τὸ δεύτερον. Αὔγουστος Ῥωμαίων ἐβασίλευε.

Ἑκατοστὴ πέ Ἀρίστων Θούριος - - στάδιον.

Ἑκατοστὴ πς´ Σκάμανδρος Ἀλεξανδρεύς - στάδιον.

Ἑκατοστὴ πζ´ Ἀρίστων[60] Θουρίος - - στάδιον.

Ἑκατοστὴ πή Σώπατρος Ἀργεῖος - - στάδιον.

Ἑκατοστὴ πθ´ Ἀσκληπιάδης Σιδώνιος - στάδιον.

Ἑκατοστὴ ϙ Αὐφίδιος Πατρεὺς - - στάδιον.

Ἑκατοστὴ ϙα Διόδοτος Τυανεὺς - - στάδιον.

Ἑκατοστὴ ϙβ´ Διοφάνης Αἰολεὺς - - στάδιον.

Ἑκατοστὴ ϙγ´ Ἀρτεμίδωρος Θυατείριος - στάδιον.

Ἑκατοστὴ ϙδ´ Δημάρατος Ἐφέσιος - - στάδιον.

Ἑκατοστὴ έ ὁ αὐτὸς τὸ δεύτερον.

Ἑκατοστὴ ϙς´ Παμμένης Μάγνης ἀπὸ Μαιάνδρου στάδιον.

Ἑκατοστὴ ϙζ´ Ἀσιατικὸς Ἁλικαρνασεὺς - στάδιον.

Ἑκατοστὴ ή Διοφάνης Προυσαεὺς - - στάδιον.

56 Ὑπαιπηνὸς Scal. 57 Ἀμβρακιώτης Scal. 58 Ἀντεσίων Scal. 59 Μεσσήνιος Scal. 60 Ap. Scal. ἑκατ. πζ´ Σώπατρος Ἀργεῖος, et seq. Olymp. victor deficit.

Ἀριστέας Στρατονικεὺς ἢ Μένανδρος[62] πάλην καὶ παγκράτιον· ἕβδομος ἀφ' Ἡρακλέους. Τιβέριος Ῥωμαίων ἐβασίλευεν.

Ἑκατοστὴ ϛθ' Αἰσχίνης Μιλήσιος ὁ Γλαυκίας στάδιον.

Ἀπεδόθη τῶν ἵππων ὁ δρόμος πάλαι κωλυθεὶς, καὶ ἐνίκα Τιβερίου Καίσαρος τέθριππον.

Διακοσιοστὴ Πολέμων Πετραῖος - - στάδιον.

Διακοσιοστὴ πρώτη Δαμασίας Κυδωνειάτης στάδιον.

Διακοσιοστὴ δευτέρα Ἑρμογένης Περγαμινὸς[63] στάδιον.

Διακοσιοστὴ τρίτη Ἀπολλώνιος Ἐπιδαύριος στάδιον.

Διακοσιοστὴ τετάρτη Σαραπίων Ἀλεξανδρεὺς στάδιον.

Στράτος Ἀργεάτης πάλην καὶ παγκράτιον ὄγδοος ἀφ' Ἡρακλέους, ἔτι παραβραβευόντων Ἠλείων τοὺς δυναμένους.

Διακοσιοστὴ ε' Εὐβουλίδας Λαοδικεὺς - στάδιον.

Κλαύδιος Ῥωμαίων ἐβασίλευε.

Διακοσιοστὴ ἕκτη Οὐαλέριος Μιτυληναῖος στάδιον.

Διακοσιοστὴ ζ' Ἀθηνόδωρος Αἰγιεὺς - στάδιον.

Διακοσιοστὴ η' ὁ αὐτὸς τὸ δεύτερον. Νέρων Ῥωμαίων ἐβασίλευε.

Διακοσιοστὴ θ' Καλλικλῆς Σιδώνιος - στάδιον.

Διακοσιοστὴ ι' Ἀθηνόδωρος Αἰγιεὺς τὸ δεύτερον στάδιον.

Διακοσιοστὴ ια' οὐκ ἤχθη, Νέρωνος ἀναβαλλομένου εἰς τὴν ἑαυτοῦ ἐπιδημίαν· μετὰ δὲ ἔτη δύο ἀχθείσης αὐτῆς, στάδιον μὲν Τρύφων Φιλαδελφεὺς ἐνίκα, Νέρων δὲ κηρύκων ἀγῶνα ἐστεφανοῦ[64] τραγῳδοὺς, κιθαρῳδοὺς, ἅρμα πωλικὸν, καὶ τὸ τέλειον καὶ[65] δεκάπωλον.

Διακοσιοστὴ ιβ' Πολίτης Κεραμίτης - στάδιον.

Οὐεσπασιανὸς Ῥωμαίων ἐβασίλευε.

Διακοσιοστὴ ιγ' Ῥόδων Κυμαῖος, ἢ Θεόδοτος στάδιον.

Διακοσιοστὴ ιδ' Στράτων Ἀλεξανδρεύς. Τίτος Ῥωμαίων ἐβασίλευε - - - - - - στάδιον.

Διακοσιοστὴ ιε' Ἑρμογένης Ξάνθιος - στάδιον.

Δομιτιανὸς Ῥωμαίων ἐβασίλευε.

62 Μαιάνδριος Scal. 63 Περγαμηνὸς Scal. 64 ἐστεφανοῦτο Scal.
65 καὶ τὸ δεκ. Scal.

Διακοσιοστὴ ις´ Ἀπολλοφάνης, ὁ καὶ Πάπης, Ταρσεὺς - - - - - - στάδιον.

Διακοσιοστὴ ιζ´ Ἑρμογένης Ξάνθιος τὸ δεύτερον στάδιον.

Διακοσιοστὴ ιη´ Ἀπολλώνιος Ἀλεξανδρεὺς, ἢ Ἡλιόδωρος - - - - - - στάδιον.

Διακοσιοστὴ ιθ´ Στέφανος Καππάδοξ - στάδιον.

Νερούας Ῥωμαίων ἐβασίλευε· μεθ' ὃν * * *

Διακοσιοστὴ κ´ Ἀχιλλεὺς Ἀλεξανδρεύς.

Διακοσιοστὴ κα´ Θεωνᾶς, ὁ καὶ Σμάραγδος, Ἀλέξανδρος[66] - - - - - - στάδιον.

Διακοσιοστὴ κβ´ Κάλλιστος Σιδήτης - στάδιον.

Διακοσιοστὴ κγ´ Εὔστολος Σιδήτης - στάδιον.

Διακοσιοστὴ κδ´ Ἰσαρίων Ἀλεξανδρεὺς - στάδιον.

Ἀδριανὸς Ῥωμαίων ἐβασίλευε.

Διακοσιοστὴ κε´ Ἀριστέας Μιλήσιος - στάδιον.

Διασκοσιοστὴ κς´ Διονύσιος ὁ Σαμευμὺς[67] Ἀλεξανδρεὺς - - - - - - στάδιον.

Διακοσιοστὴ κζ´ ὁ αὐτὸς τὸ δεύτερον.

Διακοσιοστὴ κη´ Λουκᾶς Ἀλεξανδρεὺς - στάδιον.

Διακοσιοστὴ κθ´ Ἐπίδαυρος, ὁ καὶ Ἀμμώνιος, Ἀλεξανδρεὺς - - - - - - στάδιον.

Ἀντωνῖνος Εὐσεβὴς Ῥωμαίων ἐβασίλευε.

Διακοσιοστὴ λ´ Δίδυμος Ἀλεξανδρεύς - στάδιον.

Διακοσιοστὴ λα´ Κραναὸς Σικυώνιος - στάδιον.

Διακοσιοστὴ λβ´ Ἀττικὸς Σαρδιανὸς - στάδιον.

Σωκράτης πάλην καὶ παγκράτιον ἀπογραψάμενος ὑπὸ Ἠλείων, παρεβραβεύθη ὑπὸ Διονυσίου Σελευκέως.

Διακοσιοστὴ λγ´ Δημήτριος Χῖος - - στάδιον.

Διακοσιοστὴ λδ´ Ἡρᾶς Χῖος - - στάδιον.

Διακοσιοστὴ λε´ Μνασίβουλος Ἐρατεὺς - στάδιον.

Ἀντωνῖνος Μάρκος Πίος καὶ Λούκιος Βῖρος[68] Ῥωμαίων ἐβασίλευον.

Διακοσιοστή λς´ Ἀειθαλὴς Ἀλεξανδρεὺς - στάδιον.

66 Ἀλεξανδρεὺς Scal. 67 Ὀσαμευμὺς Scal. Samæus Arm. Lat.
68 Βῆρος Scal.

Διακοσιοστὴ λζʹ Εὐδαίμων Ἀλεξανδρεὺς - στάδιον.

Διακοσιοστὴ ληʹ Ἀγαθόπους Ἀπινήτης[69] - στάδιον.

Διακοσιοστὴ λθʹ ὁ αὐτὸς τὸ δεύτερον· Κόμονδρος[70] Ῥωμαίων ἐβασίλευεν - - - - - στάδιον.

Διακοσιοστὴ μʹ Ἀνουβὶ, ὁ καὶ Φειδοὺς, Ἀλεξανδρεὺς - - - - - - στάδιον.

Διακοσιοστὴ μαʹ Ἥρων Ἀλεξανδρεὺς - στάδιον.

Διακοσιοστὴ μβʹ Μάγνος[71] Κυρηναῖος - στάδιον.

Διακοσιοστὴ μγʹ Ἰσίδωρος Ἀλεξανδρεὺς - στάδιον.

Περτίναξ, εἶτα Σεβῆρος, Ῥωμαίων ἐβασίλευσαν.

Διακοσιοστὴ μδʹ ὁ αὐτὸς τὸ δεύτερον.

Διακοσιοστὴ μεʹ Ἀλέξανδρος Ἀλεξανδρεὺς στάδιον.

Διακοσιοστὴ μςʹ Ἐπινίκιος Κυζικηνὸς, ὁ καὶ Κυνὰς - - - - - - στάδιον.

Διακοσιοστὴ μζʹ Σατόρνιλος Κρὴς Γορτίνιος[72] στάδιον.

Ἀντωνῖνος ὁ καὶ Καράκαλος[73] Ῥωμαίων ἐβασίλευε.

Διακοσιοστὴ μηʹ Ἰλιόδωρος[74], ὁ καὶ Προσιδάμας[75], Ἀλεξανδρεὺς - - - - - στάδιον.

Διακοσιοστὴ μθʹ ὁ αὐτὸς τὸ δεύτερον - τέλος.

Μέχρι τούτου τὴν τῶν Ὀλυμπιάδων ἀναγραφὴν εὕρομεν. καὶ ὁ μὲν Εὐσέβιος ταῦτα. Ἄλλοι δὲ χρονογράφοι καὶ Δέξιππος ὁ Ἀθηναῖος, καὶ τῶν ἐφεξῆς Ὀλυμπιάδων, τῶν τε ἐν αὐταῖς νικησάντων, μέμνηνται. Ἀμέλει τὴν χρονικὴν ἱστορίαν ὁ Δέξιππος μέχρι τῆς διακοστῆς ἑξηκοστῆς δευτέρας Ὀλυμπιάδος συγγράψας, Διονύσιον Ἀλεξανδρέα φησὶν ἐπὶ ταύτης νικῆσαι.

Ἐπεὶ δὲ[76] πολλοὺς τῶν ἐνδόξων ἀθλητῶν ἡ παρατέθεισα τῶν Ὀλυμπιάδων ἀναγραφὴ ἀμνημονεύτους καταλέλοιπεν, ὀλίγους ἐκ πολλῶν ἐροῦμεν. καὶ Τίτορμος μὲν ὁ κατὰ τοὺς καιροὺς ἀκμασίας[77] Μίλωνος τοῦ ἀθλητοῦ, ἀθλητὴς μὲν οὐκ ἐγένετο, βουκόλος δὲ ἦν[78]. πειραθεὶς δὲ τούτου τῆς Ῥώμης[79] ὁ Μίλων, καὶ τὴν

69 Ἀπινίτης Scal. 70 Κόμοδος Scal. 71 Μάγνης Scal. 72 Γορτύνιος Scal. 73 Καράκαλλος Scal. 74 Ἡλιόδωρος Scal. 75 Τρωσιδάμας Scal. 76 Ἐπειδὴ Scal. 77 ἀκμάσας Scal. 78 ἦν om. Scal. 79 τὴν ῥωμὴν Scal.

ὑπερβολὴν θαυμάσας[80] ἀνέκραγε· τοῦτο δὲ[81] τὸ καὶ εἰς π * *[82] ἐλθόν· "ἄλλος οὗτος Ἡρακλῆς."

Γλαῦκος δὲ ὁ Καρύστιος πύκτης ἦν, τὴν ἀλκὴν ἀνυπόστατος· καὶ Κλεομήδης ὁ Ἀστυπαλαιεύς, εἰς ὃν ὁ χρησμὸς

ὕστατος ἡρώων Κλεομήδης Ἀστυπαλαιεύς.

ἀήττητος δὲ πύκτης καὶ Ἄρειος ὁ Αἰγύπτιος. Στράτων δὲ ὁ Κορράγου Ὀλυμπιᾶσιν ἐνίκησε πάλην ὁμοῦ καὶ παγκράτιον, καὶ τῇ ἑξῆς Ὀλυμπιάδι· ὁμοίως καὶ ἐν Νεμέᾳ δὲ, καὶ Πυθοῖ καὶ Ἰσθμοῖ.

ὔθυμος[83] ὁ Λοκρὸς πύκτης ἦν διὰ ῥώμην σώματος εἰς ὑπερβολὴν θαυμαζόμενος.

ὐρύδαμας[84] ὁ Κυρηναῖος πύκτης ἐξεκρούσθη μὲν ὑπὸ τοῦ ἀνταγωνιστοῦ τοὺς ὀδόντας, ἐνίκησε δὲ καταπιὼν αὐτοὺς, ἵνα μὴ αἴσθηται ὁ ἀντίπαλος.

ιώξιππος[85] ὁ Ἀθηναῖος ἀθλητὴς ἐπίδειξιν ποιούμενος Ἀλεξάνδρῳ τῷ βασιλεῖ τῆς ἰδίας ἀλκῆς, τὴν ἐσθῆτα ἀποδοὺς[86], καὶ προχειρισάμενος ῥόπαλον, Μακεδόνα τινὰ τῶν ἐπιφανῶν μετὰ πανοπλίας αὐτῷ ἐπιόντα, καὶ τὸ δόρυ ἐπικραδαίνοντα, γυμνὸς κατέβαλεν ἐκ προκλήσεως.

Κλειτόμαχος ὁ Θηβαῖος πύκτης θαυμάζεται μὲν ἐπὶ ῥώμῃ ὡς ἄμαχος[87], θαυμάζεται δὲ καὶ ἐπὶ σωφροσύνης ἀσκήσει. οὐδὲ γὰρ μέχρι ψιλῆς ἀκοῆς ἀφροδισίων ἠνείχετο· ἐρωτικῶν δὲ λόγων ἐν συμποσίοις ἐμβαλλομένων, ἢ ἀλλαχοῦ, εὐθὺς ἀνιστάμενος ἀπηλλάττετο. ἐποίει δὲ τοῦτο, ἵνα μὴ ἡττηθέντι αὐτῷ ποτὲ τῶν ἀφροδισίων, ἡ τῆς ῥώμης ἀκμὴ ταχὺ μαρανθείη.

αύλλου[88] τοῦ ἐκ Κρότωνος ἀθλητοῦ, πεντήκοντα καὶ δύο ποδῶν εἶναι τὸ πήδημα λέγεται. οὗτος μόνος ἀπὸ τῆς Ἰταλίας ἐπὶ τῶν Μηδικῶν, ἰδιοστόλῳ τριήρει τοῖς Ἕλλησιν ἐβοήθησεν.

Μελαγκόμας ὁ πύκτης κάλλιστός τε καὶ μέγιστος ἦν· οὗ καὶ τὸν Τίτον φασὶν ἐρασθῆναι τὸν αὐτοκράτορα. οὗτος οὐδένα πώποτε

[80] καὶ τὴν ὑπ. θαυμ. om. Scal. [81] δὴ Scal. [82] παροιμίαν Scal. [83] Εὔθυμος Scal. [84] Εὐρυδάμας Scal. [85] Διώξιππος Scal. [86] ἀποδὺς Scal. [87] ἐπὶ ῥωμ. ὡς ἄμ. om. Scal. [88] Φαΰλλου Scal.

τρώσας, οὐδὲ πατάξας, μονῇ τῇ στάσει, καὶ[89] τῇ τῶν χειρῶν ἀνατάσει πάντας ἀπέκτεινε τοὺς ἀντιπαλούς.

ὐρήλιος[90] Ἕλιξ ὁ ἀθλητὴς ἐπὶ Σεβήρου τοῦ αὐτοκράτορος γεγονὼς, τοσοῦτον[91] τοὺς ἀνταγωνιστὰς ὑπερῆρεν, ὥστε πάλην ὁμοῦ καὶ παγκράτιον ἀγωνίσασθαι ἔν γε τῇ Ῥώμῃ, οἱ γὰρ Ἠλεῖοι φθονήσαντες αὐτῷ, οὐδὲ ἐκάλεσαν εἰς τὸ στάδιον παλαιστὴν οὐδένα, καὶ νικῆσαι[92] ἑκάτερον· ὃ μηδεὶς ἄλλος ἐπεποιήκει· ἐν τοῖς κατὰ τὴν Ῥώμην δηλονότι ἀγῶσιν. καὶ ἵνα τοὺς πολλοὺς παρῶ, ἀρκεσθήσομαι μόνῳ Νικοφῶντι Μιλησίῳ[93], εἰς ὃν τὸ ἐπίγραμμα.

αύρου[94] βαθὺν τένοντα, καὶ σιδαρέους
Ἄτλαντος ὤμους, καὶ κόμαν Ἡρακλέους,
σεμνὰν θ' ὑπήνην[95], καὶ λέοντος ὄμματα
Μιλησίου γίγαντος, οὗ δ' Ὀλύμπιος
Ζεὺς ἀτρόμητος εἶδεν, ἄνδρας ἡνίκα
πυγμὰν ἐνίκα Νικοφῶν Ὀλυμπίᾳ.

Ἐγένετο δὲ καὶ ἐπὶ τῶν Θεοδοσίου τοῦ μεγάλου καιρῶν, ὁ ἐκ Φιλαδελφείας τῆς Λυδῶν παλαιστὴς, Φιλούμενος ὄνομα. οὗτος χαλκοῦν ἀνδριάντα λέγεται πατάξας, εἰς βάθος ἐνιζῆσαι βιάσασθαι τὸν χαλκὸν, ἐφ' ᾧ ἀνδριάντα[96] τετυχηκέναι. καὶ ἐπ' αὐτῷ ἐπὶ γράμματος[97], οὗ τὸ ἀκροτελεύτιον.

Χαλκὸς ἐμῆς χειρὸς πολλὸν ἀφαυρότερος.

Καὶ Μεταγένης ὁ Θάσιος μυρίας πυκτεύων[98] ἀνείλετο νίκας· ἦν γὰρ τὴν Ῥώμην ἀπρόσμαχος.

[89] τῇ στ. καὶ om. Scal. [90] Αὐρήλιος Scal. [91] τοσοῦτο Scal. [92] ἐνίκησεν Scal. [93] τῷ Μιλ. Scal. [94] Ταύρου Scal. [95] ὑπήναν Scal. [96] ἀνδριάντος Scal. [97] ἐπιγράμματος Scal. [98] πυκτεῦσιν Scal.

### Ἀσσυρίων οἱ παλαιότατοι βασιλεῖς.

Βῆλος Ἀσίας πάσης πλὴν Ἰνδῶν ἐβασίλευσεν ἔτη ξβʹ.
Νῖνος μετὰ τὸν Βῆλον - - - ἔτη νβʹ.
Σεμίραμις γυνὴ - - - - ἔτη μβʹ.

Ἵνα δὲ τοὺς μεταξὺ πάντας Ἀσσυρίων βασιλεῖς παραδράμωμεν, ἀπὸ Βήλου τοῦ πρώτου Ἀσσυρίων βασιλέως· καὶ μέχρι Θόννου, ὃν Σαρδανάπαλον Ἕλληνες ὀνομάζουσι, συνάγονται ἔτη ͵ατʹ.

Τεσσαρακοστῷ δὲ τρίτῳ ἔτει Νίννου βασιλέως Ἀσσυρίων, Ἀβραὰμ γεννᾶται. Σαρδανάπαλος δὲ ἔτη ἐβασίλευσεν κʹ. ἐπεὶ δὲ ἡ θεῖα γραφὴ τέσσαρας τὰς μεγίστας βασιλείας ἐν τῇ οἰκουμένῃ γενέσθαι διασαφεῖ· ὧν πρώτην συστῆναι τὴν Ἀσσυρίων τε καὶ Βαβυλῶνος ἀρχὴν, ἔοικε δὲ αὕτη, ἐν τοῖς κάτω καὶ μετὰ Σαρδανάπαλον χρόνοις, ἐπὶ μέγιστον δόξης καὶ δυνάμεως προελθεῖν, δηλωτέον ἂν εἴη καὶ τοὺς κατ' αὐτὴν βεβασιλευκότας.

### Βαβυλῶνος καὶ Ἀσσυρίων οἱ βασιλεῖς.

ουᾶ [93], ἀπὸ ᾳσκεʹ ἔτους Ἀσσυρίων.
αγλὰθ [94] Φαλασσὰρ Ἀσσύριος.
αλμανασσὰρ [95] Ἀσσύριος.
ενναχηρεὶμ [96] Ἀσσύριος.
αρωδὰχ [97] Βαλανδὰν Χαλδαῖος.

Ναβουχοδονόσορ Χαλδαῖος, ἐφ' οὗ μάλιστα εἰς ὑπερήφανον μέγεθος ἡ τῶν Ἀσσυρίων προελήλυθεν βασιλεία. ὡς ἀπὸ τῆς κατὰ τὸν θειότατον προφήτην Δανιὴλ ἱστορίας μαθεῖν ἔξεστι.

'νεὶλ [98] Μαρωδὰχ Χαλδαῖος.

αλτάσαρ [99] Χαλδαῖος. Μεθ' οὓς εἰς Μήδας τε καὶ Πέρσας μετῆλθεν ἡ τῆς Ἀσίας ἀρχὴ, ἐν Ὀλυμπιάδι πεντηκοστῇ πέμπτῃ.

[1] Ὁ . . . .

Ἰουδαίων ἀρχαιογονία καὶ τῶν κρατησάντων ἐν αὐτοῖς ἀπαρίθμησις, μέχρι τῆς Ῥωμαϊκῆς δυναστείας ἀπὸ τοῦ Ἀβραὰμ ἀρχομένη [2].

93 Φουᾶ Scal. 94 Ταγλὰθ Scal. 95 Σαλμαν. Scal. 96 Σενναχ. Scal. 97 Μαρωδ. Scal. 98 Εὐεὶλ Scal. 99 Βαλτάσαρ Scal.
1 Ibi deesse videntur quædam. 2 ἀρχ. ὡς ἐν ἐπιτόμῳ Scal.

Ἀβραὰμ μετὰ θάνατον τοῦ πατρὸς - ἔτη ρ'.
Ἰσαὰκ - - - - - - ἔτη ξ'.
Ἰακὼβ - - - - - - ἔτη ρκα'.
Ἰωσὴφ, ἐν οἷς ἄρχει Αἰγύπτου - - ἔτη π'.
Ἑβραῖοι δουλεύουσιν Αἰγυπτίοις - ἔτη ρμ'.
Μωυσῆς ἐν τῇ ἐρήμῳ - - - ἔτη μ'.
Ἰησοῦς ἔτη[1] - - - - ἔτη κζ'.

### Οἱ Κριταί.

Γοθονιὴλ[2] - - - - ἔτη μ'.
'ωδ[3] - - - - - - ἔτη π'.
Δεβόρρα καὶ Βαρὰκ - - - ἔτη μ'.
Γεδεὼν - - - - - - ἔτη μ'.
Ἀμιμέλεχ[4] - - - - ἔτη μ'.
ωλᾶ[5] - - - - - - ἔτη κβ'.
Ἰαεὶρ - - - - - - ἔτη κβ'.
Ἰεφθάε - - - - - - ἔτη ς'.
Ἐσεβὼν - - - - - - ἔτη ζ'.
αβδὼν[6], ἐπὶ τούτου τὸ Ἴλιον ἑάλω - ἔτη η'.
Σαμψὼν - - - - - - ἔτη κ'.
Ἐλεὶ ἱερεὺς - - - - ἔτη μ'.
Σαμουὴλ καὶ Σαοὺλ - - - ἔτη μ'.
Ὁμοῦ ἔτη μεθ' οὓς κατέστησαν βασιλεῖς ἀπὸ τῆς Ἰούδα φυλῆς, ὧν πρῶτος Δαὶδ ἔτη μ'.
Σολομὼν - - - - - - ἔτη μ'.

Τῆς βασιλείας διαιρεθείσης, δύο φυλῶν μόνων ἡ κατὰ Ἱεροσόλυμα γέγονε βασιλεία· ἡ δὲ τῶν ἑτέρων δέκα φυλῶν, κατὰ Σαμάρειαν ἀπεκρίθη, καὶ ἐλέγοντο, οἱ μὲν ἐν Ἱεροσολύμοις, τοῦ Ἰούδα βασιλεῖς, οἱ δὲ κατὰ Σαμάρειαν, τοῦ Ἰσραήλ. ῥητέον δὲ πρῶτον τοὺς ἀπὸ τοῦ Ἰούδα, ἅτε καὶ ἀπὸ τοῦ βασιλικοῦ γένους[7]. ὁ γὰρ[8] πρῶτος Σαμαρείας, εἴτ' οὖν τοῦ Ἰσραὴλ βασιλεὺς ὁ Ἱεροβοὰμ, δοῦλος ἦν καὶ ἀποστάτης τοῦ Ῥοβοὰμ τοῦ υἱοῦ Σολομῶντος.

Ῥοβοὰμ - - - - - ἔτη ιζ'.

[1] abest a Scal. [2] Ὀθονιὴλ Scal. [3] Ἀωδ Scal. [4] Ἀβιμέλεχ Scal.
[5] Θωλᾶ Scal. [6] Λαβδὼν Scal. [7] γεν. καταγομένους Scal. [8] γὰρ om. Sc.

| | |
|---|---|
| ’βιὰ [9] - - - - - | ἔτη γ΄. |
| ’σὰ [10] - - - - - | ἔτη μα΄. |
| ’ωσαφὰτ [11] - - - - | ἔτη κε΄. |
| ’ωρὰμ [12] - - - - | ἔτη η΄. |
| ’χοζιὰς [13] - - - - | ἔτη α΄. |
| οθολία [14] μητὴρ - - - - | ἔτη ζ΄. |
| ’ωίας [15] - - - - | ἔτη μ΄. |
| ’μεσσίας [16] - - - - | ἔτη κθ΄. |
| ’ζαρίας [17] ὁ καὶ ’Οζίας - - | ἔτη νβ΄. |
| ’ωάθαν [18] - - - - | ἔτη ις΄. |
| ”χαζ [19]. ἐφ’ οὗ ὁ ’Ισραὴλ αἰχμάλωτος ἀπήχθη | ἔτη ις΄. |
| . . . . [20] - - - - | ἔτη κθ΄. |
| . . . σσῆς [21] - - - | ἔτη νε΄. |
| ’μὼν [22] - - - - - | ἔτη ιβ΄. |
| ’ωσίας [23] - - - - | ἔτη λα΄. |
| ’ωάχαζ [24] - - - - | ἔτη * μῆνας γ΄. [25] |
| ’λιακεὶμ [26] καὶ ’Ιωακεὶμ - - | ἔτη ιβ΄. |
| ’εχωνίας [27] ὁ καὶ ’Ιωακεὶμ - - | ἔτη * μῆνας γ΄. |
| εδεκίας [28] - - - - | ἔτη ια΄. |

’Εφ’ οὗ ὁ ’Ιούδας αἰχμάλωτος ἀπήχθη, καὶ ὁ ναὸς πυρπολεῖται, ὑπὸ Ναβουχοδονόσορ τοῦ ’Ασσυρίων βασιλέως, ’Ολυμπιάδι τεσσαρακοστῇ ἑβδόμῃ· ὁμοῦ ἔτη υπέ, μῆνες ς΄ [29].

Διέμενόν [30] τε ἐξ ἐκείνου τοῦ χρόνου ’Ιουδαῖοι, καθὼς ἤδη προείρηται, ἀβασίλευτοι, ὅσα ἐπὶ ἰδίοις βασιλεῦσιν. ἄρχουσι μὲν καὶ ἡγεμόσι χρώμενοι τοῖς οἰκείοις ἀρχιερεῦσι· τοῖς δὲ ’Ασσυρίων βασιλεῦσι τὸ πρῶτον, εἶτα τοῖς Περσῶν ὑπακούοντες, καὶ μετ’ ἐκείνους τοῖς μετ’ ’Αλέξανδρον ἄρξασι Μακεδόσι, μέχρις ’Αντιόχου τοῦ [31] ’Επιφανοῦς· ὃς τῆς Συρίας βασιλεύσας, ἑλληνίζειν ἐξηνάγκαζε [32] τὸ ’Ιουδαῖον ἔθνος. κατὰ δὲ ’Αντίοχον τουτονί· Ματ-

9 ’Αβιὰ Scal. 10 ’Ασὰ Scal. 11 ’Ιωσάφατ Scal. 12 ’Ιωρὰμ Scal. 13 ’Οχοσίας Scal. 14 Γοθολία Scal. 15 ’Ιωὰς Scal. 16 ’Αμεσσίας Scal. 17 ’Αζαρίας Scal. 18 Ιωάθαν Scal. 19 ’Αχὰζ Scal. 20 deest nomen. Scal. ’Εζεκίας. 21 Μανασσῆς Scal. 22 ’Αμὼν Scal. 23 ’Ιωσίας Scal. 24 ’Ιωαχὰζ Scal. 25 deest numerus annorum. 26 ’Ελιακεὶμ Scal. 27 ’Ιεχονίας Scal. 28 Σεδεκίας Scal. 29 γ Scal. 30 διέμειναν Scal. 31 τοῦ om. Scal. 32 ἐξηνάγκασε Scal.

ταθίας Ἀσαμωναίου παῖς ζῆλον τὸν ὑπὲρ τῆς πατρίου θρησκείας ἀναλαβὼν, τὴν Ἰουδαίων ἀρχὴν ἀνεκτήσατο, καὶ ἡγήσατο τοῦ λαοῦ.

Μεθ' ὃν ὁ υἱὸς αὐτοῦ Ἰούδας ὁ ἐπικληθεὶς Μακκαβαῖος.

ωνάθης[33] μετὰ τοῦτον.

ίμων[34] τουτονὶ ὁ ἀδελφὸς αὐτοῦ διαδέχεται· εἰς τοῦτον ἡ βίβλος τῶν Μακαβαίων[35] περαιοῦται· περιέχουσα χρόνον ἐτῶν τεσσαράκοντα - - - - ἔτη μ'.[36]

Μέχρι τέλους ρξα' Ὀλυμπιάδες.

Μετὰ δὲ Σίμωνα Ἰουδαίων ἡγεῖται, καθω[37] Ἀφρικανὸς καὶ Ἰώσηππος ἱστορεῖ, Ἰωανάθης ὁ καὶ Ὑρκανὸς ἔτη κϛ'.

Μεθ' ὃν Ἀριστόβουλος - - ἔτος[38] α'.

Οὗτος πρῶτος βασιλικὸν[39] διάδυμα[40] περιέθετο· ὁμοῦ καὶ βασιλεὺς καὶ ἀρχιερεὺς γεγονὼς τοῦ Ἰουδαίων ἔθνους· μετὰ ἔτη υπδ' τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας.

Μεθ' ὃν Ἀλέξανδρος ὁ καὶ Ἰανναῖος - ἔτη κε'.[41]

Μεθ' ὃν Ἀλεξάνδρα ἡ καὶ Σααλίνα γυνὴ αὐτοῦ ἔτη θ'.

Μεθ' ἣν Ἀριστόβουλος καὶ Ὑρκανὸς, καθ' οὓς Πομπήϊος Ῥωμαίων στρατηγὸς, ὑποφόρους Ῥωμαίοις ἐποιήσατο Ἰουδαίους, Ὑρκανὸν μὲν ἐπιστήσας αὐτῶν βασιλέα, τὸν δ' Ἀριστόβουλον δέσμιον εἰς Ῥώμην ἀγαγών.

Μετὰ[42] τοῦτον τὸν Ὑρκανὸν Ῥωμαίων βασιλεύει ἐπὶ τῆς ρπδ' Ὀλυμπιάδος, Ἰούλιος Καῖσαρ - - ἔτη γ' μῆνας ζ'.

Μεθ' ὃν Αὔγουστος, ὁ καὶ Σεβαστὸς, καθ' ὃν Ἡρώδης - - - - - ἔτη νϛ' μῆνας ϛ'.

Πρῶτος[43] ἀλλόφυλος, οὐδὲν προσήκουσαν αὐτῷ τὴν Ἰουδαίων βασιλείαν, ὑπὸ Ῥωμαίων χειρίζεται, γένος ὢν Ἀσκαλωνίτης. ἐν τούτῳ καὶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ἐν Βηθλεὲμ γεννᾶται τῆς Ἰουδαίας.

Μετὰ δὲ Αὔγουστον Ῥωμαίων ἐβασίλευσε Τιβέριος. τούτου

[33] Ἰωνάθης Scal. [34] Σίμων Scal. [35] Μακκαβαίαν Scal. [36] ἔτη μ' om. Scal. [37] καθὼς Ἀφρ. Scal. [38] ἔτη Scal. [39] βασιλικὸν om. Scal. [40] διάδημα Scal. [41] κβ Scal. [42] Κατὰ Scal. [43] καθ' ὃν Ἡρώδης πρ. ἀλλοφ. Scal.

ἔτους[44] ἦν πέντε καὶ δέκατον[45], ἐν ᾧ ὁ[46] Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἀνεφάνη ἐν τῷ τῶν ἀνθρώπων βίῳ.

Ἦν δὲ τὰ ἀπὸ Ἀδὰμ ἕως δεύτερον ἔτος Δαρείου ἔτη ͵δχο΄.

Καὶ τὰ ἀπὸ τοῦ δευτέρου ἔτους Δαρείου ἐπὶ τὸ ιε΄ Τιβερίου· ἔτη φμη΄.

Ὁμοῦ τὰ πάντα ἀπὸ Ἀδὰμ ἐπὶ τὸ πέντε καὶ δέκατον ἔτος Τιβεριοῦ ἔτη ͵εσιη΄.[47]

Ἀπὸ δὲ πέντε καὶ δεκάτου[48] ἔτους Τιβερίου ἐπὶ τὴν εἰκοσαετηρίδα Κωνσταντίνου τοῦ Νικητοῦ Σεβαστοῦ ἔτη τ΄.

Συνάγεται ὁ πᾶς χρόνος εἰς ἔτη ͵εφιη΄, κατὰ τὴν τῶν ἑβδομήκοντα ἑρμηνείαν.

Ἐπιδραμοῦμαι δὲ καὶ τοὺς τοῦ Ἰσραὴλ βασιλεῖς.

## Ἰσραὴλ βασιλεῖς.

| | |
|---|---|
| Ἱεροβοὰμ | ἔτη κβ΄. |
| αδὰβ[49] | ἔτη β΄. |
| αασὰ[50] | ἔτη κδ΄. |
| ’λὰ[51] | ἔτη β΄. |
| αμβρὶ[52] | ἔτη * ἡμέρας ζ. |
| ’μβρὶ[53] | ἔτη ιβ΄. |
| ’χαὰβ[54] | ἔτη κβ΄. |
| ’χοζίας[55] | ἔτη β΄. |
| ’ωρὰμ[56] | ἔτη ιβ΄. |
| ’οῦ[57] | ἔτη κβ΄. |
| ’ωάχαζ[58] | ἔτη ιζ΄. |
| ’ωσίας[59] | ἔτη ιϛ΄. |
| ’εροβοὰμ[60] | ἔτη μα΄. |
| αχαρίας[61] | μῆνας ϛ. ἡμέρας ϛ΄. |
| ελλοὺμ[62] | μῆνα α΄ ἡμέρας ιε΄. |

44 ἔτος Scal. 45 πεντεκαιδέκατον Scal. 46 ὁ om. Scal. 47 * σιη Scal. 48 πεντεκαιδεκάτου Scal. 49 Ναδὰβ Scal. 50 Βαασὰ Scal. 51 Ἐλὰ Scal. 52 Ζαμβρὶ Scal. 53 Αμβρὶ Scal. 54 Αχαὰβ Scal. 55 Οχοζίας Scal. 56 Ιωρὰμ Scal. 57 Ηοῦ Scal. 58 Ιωαχὰζ Scal. 59 Ιωὰς Scal. 60 Ιεροβοὰμ Scal. 61 Ζαχαρίας Scal. 62 Σελλοὺμ Scal.

αναἰὶμ[63] (sic) - - - ἔτη ί.
ἐφ' οὗ ἐβασίλευσεν 'Ασυρίων Φουᾶ ἔτη.
ακείας[64] - - - - ἔτη.
ακεὲ[65] - - - - ἔτη κ'.
σκέ[66]. ἐφ' οὗ αἰχμάλωτος ληφθεὶς ὁ 'Ισραὴλ ἔτη θ'.

ὑπὸ Σαλμανασὰρ τοῦ 'Ασσυρίων βασιλέως κατέπαυσεν ὀγδόῃ 'Ολυμπιάδι.

῾Ομοῦ ἔτη σμθ'· μῆνες ζ'· ἡμέραι κή.

## ῾Ρωμαίων βασιλεία.

Καὶ ἡ κατὰ ταύτην χρονογραφία.

῾Ορὰ[67] καὶ τῆς ῾Ρωμαίων βασιλείας ἐπιδραμεῖν τοὺς χρόνους.

'Αρχὴν μὲν οὖν ἥδε εἴληφεν ἡ προσηγορία κατὰ τὴν ἑβδόμην 'Ολυμπιάδα, καθ' ἣν ῾Ρωμύλος τὴν ῾Ρωμαίων πόλιν κτίσας, αὐτῇ τε πόλει καὶ πᾶσι τοῖς ὑπὸ τὴν βασιλείαν τῆς αὐτοῦ μετέδωκεν ἐπωνυμίας. Πρὸ δέ γε τοῦ δηλωθέντος[68] χρόνου ἐπίκλην ἐτύγχανον, ποτὲ μὲν Λατῖνοι, ποτὲ δὲ 'Αβοριγῖνες· καὶ ἄλλο τε πάλιν ἄλλος. τὴν δὲ τούτων ἱστορίαν, πολλοὶ μὲν καὶ ἄλλοι, οὐ ῾Ρωμαῖοι τὸ γένος μόνον, ἀλλὰ καὶ ῞Ελληνες συνεγράψαντο· ὧν τέως παραθήσομαι Διονύσιον, ὃς ἐν ἀρχῇ τῆς ῾Ρωμαικῆς 'Αρχαιογονίας· ταῦτα φησὶ κατὰ λέξιν.

Τὴν ἡγεμόνα γῆς τε καὶ θαλάσσης ἁπάσης πόλιν, ἣν νῦν κατοικοῦσι ῾Ρωμαῖοι, παλαιότατοι τῶν μνημονευομένων λέγονται κατασχεῖν, βάρβαροι Σικελοὶ, ἔθνος αὐθιγενές· τὰ δὲ πρὸ τούτων οὐδ' ὡς κατήχετο πρὸς ἑτέρων, οὐθ' ὡς ἔρημον εἶναι, οὐδεὶς ἔχει βεβαίως εἰπεῖν. χρόνῳ δὲ ὕστερον 'Αβοριγῖνες αὐτὴν παραλαμβάνουσι πολέμῳ μακρῷ, τοὺς ἔχοντας ἀφελόμενοι. τούτοις ἑξῆς Πελασγοὺς φησὶ καί τινας ῾Ελλήνων κρατῆσαι τῆς γῆς, ὕστερον δὲ ἀπὸ βασιλέως Λατίνων, ὃς περὶ τὸν 'Ιλιακὸν πολεμὸν ἐδυνάστευσε, Λατίνους ἐπικληθῆναι.

Μετὰ δὲ ἑκκαίδεκα γενεὰς, ῾Ρωμύλον τήν τε πόλιν κτίσαι, καὶ ῾Ρώμην ἐξ ἑαυτοῦ προσειπεῖν· συστῆσαί τε καὶ εἰς μέγεθος ἐπάραν[69] τὴν πολιτείαν.

63 Μαιαὴμ Scal. 64 Φακεῖας Scal. 65 Φακεὲ Scal. 66 Ωσηὲ Scal. 67 ῾ρα Cod. 68 δηλωθ. Cod. 69 Leg. ἐπάραι.

Ἀριστοτέλης δὲ ὁ φιλόσοφος Ἀχαιῶν τινας ἱστορεῖ τῶν ἀπὸ Τροίας ἀνακομιζομένων περιπλέοντας Μαλεὸν, ἔπειτα χειμῶνι μεγάλῳ καταληφθέντας, τέως μὲν ὑπὸ τῶν πνευμάτων φερομένους, πολλαχῇ τοῦ πελάγους πλανᾶσθαι· τελευτῶντας δὲ ἐλθεῖν, εἰς τὸν τόπον τοῦτον τῆς Ὀπικῆς, ὃς καλεῖται Λάτιον, ἐπὶ τῷ Τυρρηνικῷ πελάγει κείμενος. Ἐμπρησθεισῶν δὲ αὐτοῖς ὑπὸ νύκτα τῶν νηῶν· οὐκ ἔχοντας ὅπως ἔτι ποιήσωνται τὴν ἄπαρσιν, ἀβουλήτῳ ἀνάγκῃ, τοὺς βίους, ἐν ᾧ κατήχθησαν χωρίῳ, ἱδρύσασθαι. Συμβῆναι δὲ αὐτοῖς τοῦτο διὰ γυναῖκας αἰχμαλώτους, ἃς ἔτυχον ἐξ Ἰλίου ἄγοντες· ταύτας δὲ καταπαῦσαι[70] τὰ πλοῖα, φοβουμένας τὴν οἴκαδε τῶν Ἀχαιῶν ἄπαρσιν· ὡς εἰς δουλείαν ἀφιξομένας. Καλλίας δὲ ὁ τὰς Ἀγαθοκλέους πράξεις ἀναγράψας, Ῥώμην λέγει Τρωάδα, τῶν ἀφικομένων ἅμα τοῖς ἄλλοις Τρωσὶν εἰς Ἰταλίαν, γήμασθαι Λατίνῳ τῷ βασιλεῖ τῶν Ἀβοριγίνων· καὶ γεννῆσαι παῖδας[71] Ῥῶμον καὶ Ῥωμύλον· οὓς οἰκήσαντας πόλιν παρὰ τῆς μητρὸς αὐτῇ θέσθαι τοὔνομα τῇ πόλει Ῥώμη.

εναγόρας[72] δὲ ὁ συγγραφεὺς Ὀδυσσέως καὶ Κίρκης υἱοὺς γενέσθαι γῆς[73], Ῥῶμον, Ἀντίαν, Ἀρχιέαν[74]· οἰκίσαντας δὲ τρεῖς πόλεις ἀφ' ἑαυτῶν θέσθαι τοῖς κτίσμασι τὰς ὀνομασίας. Διονύσιος δὲ ὁ Χαλκιδεὺς[75] οἰκιστὴν μὲν ἀποφαίνει τῆς πόλεως Ῥῶμον· τοῦτον δὲ λέγει κατὰ μέν τινας Ἀσκανίου, κατὰ δέ τινας Ἠμαθίωνος εἶναι παῖδα. Εἰσὶ δέ τινες οἳ τὴν Ῥώμην ἐκτίσθαι λέγουσιν ὑπὸ Ῥώμου τοῦ Ἰταλοῦ· μητρὸς δὲ Λεύκης τῆς Λατίνου θυγατρός. καὶ περὶ μὲν τῆς κτίσεως Ῥώμης ἱκανὰ ἡγοῦμαι τὰ εἰρημένα, πλὴν ὅτι οἱ τῶν Ῥωμαίων συγγραφεῖς ἅπαντες ὑπὸ Ῥωμύλου ταύτην ἐκτίσθαι φασίν· οἷς ἕπονται δήπου καὶ τῶν Ἑλλήνων οἱ ἀκριβέστεροι· εἰ καὶ πιθανώτερον πῶς ἐστὶ τὸ ὄνομα τῇ πόλει ἀπὸ Ῥώμου μᾶλλον ἢ ἀπὸ Ῥωμύλου τεθῆναι.

Περὶ δὲ τοῦ χρόνου τῆς οἰκίσεως, Τιμαῖος μὲν ὁ Σικελιώτης οὐκ οἶδ' ὅτῳ κανόνι χρησάμενος, ἅμα Καρχηδόνι κτιζομένῃ γενέσθαι φησὶν, ὀγδόῳ καὶ τριακοστῷ προτέρῳ ἔτει τῆς πρώτης Ὀλυμπιάδος. Κόϊντος δὲ Φάβιος[76] κατὰ τὸ πρῶτον ἔτος τῆς ὀγδόης Ὀλυμπιάδος κτισθῆναι τὴν Ῥώμην.

70 κατακαῦσαι Cod. 71 παῖδα Cod. 72 Leg. Ξεναγόρας. 73 Leg. τρεῖς. 74 Ἀρδέαν Dion. Hal. 75 Χαλκηδ. Cod. 76 Λεύκιος Κίγκιος Dion. Hal. Erintus Fabius Euseb. Arm. Lat. Vers.

Κάτων δὲ Πόρκιος Ἑλληνικὸν μὲν οὐχ ὁρίζει χρόνον· ἐπιμελὴς δὲ γενόμενος, εἰ καί τις ἄλλος, περὶ τὴν συναγωγὴν τῆς ἀρχαιολογουμένης ἱστορίας, φαίνει δύο καὶ τριάκοντα καὶ τετρακοσίοις παρελθοῦσαν τῶν Ἰλιακῶν. ὁ δὲ χρόνος οὗτος ἀπαμετρηθεὶς[76] ταῖς Ἐρατοσθένους χρονογραφίαις, κατὰ τὸ πρῶτον ἔτος ἐμπίπτει τῆς ἑβδόμης Ὀλυμπιάδος.

Ὅτι δὲ εἰσὶν οἱ κανόνες ὑγιεῖς, οἷς Ἐρατοσθένης κέχρηται· καὶ πῶς ἄν τις ἀπαρίθμοι[77] τοὺς Ῥωμαίων χρόνους πρὸς τοὺς Ἑλληνικοὺς, ἐν ἑτέρῳ δεδήλωταί μοι λόγῳ.

Ταῦτα μὲν ἐκ τῶν Διονυσίου. Διόδωρος δὲ ὁ Σικελιώτης περὶ τῆς Ῥωμαίων ἀρχαιογονίας οὕτω διέξεισι.

Ἔνιοι τῶν συγγραφέων πλανηθέντες ὑπέλαβον τοὺς περὶ τὸν Ῥωμύλον ἐκ τῆς Αἰνείου θυγατρὸς γεννηθέντας ἐκτικέναι τὴν Ῥώμην· τὸ δ' ἀληθὲς οὐχ οὕτως ἔχει· πολλῶν μὲν ἐν τῷ μεταξὺ χρόνῳ, τοῦ τ' Αἰνείου καὶ Ῥωμύλου γεγονότων βασιλέων· ἐκτισμένης δὲ τῆς Ῥώμης κατὰ τὸ δεύτερον ἔτος τῆς ἑβδόμης Ὀλυμπιάδος. αὕτη γὰρ ἡ κτίσις ὑστερεῖ τῶν Τρωικῶν ἔτεσι τρισὶ πλείοσι τῶν τετρακοσίων καὶ τριάκοντα. ἀρκεῖ καὶ ταῦτα τῶν Διοδώρου. φανερὸν γάρ ἐστιν ἀπὸ τούτων, ὅτι δύο ἢ τρία κατὰ Διόδωρον, καὶ τριάκοντα καὶ τετρακόσια, ἀπὸ τῆς Ἰλίου ἁλώσεως εἰς τὴν κτίσιν τῆς Ῥώμης καὶ εἰς Ῥωμύλον, ἔτη τυγχάνει, ἐν οἷς οἱ ἀπὸ τοῦ Αἰνείου καταγόμενοι βασιλεῖς, ἦρξαν τῇ βης· ὅθεν οἱ περὶ Ῥωμύλον καὶ Ῥῶμον[78] τὴν ἀποικίαν στειλάμενοι κτίζουσι τὴν Ῥώμην περὶ τὸν Τίβεριν ποταμόν. Ἀκόλουθον οὖν ἐστὶ καὶ τὴν κατὰ τοὺς πρώτους βασιλεῖς, τῇ * * * * *

Hic desinunt Excerpta Historica.

[76] ἀναμετρ. Dion. Hal. [77] ἀπευθύνοι Dion. Hal. [78] Ῥόμον Cod.

# ΕΚΛΟΓΗ ΙΣΤΟΡΙΩΝ

## ἈΠΌ ΤΕ ΤΗ͂Σ ΜΩΣΈΩΣ ΒΊΒΛΟΥ ΚΑῚ ΤΩ͂Ν ἜΞΩ ἹΣΤΟΡΙΟΓΡΑΦΗΣΑΝΤΩΝ ἘΠΙΣΉΜΩΝ ἈΝΔΡΩ͂Ν, ΚΑῚ ΤΗ͂Σ ΘΕΊΑΣ ΓΡΑΦΗ͂Σ ΤΟΜΩ͂Σ ΔΙΕΡΧΟΜΈΝΗ ΜΈΧΡΙ ΤΗ͂Σ ἈΝΑΣΤΑΣΊΟΥ ΒΑΣΙΛΕΊΑΣ.

PRÆCLARUM opus Chronographicum quod sub hoc titulo nunc primum edendum curavi, suppeditavit optimus Codex 854, qui mihi multa egregia Anecdota obtulit; hoc autem nullum præstantius. Hujus enim Auctor, quisquis fuit, ex Eusebii Chronicis primam Operis partem ita concinnavit, ut totas paginas ex magno illo Thesauro, nunc Græce deperdito, verbatim transcripserit. Id autem assecutus sum, comparatione facta cum Armeniaco-Latina versione Eusebii[1]; et eapropter dignissimum esse duxi hoc Chronicon quod typis mandaretur, etsi in sequenti parte Operis, interpolati forsan, intexta sunt multa fabulosa ex ficto Dictye Cretensi de bello Trojano, et Ulyssis erroribus, quæ communia sunt ei cum Joanne Antiocheno Malala, non prorsus autem eadem sunt; atque ideo ea, etsi minimi pretii, ab opere segregare nolui; ut quæ ad historiam literariam harum fabularum conducere viderentur. Dolendum autem hanc Chronologiam mutilam et truncatam esse, nec ultra Oziæ regis Judæ tempora deductam ad nos pervenisse, cum Auctor ipse, ut ex Operis titulo patet, usque ad Anastasium Imperatorem id continuare instituit. De ipsius nomine non liquet, sed de ætate ejus nos certiores facit, ubi ait, p. 168. " *ἀπὸ δὲ πήξεως βασιλέως τῶν* Βυζαντίων, *ὃς ἐπεφη-*
" *μίσθη τρισκαιδέκατος τῆς αὐτοῦ βασιλείας* (scil. Κωνσταντίνου τοῦ μεγάλου)
" *χρόνος, ἰνδικτιῶνος ϛ´ μέχρι τῆς ἡμετέρας ἡλικίας, ἥτις ἦν ἔτος ιθ´ τῆς βασι-*
" *λείας αὐτοκράτορος * γδ, ἐφ᾽ οὗ καὶ τελευτᾷ, ἔτη φξθ.*" Si ergo a decimo tertio anno Constantini, sive An. 320 post Nat. Chr. reputentur 569 anni, fient 889, qui nos ad tertium annum Leonis Sapientis deducunt. sed errorem esse in numeris videtur, nam certum est Imperatorem, cujus nomen excidit, esse Basilium Macedonem, qui novem decem annos regnavit, et mortuus est anno 886 post Nat. Chr. Fuit ergo Auctor coætaneus Photio Patriarcha et Theophane; Syncello

1 Ed. J. P. Aucher. Venetiis 1818. 2 voll. fol.

autem, quem nunquam nominat, aliquantum posterior. Eusebium vero a quo tam multa mutuatus est, sæpe laudat, sed nonnunquam, sicut et Syncellus, ab ejus Chronologia dissentit. Hæc autem est ejus operis notitia, quam præbet Catalogus Bibl. Paris. ubi inscr. Cod. 854—20°. "Anonymi historiarum Ecloge a mundi creatione "ad Amasiam usque Judæ regem deducta, eaque e Veteris Testa-"menti libris, præstantioribusque Scriptoribus collecta." Inc. fol. 71. v.

[2]ΤΑ μὲν τῆς Χαλδαίων καὶ Ἀσσυρίων, Μήδων τε καὶ Περσῶν, ἔτι δὲ Αἰγυπτίων καὶ Ῥωμαίων, χρόνων ὁμοῦ καὶ βασιλέων ἀναγραφῆς, ταῦτα ἂν εἴη. ἐπεὶ δὲ Χαλδαίων ἄνωθεν τὸ Ἑβραίων γένος ὑπάρξαι παραδέδοται, Χαλδαῖος γὰρ ἦν ὁ Ἀβραὰμ, οὗτε τούτου προπάτορες τὴν Χαλδαίων χώραν οἰκῆσαι μεμαρτύρονται, ὡς ἱστορεῖ Μωϋσῆς λέγων· "καὶ ἔλαβε Θάρρα τὸν Ἀβραὰμ "υἱὸν αὐτοῦ, καὶ τὸν Λὼτ, υἱὸν Ἀρὰν, υἱὸν τοῦ υἱοῦ αὐτοῦ, καὶ "ἐξήγαγεν αὐτοὺς ἐκ τῆς χώρας τῶν Χαλδαίων."

[3]Ἀρχὴν δὲ τῆς ἐκ τῶν χρόνων ἀναγραφῆς, τὴν πρώτην ἱστορεῖ τῆς καθ' ἡμᾶς περιόδου γένεσιν, ἐκ τῆς τῶν κρειττόνων ἀποπτώσεως, ἀρχαιολογοῦσα τὸ τῶν ἀνθρώπων γένος, οὗ προπάτορα τὸν Ἀδὰμ ἀνακηρύττει· οὗ τῆς ζωῆς τοὺς χρόνους τοὺς μετὰ τὴν ἀποβολὴν τοῦ παραδείσου, τὸ θεῖον πνεῦμα διὰ Μωϋσέως ἱστορεῖ. τῆς γέ τοι ἐν τῷ καλουμένῳ Θεοῦ παραδείσῳ διατριβῆς, οὐκ ἄν τις ἔχοι τεκμηριοῦσθαι τοὺς χρόνους. καί μοι δοκεῖ Μωϋσῆς ὁ θαυμάσιος ἐν θείῳ πνεύματι, ἑτέρου κρείττονος ἢ καθ' ἡμᾶς αἰῶνος, τρισμακαρίου τε βίου καὶ θεοφιλοῦς ζωῆς, αἰνίττεσθαι περίοδον, ἣν καὶ παράδεισον ὠνόμασε, τοῦ πρώτου γένους ἀνθρώπων τὸ διαγώγιον. εἰ γὰρ τὸν ἐν παραδείσῳ Ἀδὰμ, τὸν ἐν μακαρίᾳ ζωῇ ἄνθρωπον, οὐ τὸ καθόλου τοῦ γένους δηλουμένου, ἀλλ' οὐδὲ ἐκείνης ἡμῖν τῆς διαγωγῆς τοὺς λόγους ἡ παροῦσα περιλήψεται χρονογραφία, οὐδ' ἐξ οὗπερ οὐρανοῦ καὶ γῆς καὶ τοῦ παντὸς ἡ δημιουργία συνέστη, ὥς τινες ὑπειλήφασιν, ἐξ οὗ δὲ τὸ καθ' ἡμᾶς ὑπέστη γένος, καὶ ἡ καθ' ἡμᾶς αὕτη περίοδος, ἀπὸ τοῦ προπάτορος

[2] Cf. Euseb. vers. Arm. Lat. vol. i. p. 106. "Chaldæorum et As-"syriorum" &c. [3] Ibid. p. 110. "Itaque initium hujus Chrono-"logiæ" &c.

τῆς ἡμῶν αὐτῶν γενεᾶς ἀρχομένη. οὗτος δ' ἦν ὁ τοῦ παραδείσου ἐκπεσὼν καὶ τῆς μακαρίας ἐκείνης ζωῆς ἀπόβλητος, ἐπίκλην Ἀδάμ· οὗ τῆς ἐπικήρου καὶ θνητῆς ζωῆς τὸν τῶν ἐτῶν ἀριθμὸν, ἀπὸ τῆς τῶν Ἑβραίων ἀναλεξάμενος γραφῆς, ὁπόθεν καὶ ἡ Μωσέως βίβλος ἱστορεῖ, παραθήσομαι.

[4] Ἔστι δὲ ἡ παρ' ἡμῖν ἀνάγνωσις ἑβδομήκοντα ἀνδρῶν Ἑβραίων ἑρμηνεία ἐκ τῆς πατρίου φωνῆς, ἐπὶ τὴν Ἑλληνικὴν μεταβληθεῖσα, ἣν καὶ τὸν Φιλάδελφον Πτολεμαῖον ὁμοφώνως ἐκδεδωκότες, ταῖς κατὰ τὴν Ἀλεξάνδρειαν βιβλιοθήκαις ἀνατεθείκασι· φιλοτίμως τοῦ βασιλέως τοῦτο γενέσθαι ἐν σπουδῇ πεποιημένου. αὕτη προκριθεῖσα ὑπὸ τῶν ἁγίων πατέρων τῆς πρώτης συνόδου ἐπεκράτησε παράδοσις, ἣν καὶ ἡμεῖς ἀναγράψομεν.

Ἡ περὶ τῶν χρόνων ἀκρίβεια, πολλοῖς μὲν καὶ ἄλλοις ἐπεξεργάσθη, καὶ ὃ φίλον ἑκάστῳ τέλος τῇ ἐπιστήμῃ γεγένηται. ἐγὼ δὲ [5] περὶ πολλοῦ τὸν ἀληθῆ λόγον τιθέμενος, τὰ ἑκάστῳ πονηθέντα συναγηοχὼς, καὶ τὴν ἐκ τῶν ἱερῶν βίβλων φερομένην Ἑβραϊκὴν ἀρχαιολογίαν τὲ καὶ χρονογραφίαν μετὰ χεῖρας λαβὼν, τὸ ἀκριβὲς ἀνιχνεῦσαι διὰ σπουδῆς προὐθέμην, ὡς ἂν εἰδείημεν, ὁπόσοις πρόσθεν ἔτεσι τῆς σωτηρίου θεοφανείας Μωϋσῆς καὶ οἱ μετ' αὐτὸν γενόμενοι προφῆται, τὰ κατ' αὐτὸν σὺν θείῳ πνεύματι προπεφωνήκασι. καὶ ὡς ἂν ἔχοιμεν ἐκ προχείρου διαγινώσκειν, τίσιν Ἑλλήνων ἢ βαρβάρων οἱ παρ' ἑκάστῳ ἔθνει γενόμενοι σοφοὶ, ποιηταὶ, λογογράφοι, καὶ ὅσοι ἄλλοι γεγόνασι διαφανεῖς, τούτοις συνήκμασαν· κατὰ ποίους τε χρόνους ἀπεδείχθησαν πρῶται βασιλεῖαι, καὶ τῶν ἐπισημοτάτων πόλεων κτίσεις.

Ἀρκτέον οὖν ἀφ' οὗ καὶ τὴν ἀρχὴν ἡ τῶν χρόνων σύστασις εἴληφε, καθ' ἣν ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ γεγονὼς, ἐπὶ τοὺς ἑξῆς ἀπογόνους τὴν φύσιν προήγαγεν· οἱ τεκνῶσαι λέγουσιν υἱοὺς δέκα, οἱ δὲ τῶν μηνῶν ἰσαρίθμους τοῦ ἐνιαυτοῦ δυοκαίδεκα παῖδας γεννῆσαι φασὶν, ἡ δὲ θεία γραφὴ πέντε παραδίδωσι παῖδας, ἄρρενας μὲν τρεῖς, Κάϊν, Ἄβελ καὶ τὸν σοφώτατον Σὴθ, θυγατέρας δὲ δύο Ἀσουὰμ καὶ Ἀζουράν. καὶ τὸν μὲν Κάϊν πονηρὸν γενόμενον,

[4] Id. p. 114. "ea nempe quæ apud nos habetur lectio." [5] Id. p. 2. "Congruum duxi" &c.

φονεῦσαι τὸν ἀδελφὸν Ἄβελ, ἀφ' οὗ στένειν καὶ τρέμειν καταδικασθῆναι αὐτὸν ὑπὸ Θεοῦ φησιν ἡ θεία γραφή. γήμας δὲ τὴν ἀδελφὴν Ἀσουὰμ, καὶ τεκνοποιήσας, γενεὰν συνεστήσατο· ὁμοίως δὲ καὶ Σὴθ, Ἀζουρὰν τὴν ἀδελφὴν ἀγαγόμενος, γενεὰν τὴν ἑαυτοῦ συνεστήσατο. ὃν ἡμεῖς γενεαλογήσομεν μέχρι τῆς Ἀβραὰμ ἡλικίας ἢ καὶ Μωσέως, τοὺς αὐτῶν χρόνους ἐν συντόμῳ ἀναγράφοντες.

Ἀπὸ μὲν οὖν ἀρχῆς Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ ἔτη συνέρχεται ͵ασμβ. προϊοῦσι δὲ ἡμῖν ἐντεῦθεν ἐπὶ τὴν γέννησιν Ἀβραὰμ, ͵απ. κατιοῦσι δὲ ἐντεῦθεν ἐπὶ Μωσέα, καὶ τὴν ἐξ Αἰγύπτου τῶν Ἰουδαίων πορείαν, ἔτη φε. ἐντεῦθεν δὲ πάλιν ἐπὶ τὸ ιγ ἔτος Σάμψων, ἀφ' οὗ συνέβη τὸν παρ' Ἕλλησι Τρωϊκὸν πόλεμον γενέσθαι, υ;η. κἀντεῦθεν λοιπὸν ἐπὶ τὴν πρώτην θέσιν τῶν Ὀλυμπίων, ἐν ᾧ τὸ ν ἔτος τῆς βασιλείας Ὀζίου τοῦ τῶν Ἰουδαίων βασιλέως ἠνύετο, ἔτη υζ. ἀπὸ δὲ πρώτης Ὀλυμπιάδος ἐπὶ τὸν Ἀλεξάνδρου τοῦ Μακεδόνος θάνατον, ὃς κατὰ τὸ πρῶτον ἔτος τῆς ιδ Ὀλυμπιάδος, γεγόνασιν ἔτη υνγ. κἀκεῖθεν ἐπὶ Γάϊον Ἰούλιον Καίσαρα, τὸν πρῶτον Ῥωμαίοις μοναρχήσαντα κατὰ τὴν ρ καὶ σπγ Ὀλυμπιάδα, ἔτη σϞε. ἀπὸ δ' αὐτοῦ ἐπὶ τὴν δωδεκαετηρίδα, ἢ καὶ τρισκαιδεκαετηρίδα ἐπιλάμπουσαν Κωνσταντίνου τοῦ μεγάλου καὶ πρώτου Χριστιανῶν βασιλέως, ἔνθα Βυζάντιοι δεξάμενοι πρώτως ἐπευφήμησαν, ἔτη τξε. ἀπὸ δὲ πήξεως βασιλέως τῶν Βυζαντίων, ὃς ἐπεφημίσθη τρισκαιδέκατος τῆς αὐτοῦ βασιλείας χρόνος, ἰνδικτιῶνος ϛ, μέχρι τῆς ἡμετέρας ἡλικίας, ἥτις ἦν ἔτος ιθ τῆς βασιλείας αὐτοκράτορος νδ, ἐφ' οὗ καὶ τελευτᾷ, ἔτη φξθ· πλὴν τὰ κατὰ μέρος ἐπὶ λεπτῷ, ὡς ἔχω δόξης ἀναγράψαι, προελόμην, καὶ τέως ἐν κεφαλαίῳ τοὺς τῶν πατέρων χρόνους μέχρι τῆς Ἀβραὰμ ἡλικίας, ἐν συντόμῳ ἀναγραφόμενος διαδράμω, διὰ τὸ μὴ πράξεως μνήμην αὐτῶν εὑρεθῆναι. τὰ γὰρ αὐτῶν πρεσβύτερα πολλῷ.

[6] Ἀδὰμ γενόμενος ἐτῶν σλ γεννᾷ τὸν Σὴθ ἐξ Εὔας γυναικὸς αὐτοῦ. ἐπιζήσας δὲ ἔτη ψ μέχρι ρ καὶ λε ἔτους Μαλελεὴλ, καὶ

[6] His generationibus Eusebium presse sequitur noster, præterquam quod nomina uxorum ex traditione adjicit, quæ etiam habet Samuel Armenus, Eusebii plerumque sincerus sectator, teste J. Bapt. Aucher ad Euseb. Arm. p. 116. not.

ἰδὼν πέμπτην γενεὰν, ἀπέθανε, ζήσας τὰ πάντα ἔτη ϡλ. οὗτος τέθεικεν ὀνόματα πᾶσι τοῖς κτήνεσι καὶ πετεινοῖς καὶ θηρίοις.

Σὴθ γενόμενος ἐτῶν σε γεννᾷ τὸν Ἐνὼς, ἐξ Ἀζούρας ἀδελφῆς καὶ γυναικὸς αὐτοῦ. ἐπιζήσας δὲ ἔτη ψξ μέχρις εἰκοστοῦ Ἐνὼχ, καὶ θεωρήσας τὴν γενεὰν, ἐτελεύτησε, βιώσας τὰ πάντα ἔτη ϡιβ. οὗτος ὠνόμασε πᾶσι τοῖς ἄστροις εἰς τὸ γνωρίζεσθαι ὑπὸ τῶν ἀνθρώπων.

Ἐνὼς γενόμενος ἐτῶν ρϟ γεννᾷ τὸν Καϊνᾶν, ἐκ Νοὰμ ἀδελφῆς καὶ γυναικὸς αὐτοῦ. ἐπιζήσας δὲ ἔτη ψιε, μέχρι νγ ἔτους Μαθουσάλα, καὶ θεασάμενος ἕκτην γενεὰν, ἀπέθανε, ζήσας τὰπάντα ἔτη ϡε. οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ.

Καϊνὰν γενόμενος ἐτῶν ρο γεννᾷ τὸν Μαλελεὴλ ἐκ Μαολὲθ ἀδελφῆς καὶ γυναικὸς αὐτοῦ. ἐπιζήσας δὲ ἔτη ψμ μέχρις πα ἔτους Λάμεχ, καὶ ἰδὼν ἕκτην γενεὰν ἐτελεύτησε, βιώσας ἔτη ϡι.

Μαλελεὴλ γενόμενος ἐτῶν ρξε γεννᾷ τὸν Μαθουσάλα ἐκ Σίνερ γυναικὸς αὐτοῦ, θυγατρὸς Δανιὴλ πατραδέλφου αὐτοῦ. ἐπιζήσας δὲ ἔτη σ μέχρι μη ἔτους Νῶε, καὶ θεασάμενος ἕκτην γενεὰν ἀπέθανε, ζήσας τὰ πάντα ἔτη ω .

Ἰάρεδ γενόμενος ἐτῶν ρξβ γεννᾷ τὸν Ἐνὼχ ἐκ Βάμχα γυναικὸς αὐτοῦ, θυγατρὸς Ἀσουὴλ πατραδέλφου αὐτοῦ. ἐπιζήσας δὲ ἔτη ω μέχρι σ καὶ π ἔτους Νῶε, καὶ θεασάμενος πέμπτην γενεὰν ἐτελεύτησε, βιώσας τὰ πάντα ἔτη ϡξβ.

Ἐνὼχ γενόμενος ἐτῶν ρξε γεννᾷ τὸν Μαθουσάλα ἐκ Σίνερ γυναικὸς αὐτοῦ, θυγατρὸς δὲ Δανιὴλ πατραδέλφου αὐτοῦ. ἐπιζήσας δὲ ἔτη σ, μετετέθη ἐν ἔτει λγ τοῦ Λάμεχ, βιώσας τὰ πάντα ἔτη τξε. οὗτος πρῶτος ἔγραψε τὰ σημεῖα τοῦ οὐρανοῦ, καὶ τὰς τροπὰς, καὶ τοὺς μῆνας.

Μαθουσάλα γενομένος ἐτῶν ρξζ γεννᾷ τὸν Λάμεχ ἐξ Ἔδνας γυναικὸς αὐτοῦ, θυγατρὸς Ἐσριὴλ πατραδέλφου αὐτοῦ. ἐπιζήσας δὲ ἔτη φλε μέχρι χ ἔτους Νῶε, καὶ ἰδὼν τετάρτην γενεὰν, ἀπέθανε κατ' αὐτὸν τὸν κατακλυσμὸν, ζήσας τὰ πάντα ἔτη ϡνε.

Λάμεχ γενόμενος ἐτῶν ρπη γεννᾷ τὸν Νῶε ἐκ Βεθενὼ γυναικὸς αὐτοῦ, θυγατρὸς Βαραχιὴλ πατραδέλφου αὐτοῦ. ἐπιζήσας δὲ ἔτη

φ̄λ̄ε̄ μέχρι φ̄λ̄ε̄ ἔτους Νῶε, καὶ ἰδὼν τρίτην γενεὰν, ἐτελεύτησε πρὸ τοῦ ἰδίου πατρὸς, βιώσας τὰ πάντα ἔτη ψ̄κ̄γ̄.

Νῶε δὲ γενόμενος ἐτῶν φ̄, γεννᾷ τὸν Σὴμ, τὸν Χὰμ, τὸν Ἰάφεθ, καὶ ἐπέζησε μέχρι τοῦ κατακλυσμοῦ ἔτη ρ̄. ἔτους μὲν γὰρ χ̄ Νῶε, ἑκατοστοῦ δὲ τοῦ Σὴμ, ὁ κατακλυσμὸς ἐγένετο, συμφωνεῖ δὲ καὶ ἡ Χαλδαίων ἱστορία, ὧδε φάσκουσα. τὸν[7] δὲ τὸν κατακλυσμὸν ἀρθῆναι ὑπὲρ τὰ ὑψηλότερα τῶν ὀρέων, καὶ ἡμῖν τοῖς ταῦτα γράφουσιν ἀληθῆ ταῦτα ἐπιστώσατο Εὐσέβιος, αὐτοψεὶ τοὺς ἰχθύας ἰδὼν " καθ' ἡμᾶς εὑρημένους, ἄνω πρὸς αὐταῖς τοῦ " Λιβάνου ταῖς ὑψηλοτάταις ἀκρωρείαις. λίθους γὰρ ἐνθένδε " οἰκοδομὴν τινὲς ἀπὸ τῶν ὀρέων ἐκτεμόντες, θαλαττίων ἰχθύων " εὗρον διάφορα γένη, ἃ δὴ ἐπὶ τῶν κατὰ τὰ ὄρη κοιλωμάτων " συναποπαγῆναι τῇ ἰλύϊ, καὶ τεταριχευμένων δίκην, εἰς δεῦρο " διαβῆναι συνέβη, ὥστε ἡμῖν διὰ τῆς τοιαύτης ὄψεως τὴν τοῦ " παλαιοῦ λόγου πιστωθῆναι μαρτυρίαν. ἀλλὰ ταῦτα μὲν ὅπως " τις ἀκούειν ἐθέλοι οὕτως καὶ ἐχέτω."

Διαγίνεται δὲ χρόνος ἀπὸ τοῦ πρώτου ἀνθρώπου μέχρι τοῦ κατακλυσμοῦ ͵ασμβ, καθὼς ἡ τῶν ἑβδομήκοντα ἀνδρῶν μαρτυρεῖ χρονογραφία. μετὰ δὲ τὸν κατακλυσμὸν, ἐκ τριῶν ἀνδρῶν τὰ κατὰ τὴν σύμπασαν οἰκουμένην ἔθνη συνέστη. ἀπὸ μὲν γὰρ τοῦ Ἰάφεθ Εὐρώπην καὶ τὰ ἀπὸ Ἀμανοῦ ὄρους μέχρι τοῦ δυτικοῦ ὠκεανοῦ, οἰκισθῆναι φασίν· ἀπὸ δὲ τοῦ Χὰμ, Αἴγυπτον καὶ Λιβύην, καὶ τὰ ἐπέκεινα πάντα ἐπὶ δύοντα ἥλιον. λέγονται οὖν γεγονέναι υἱοὶ Σὴμ, Ἐλὰμ, καὶ Ἀσοὺρ, καὶ Ἀρφαξὰδ, καὶ Ἀρὰμ, καὶ Λοὺδ. ἀλλ' ἀπὸ μὲν τοῦ Ἐλὰμ γίνονται Ἐλυμαῖοι, Περσῶν γένος ἀρχαῖον, παρ' οἷς καὶ ἦν Ἐλυμαῒς πόλις. ἀπὸ δὲ τοῦ Ἀσοὺρ, Ἀσσύριοι. κτίζει δὲ Ἀσοὺρ πόλιν Νινευῒ, ἣν ὕστερον Νῖνος Ἀσσυρίων βασιλεὺς νεουργεῖ, Νῖνον ἀφ' ἑαυτοῦ μετονομάσας. ἀπὸ δὲ Ἀρφαξὰδ, Ἀρφαξαῖοι, οἱ καὶ Χαλδαῖοι. ἀπὸ δὲ τοῦ Ἀρὰμ, Ἀραμαῖοι, οἱ καὶ Ἀσσύριοι. ἀπὸ δὲ τοῦ Λοὺδ, Λυδοί. τοῦ δὲ Ἀρφαξὰδ υἱὸς γίνεται Καϊνὰν, τοῦ δὲ Σάλα, τοῦ δὲ Ἔβερ, ἀφ' οὗ τὸ Ἑβραίων ὄνομα καὶ γένος. ἀπὸ δὲ τοῦ Ἔβερ ἕκτος κατὰ διαδοχὴν γίνεται Ἀβραὰμ, ὁ τοῦ Ἰουδαίων ἔθνους προπάτωρ. δέδεικται γὰρ ἐν βραχεῖ ἡ Χαλδαῖος τε καὶ Ἀσσύριος Ἑβραίων γενεά.

7 Euseb. Arm. Lat. p. 129. Quod autem diluvium &c.

Ἔτους δὲ πρώτου παρεληλυθότος ἀπὸ τοῦ κατακλυσμοῦ, ἢ καὶ δευτέρου ἀρξαμένου, ὡς ἡ τῶν ἑβδομήκοντα χρονογραφία δηλοῖ, Σὴμ γενόμενος ἐτῶν ρα, ἤτοι μετ' ἐνιαύσιον χρόνον τοῦ κατακλυσμοῦ, γεννᾷ τὸν Ἀρφαξὰδ ἐκ Λεμβόρας γυναικὸς αὐτοῦ, θυγατρὸς Ἐσριὴλ, υἱοῦ Μαθουσάλα. ἐπιζήσας δὲ ἔτη φ μέχρι ͵ϛ ἔτους Ἔβερ, καὶ ἰδὼν πέμπτην γενεὰν ἀπέθανε, ζῆσας ἔτη χα.

Ἀρφαξὰδ γενόμενος ἐτῶν ρλε γεννᾷ τὸν Καϊνὰν ἐκ Ῥασουΐας, θυγατρὸς Ἰάφεθ πατραδέλφου αὐτοῦ. ἐπιζήσας δὲ ἔτη υγ, μέχρι ρλδ ἔτους Ἔβερ, καὶ θεασάμενος τετάρτην γενεὰν, ἀπέθανε, ζήσας τὰ πάντα ἔτη φλη.

Καϊνὰν γενόμενος ἐτῶν ρλθ, γεννᾷ τὸν Σάλα ἐκ Μελχὼ θυγατρὸς Μαδὲν, υἱοῦ Ἰάφεθ. ἐπιζήσας δὲ ἔτη υλ μέχρι λϛ ἔτους Ῥαγαῦ, καὶ ἰδὼν πέμπτην γενεὰν, ἐτελεύτησε, βιώσας τὰ πάντα ἔτη φξθ. τοῦτον φασὶ μαθεῖν τὴν τῆς ἀστρώας κινήσεως πεῖραν. τοῦτον ἡ Ἑβραίων παρατήρησις οὐκ ἐγενεαλόγησεν, ἀλλ' ὅτι Ἀρφαξὰδ τὸν Σάλα.

Σάλα γενόμενος ἐτῶν ρλ, γεννᾷ τὸν Ἔβερ ἐκ Μοχᾶς, θυγατρὸς Χεσδεὰ πατραδέλφου αὐτοῦ· ἐπιζήσας δὲ ἔτη υϛ, μέχρι ζ ἔτους Σεροὺχ, καὶ ἰδὼν πέμπτην γενεὰν, ἀπέθανε, ζήσας τὰ πάντα ἔτη φλγ.

Ἔβερ γενόμενος ἐτῶν ρλδ γεννᾷ τὸν Φαλὲκ ἐκ Ζούρας θυγατρὸς Νεβρὼδ, υἱοῦ Χοῦς, υἱοῦ Χάμ. ἐπιζήσας δὲ ἔτη υλ μέχρι λ καὶ η ἔτους Ναχὼρ, καὶ θεασάμενος τρίτην γενεὰν, ἐτελεύτησε, βιώσας τὰ πάντα ἔτη φξδ. ἀπὸ δὲ τῆς αὐτοῦ ἐπωνυμίας Ἑβραῖοι τὴν κλῆσιν ἔσχον. ἐν τούτοις δὲ τοῖς χρόνοις Νεβρὼδ ὁ τοῦ Ἔβερ πενθερὸς, υἱὸς Χοῦς τοῦ Αἰθίοπος, υἱοῦ Χὰμ, κτίζει Βαβυλῶνα πόλιν Ἀσσυρίων. οὗτος φησὶν, ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς. διὰ τοῦτο λέλεκται ὡς "Νεβρὼδ γίγας κυνηγὸς ἔναντι τοῦ Θεοῦ, "καὶ ἐγένετο ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ." οὗτος καὶ ἐπὶ τῆς πυργοποιΐας παρῆν παριστάμενος.

Φαλὲκ γενόμενος ἐτῶν ρλ γεννᾷ τὸν Ῥαγαῦ, ἐκ Λόμνας θυγατρὸς Σεναάρ. ἐπιζήσας δὲ ἔτη σθ μέχρι οζ ἔτους Σεροὺχ, καὶ ἰδὼν τρίτην γενεὰν ἐτελεύτησεν, ἔτη βιώσας τὰ πάντα τλθ. ἐν ταῖς ἡμέραις Φαλὲκ διεμερίσθη ἡ γῆ, διὸ καὶ σημαίνει τὸ Φαλὲκ ὄνομα τῇ Ἑβραίων φωνῇ μερισμόν. κατὰ τοῦτον ἡ πυργοποιΐα

συνέστη, καὶ ἀπὸ μιᾶς τῆς πάλαι διαλέκτου, πολυφωνία γέγονε, καὶ ἡ καθ' ἕκαστον ἔθνος τῶν γλωσσῶν διαφορὰ, ὥς φησιν ἡ θεία γραφή.

Ῥαγαῦ γενόμενος ἐτῶν ρλβ, γεννᾷ τὸν Σεροὺγ, ἐκ Σόρας γυναικὸς αὐτοῦ, θυγατρὸς Οὖρ, υἱοῦ Χεθάμ. ἐπιζήσας δὲ ἔτη σζ μέχρι τοῦ ἔτους Ναχὼρ, καὶ ἰδὼν τρίτην γενεὰν ἀπέθανε, ζήσας τὰ πάντα ἔτη τλθ.

Σεροὺγ γενόμενος ἐτῶν ρλ, γεννᾷ τὸν Ἀχὼρ, ἐκ Μέλχα, θυγατρὸς Χάβερ πατραδέλφου αὐτοῦ. ἐπιζήσας δὲ ἔτη σ, μέχρι να ἔτους Ἀβραὰμ, καὶ θεασάμενος τετάρτην γενεὰν ἐτελεύτησε, βιώσας τὰ πάντα ἔτη τλ. οὗτος ἐδίδαξε τὸν Ναχὼρ τὴν Χαλδαίων ἀστρονομίαν καὶ μαντείαν. τοὺς δὲ προκοιμηθέντας προγόνους θαυμασθέντας δὲ ἐν σοφίᾳ, εἶτα ἐπὶ σωφροσύνῃ, εἶτ' ἐπ' ἀνδρείᾳ, εἴτέ τι πρῶτον ἐξευρηκότες εἰς τὸν βίον, θυσίαις καὶ σπονδαῖς αὐτοὺς πρῶτον ἐτίμησαν, δίκαιον τοῦτο ἡγησάμενοι· τοὺς δὲ μετέπειτα παραλόγως τὴν τιμὴν αὐξήσαντας, εἰς σεβάσματα θεῖα ἐγκαταλέξαι, ἀφ' οὗ ἡ ἀφορμὴ τῆς εἰδωλολατρείας.

Ναχὼρ γενόμενος ἐτῶν σθ γεννᾷ τὸν Θάρρα ἐξ Ἰεσχὰ θυγατρὸς Ἀρὰν, υἱοῦ Μέλκου τοῦ Χαλδαίου. ἐπιζήσας δὲ ἔτη ριθ μέχρι μθ ἔτους Ἀβραὰμ, καὶ ἰδὼν τρίτην γενεὰν ἀπέθανε, ζήσας τὰ πάντα ἔτη ρίθ.

Θάρρα γενόμενος ἐτῶν ο γεννᾷ τὸν Ἀβραὰμ, ἐξ Ἔδνης γυναικὸς αὐτοῦ, θυγατρὸς Ἀρὰδ πατραδέλφου αὐτοῦ, ἐν γῇ Χαλδαίων, ἄνδρα συνετόν τε καὶ φιλοΐστορα. ἐπιζήσας δὲ Θάρρα ἔτη ρλε μέχρι λε ἔτους Ἰσαὰκ, καὶ τρίτην γενεὰν θεασάμενος, ἐτελεύτησε, βιώσας τὰ πάντα ἔτη σε.

Ὁμοῦ ἀπὸ τοῦ κατακλυσμοῦ ἐπὶ τὴν γένεσιν Ἀβραὰμ συνάγεται ἔτη ͵απ. ἀπὸ δὲ Ἀδὰμ, ͵Γτκβ. (sic) οὕτω γὰρ πεισθήσεται νοῦς ἐκ τῆς ἀκριβοῦς ἐρεύνης. καὶ τούτων μὲν τῶν κ γενεῶν μνήμην ἀξίαν τῆς αὐτῶν πράξεως οὐχ εὕρομεν, χάριν δὲ τοῦ τηρεῖσθαι τὴν τῶν ἀναγραφομένων περιόδων ἀκρίβειαν, ἐκείνων τοὺς χρόνους παρατεθείκαμεν. καὶ ταῦτα μὲν ἕως τῶν χρόνων Ἀβραὰμ ὡς ἐν παραδρομῇ προγεγράφθω τέως ἐνταῦθα· τὰ γὰρ μετ' αὐτὸν ἱστορούμενα ἐν τοῖς προσφόροις τόποις δηλωθήσεται.

Ἀβραὰμ Χαλδαῖος ὢν τὸ γένος, τὴν πρώτην ἡλικίαν παρὰ

Χαλδαίοις ποιεῖται. κατὰ τοῦτον ἀναφαίνεται ἡ τῶν Ἀσσυρίων βασιλεία, ἣν καὶ εὕρομεν ἄρχουσαν κατὰ τὸ ξθ ἔτος. βασιλεύει οὖν πρῶτον τῶν Ἀσσυρίων Βῆλος, ἔτους καθ' ἡμᾶς ͵γτζ̄, καὶ μετ' αὐτὸν ἄρχει Νῖνος, καὶ ἀπ' αὐτοῦ Σεμίραμις, καὶ κάτεισιν ἡ τούτων βασιλεία μέχρι Σαρδαναπάλου τοῦ ἐσχάτου, ὃς Ὄθων ὁ Σκογκόλερος[8] ὀνομάζεται. τούτου βασιλεύοντος ἐνιαυτοὺς κ̄, παύεται τὰ τῆς βασιλείας Ἀσσυρίων, καὶ συνάγεται σύμπας ὁ χρόνος ἀπὸ Βήλου τοῦ πρώτου μέχρι τῆς τούτου καθαιρέσεως, ἔτη ͵ατ̄, ἀρξαμένων μὲν κατὰ Ἀβραάμ, ληξάντων δὲ κατὰ τὸ ο ἔτος Ὀζίου τοῦ τῶν Ἰουδαίων βασιλέως, ἀφ' οὗ ἀπὸ τὴν πρώτην θέσιν τῶν Ὀλυμπίων ἔτη μβ̄.

Τετάρτου δὲ καὶ ἑβδομηκοστοῦ ἔτους ἐνεστῶτος τῆς ἡλικίας Ἀβραάμ, Λὼτ ἐκεῖ αἰχμαλωτισθῆναι συνέβη ἐκ γῆς Σοδόμων,
δο
ὑπὸ Θολογομόρ[9]· (sic) ἐπιδιῶξαι δὲ τὸν Ἀβραὰμ ὀπίσω αὐτῶν, καὶ ἡττῆσαι, καὶ ἐπιστρέψαι Λὼτ ἀπ' αὐτῶν, καὶ πᾶσαν τὴν αἰχμαλωσίαν· καὶ περάσαντος τὸν Ἰορδάνην, ἐξῆλθε Μελχισεδὲκ εἰς ἀπάντησιν αὐτοῦ ὑπὸ ἁγίου Πνεύματος φερόμενος, ἔχων ἐν χερσὶν ἄρτον εὐχαριστίας καὶ ποτήριον εὐλογίας· ὃν ἰδὼν Ἀβραὰμ προσεκύνησεν. αὐτὸς δὲ εὐλόγησεν εἰπών, "εὐλογημένος Ἀβραὰμ "τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ "εὐλογητὸς ὁ Θεὸς ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους "σου, καὶ ἔδωκεν αὐτῷ Ἀβραὰμ δεκάτην ἀπὸ πάντων."

Τῷ δ' ἑξῆς ἔτει, ὅπερ ἦν σε̄ ἔτος τῆς τοῦ πατριάρχου ἡλικιας, Ἀβραὰμ χρησμοδοτηθεὶς ὑπὸ Θεοῦ, καταλιμπάνει τὴν πάτριον αὐτοῦ Χαλδαϊκὴν γῆν, καὶ πρὸς τὴν Χαναναίαν ἀπάγεται οἰκεῖν, ἀφ' οὗ ἐπὶ τὴν ἐξ Αἰγύπτου τῶν Ἰουδαίαν πορείαν ἔτη υλ̄. οὗτος ἦν ἀποτασσόμενος τῶν Ἀσσυρίων ταῖς δόξαις, τῆς δ' ἀληθείας τὴν γνῶσιν ὑπειληφὼς προσεδέχθη παρὰ Θεοῦ. ἤκουσε γὰρ "ἔξελθε "ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου "τοῦ πατρός σου." πέμπτον δὲ καὶ ὀγδοηκοστὸν ἔτος παρῆν τοῦ Πατριάρχου, ἐν ᾧ λιμοῦ μεγίστου γενομένου ἐν τῇ χώρᾳ τῶν

8 Thonnus Concolerus Euseb. Vers. Armen. p. 100. Θῶνος, ὁ λεγόμενος Κονκόλερος Syncell. p. 132. 9 Χοδολλογομὸρ Sept.

Χαναναίων, Ἀβραὰμ κάτεισιν ἐν Αἰγύπτῳ, ὃν θεαθῆναι ὑπό τινων ἀστρονομίαν διδάσκοντα, ἑκατονταετῆ δὲ γεγονότα τίκτεται αὐτῷ Ἰσαὰκ ἐκ Σάρρας γυναικὸς αὐτοῦ. ᾧ ἐπιζήσας ἔτη οε τελευτᾷ, βιώσας τὰ πάντα ἔτη ροε.

Ἰσαὰκ γενόμενος ἐτῶν ξ γεννᾷ τὸν Ἰακὼβ ἐκ Ῥεβέκας θυγατρὸς Βαβουήλ. κατὰ δὲ τὸ πρῶτον ἔτος Ἰσαάκ, ἀναδείκνυται ἡ τῶν Σικυωνίων[10] βασιλεία. ὧν πρῶτος βασιλεύει Αἰγιαλεύς, ἀφ' οὗ Αἰγιαλία ἡ νῦν Πελοπόννησος ἐκαλεῖτο, ὑστεροῦσαν τὴν Ἀσσυρίων βασιλείαν ἔτεσι δύο καὶ τριάκοντα. ἀπάγεται δὲ μέχρι Πολυφίλους[41], ἐφ' οὗ τὸ Ἴλιον ἥλω, ἐπὶ ἔτη τρία καὶ ἐννακόσια. μεθ' ὃν Πελασγός, εἶτα καὶ Ζεύξιππος, ἐφ' οὗ καὶ παύεται τελείως ἡ Σικυωνίων ἀρχή, κρατήσασα τὸν ἅπαντα χρόνον ἀπὸ Αἰγιαλέως τοῦ πρώτου μέχρι Ζευξίππου ἐνιαυτοὺς ϡξα, συγχρονήσαντας μὲν Ἰσαὰκ τῷ παιδὶ Ἀβραάμ, λήξαντας δὲ ια ἔτει Ἡλεὶ τοῦ ἱερέως. ἐν δὲ τοῖς Ἰσαὰκ χρόνοις Λὼτ χρησμοδοτηθεὶς φεύγει τοὺς Σοδομίτας σὺν γυναικὶ καὶ τέκνοις, καὶ παρευθὺ καταστραφῆναι Σόδομα καὶ Γόμορα, πόλεις τῶν Ἰουδαίων[12], ὥς φησι λόγος ἱερός. Ἰσαὰκ δὲ μετὰ τὸ γεννῆσαι τὸν Ἡσαῦ καὶ Ἰακὼβ διδύμους, ἐπιζήσας ἕτερα ἔτη ρκ, τελευτᾷ, ὄντος Ἰωσὴφ ἐν τῷ κατ' ἐκεῖνο καιροῦ εἰς τὸ κατ' Αἴγυπτον δεσμωτήριον, βιώσας τὰ πάντα ἔτη ρπ.

Ἰακὼβ γεγονότος ἐτῶν ρκα, ἡγεῖται Ἰωσὴφ τῆς Αἰγύπτου, ἐτῶν ὑπάρχων λ. δευτέρῳ γὰρ καὶ ϟ ἔτει ἀρχομένῳ τοῦ Ἰακὼβ, γεννᾶται αὐτῷ Ἰωσὴφ ἐκ Ῥαχὴλ θυγατρός * *. πιπράσκεται δὲ ὑπὸ τῶν ἀδελφῶν Πεντεφρῇ τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως, ἔτος ἄγων ιζ, καὶ διαπρέπει ἐν τῷ οἴκῳ Πεντεφρῆ ἔτη ι(΄. καὶ ἐμβάλλεται ἐν τῷ κατ' Αἴγυπτον δεσμωτηρίῳ ἔτη ια(΄ ὁμοῦ λη. τοῦτο δὲ τυγχάνει ἔτος Ἰακὼβ τοῦ πατρὸς αὐτοῦ, ρκ καὶ α. ἀφ' οὗ διαγενομένων ἐτῶν θ, κατέρχεται Ἰακὼβ εἰς Αἴγυπτον ἅμα τοῖς παισὶν αὐτοῦ, δευτέρῳ ἔτει τοῦ λιμοῦ ἐπικρατοῦντος. ὃς παραστὰς τῷ Φαραώ, καὶ ἐρωτηθεὶς τὸν τῆς ἡλικίας χρόνον, ὡμολόγησεν ἔτος κατάγειν, ρ καὶ λ, καὶ παροικεῖ ἐν τῇ Ῥαμέσῃ, τῇ πάλαι Ἀβάρῃ

10 σικυωνίων Cod. 11 Poliphides vers. Arm. Lat. Πολυφείδης Syncell. 12 Sic.

καλουμένη, ἕτερα ἔτη ιζ, καὶ θνήσκει ζήσας τὰ πάντα ἔτη ρμζ. καὶ μεθ' ἡμέρας ἑβδομήκοντα μετετέθη ἀπὸ τῶν υἱῶν αὐτοῦ ἐν γῇ Χαναὰν μετὰ τῶν πατέρων αὐτοῦ.

Τότε καὶ Νῖνος βασιλεὺς Ἀσσυρίων κτίζει πόλιν Νῖνον, καὶ ἀφ' ἑαυτοῦ τὴν προσηγορίαν ἔθετο, τὴν πάλαι κληθεῖσαν Νινευΐ, ἣν τὸ πάλαι ᾠκοδόμησεν ὁ Ἀσούρ· τῷ δὲ χρόνῳ φθαρεῖσα οἰκίζεται ἐν τοῖς προκειμένοις χρόνοις, καθ' οὓς Ζωροάστρος[13] ὁ μάγος, Βακτηρίων βασιλεὺς ἐγνωρίζετο, ἐφ' ὃν ἐστράτευσε Νῖνος, οὗ μετ' ὀλίγον Σεμίραμις Νίνῳ συνοικήσασα, τὰ τείχη μεγαλοφυῶς ἐσκευάσατο. Τότε καὶ Κρὴς αὐτόχθων βασιλεύει πρῶτος τῆς Κρήτης, ἀφ' οὗ καὶ ἡ προσηγορία.

Ἰωσὴφ ἡγεῖται τῆς Αἰγύπτου ἔτη π, ἀρξάμενος κατὰ τὸ πρῶτον ἔτος τῆς εὐθηνίας, ὃ τριακοστὸν καὶ δεύτερον ἔτος ὑπῆρχε τοῦ Ἰωσήφ, ἐν ᾧ καὶ ἱστορεῖται γήμας τὴν Ἀσενὲθ θυγατέρα Πεντεφρῆ, ἱερέως Ἡλιουπόλεως. οὗτος δ' ἦν τοῦ Ὀσίριδος[14] ἱερεύς. τὸν γοῦν Ὄσιριν[15] Αἰγύπτιοι τὸν ἥλιον λέγουσι, καθάπερ καὶ Ἕλληνες Ἀπόλλωνα καλοῦσιν αὐτόν. κατὰ δὲ τὸ μη ἔτος Ἰωσήφ, ἀναδέδεικται ἡ τῶν Ἀργείων βασιλεία, ἔτους διαγενομένου ͵ϛχν. ὧν πρῶτος βασιλεύει Ἴναχος, ὃς κρατεῖ τῆς ἀρχῆς ἔτη ν, καὶ μεταπέμπει ταύτην εἰς τεσσαρεσκαιδέκατον βασιλέα, τὸν Ἀκρίσιον. καὶ τούτων τῶν βασιλέων ἅπας ὁ χρόνος ἀθροίζεται εἰς ε καὶ μ καὶ φ ἔτη. καὶ μετετέθη ἐν Μυκήναις ἐπὶ ἕτερα ἔτη σι. ἐξ αὐτοῦ δὲ Ἰνάχου, Ἴναχος ἐκλήθη ποταμὸς ἐν Ἄργει. γίνεται δὲ τῷ Ἰνάχῳ θυγάτηρ ὄνομα Ἰώ. ταύτης ἐπώνυμος, ὁ Βόσπορος ἐκλήθη τοῦ Βυζαντίου, ἀφ' οὗ στήλην ἔστησαν δαμάλεως ἐν κίονι, πρὸς τὸ ἀντιπέραν τῆς ἀκροπόλεως Βυζαντίου. ἐν δὲ τούτοις τοῖς χρόνοις καὶ Γραΐος[16] ἐγνωρίζετο, οὗ τῆς ἐπωνυμίας ἡμεῖς μετέχομεν. καὶ ταῦτα μὲν ἐν χρόνοις Ἰωσὴφ υἱοῦ Ἰακὼβ, ὃς τρίτην γενεὰν θεασάμενος, τελευτᾷ τὸν βίον ἐν χρόνοις Ἰνάχου τοῦ τῶν Ἀργείων πρώτου βασιλεύσαντος, βιώσας τὰ πάντα ἔτη ρι. οὗ μετὰ θάνατον δουλεύουσιν Ἑβραῖοι τοῖς Αἰγυπτίοις ἐπὶ ἔτη δ καὶ μ καὶ ρ. Ἑβραῖοι μετὰ θάνατον Ἰωσὴφ δουλεύουσιν Αἰγυπτίοις

[13] ζωροάστροις Cod. [14] ἰσίριδος Cod. [15] ἴσιριν Cod. [16] γραΐους Cod.

ἔτη ριδ. ἐν δὲ τούτοις τοῖς χρόνοις Θεσσαλὸς ὁ Γραικοῦ βασιλεύει Θεσσαλίας. ἐν δὲ τῇ Ἀττικῇ τῇ πάλαι Ἀκτῇ καλουμένῃ, Ὤγυγος[17] ἔκτισεν Ἐλευσῖνα καὶ ἄλλας πόλεις, καθ' ὃν πρὸς τῇ Τριττωνίδι λίμνῃ παρθένος ἐφάνη, ἣν Ἕλληνες Ἀθηνᾶν ὠνόμασαν. οὗ μετ' ὀλίγον καὶ Σπάρτη κτίζεται ἐν Πελοποννήσῳ, ὑπὸ Σπάρτου τοῦ Φορωνέως, ὅθεν οἱ Σπαρτιᾶται.

Ἐν δὲ τῇ Αἰγύπτῳ Ἁβραὰμ γήμας τὴν Ἰωχαβὲ, ὢν ἐτῶν ἑβδομήκοντα, γεννᾷ ἐξ αὐτῆς τὸν Μωϋσέα, ἔτους τῆς ἐν Αἰγύπτῳ δουλείας αὐτῶν ἑξηκοστοῦ καὶ τετάρτου. ὃν εὑροῦσα ἡ τοῦ βασιλέως Παλμανόθου θυγάτηρ κατὰ τὸν ποταμὸν εἰς τὸ ἕλος ἐν Θήβῃ, καὶ ἀνελομένη, Μωσέα προσηγόρευσε κατὰ τὴν Αἰγυπτίων διάλεκτον· μῶς γὰρ τὸ ὕδωρ καλοῦσιν· ὃν καὶ ἐπαίδευσε πᾶσαν σοφίαν Αἰγυπτίων, ὡς ἱστορεῖ ἡ ἱερὰ γραφή.

Τῷ δ' αὐτῷ ἔτει γίνεται καὶ ἐν τῇ Ἀττικῇ ὁ ἐπὶ Ὠγύγου κατακλυσμός. οὗτος δὲ ὁ Ὤγυγος παρ' Ἕλλησι πρῶτος παρ' Ἀθηναίοις μνημονεύεται εἶναι, οἰκίσαι τε τὴν χώραν, καὶ τὸ ἄστυ κτίσαι. ἀπὸ μὲν οὖν τοῦ κατακλυσμοῦ Ὠγύγου ἐπὶ Κέκροπα τὸν διφυῆ ἔτη εἰσὶ σ, ἅτινα ἀβασίλευτα ἔμεινεν ἡ Ἀττική.

Ἐν δὲ τῇ Αἰγύπτῳ Μωσῆς ἀνδρωθεὶς κτίζει τὴν Ἑρμούπολιν. πολλά τε εὔχρηστα τοῖς ἀνθρώποις παρέδωκε, καὶ Αἰθίοψιν ἐπολέμησεν ἔτη ι. τοῦ δὲ βασιλέως Χενεφρῆ κρατοῦντος τοὺς περὶ Μέμφιν τόπους, καὶ διὰ φθόνον ἐπιβουλεύοντος αὐτῷ, τὸν Μωσέα γνόντα φονεῦσαι Χακεσθώθην, τὸν μέλλοντα αὐτὸν ἀναιρεῖν, καὶ οὕτως φυγεῖν εἰς Ἀραβίαν πρὸς Ῥαγουὴλ τὸν τοῦ τόπου ἄρχοντα, καὶ λαβεῖν αὐτοῦ τὴν θυγατέρα πρὸς γάμον, ὡς ἱστορεῖ Ἀρτάπανος[18]. τῷ δὲ ρμδ ἔτει τῆς τῶν Ἑβραίων δουλείας, π ἔτος ὑπῆρχε τῆς Μωσέως ἡλικίας, ἐν ᾧ ἔτει πατεῖ τὴν Ἐρυθρὰν θάλασσαν, καὶ ἐξάγει τὸν λαὸν ἐξ Αἰγύπτου. ἔτος δὲ τοῦτο ἀπὸ Ἁβραὰμ φε, ἀπὸ δὲ τῆς ἐπαγγελίας υλ, ἀπὸ δὲ Ἀδὰμ ͵γωκζ.

Μωσῆς τοὺς Ἰσραηλίτας διαπεράσας, μεθ' ἡμέρας ξ ἤγαγεν αὐτοὺς εἰς τὸ Σίναιον ὄρος, καὶ νομοθετοῦνται ὑπὸ τοῦ Θεοῦ δι' αὐτοῦ τοῦ Μωσέως· ὃς κατὰ τὴν ἔρημον φιλοσοφεῖ τοῦ λαοῦ, ἔτη

17 ὤγμος Cod. 18 Ap. Euseb. Præp. Evang. p. 431. et seq. unde noster totam hanc suam de Moyse concinnavit historiam.

μ̄. γενόμενος δὲ κατὰ τὸν Ἄβα ὄρος, μεταλλάττει τὸν βίον, ἐτῶν ρκ̄, πλησίον τοῦ Ἰορδάνου ἀντικρὺς Ἱεριχῶ. τὰ μὲν οὖν μέχρι τῶν τῇδε, ἐκ τῶν Μωσῇ συγγεγραμμένων, καὶ τῆς τῶν ο΄ ἀνδρῶν ἑρμηνείας ἀναλαβόντες, ὡς ἐν κεφαλαίῳ τομῶς διεπήλθομεν· τὰ δ᾽ ἑξῆς, πλατυτέρως μικρὸν τὴν ἑρμηνείαν ἐπαναλαβόντες εἴπωμεν.

Μέχρι τοῦδε ἡ πεντάβιβλος Μωσέως περιέχει, ἱστοροῦσα πράξεις ἐτῶν ἀπὸ τοῦ πρώτου ἀνθρώπου ἐπὶ τὴν Μωσέως τελευτὴν, ͵γχξζ. τὰς γὰρ τρεῖς ἐκδόσεις μετὰ χεῖρας λαβὼν, λέγω δὴ τὴν τῶν ō, καὶ τὴν τῶν ἀντιγράφων, καὶ τῶν Σαμαρειτῶν, καὶ τὰς ἑκάστων διαφωνίας συγκρίνας ὅσον ἡ δύναμις, τοὺς εἰρημένους χρόνους ἐσημειωσάμεθα.

Τὰ δὲ μετὰ[19] Μωϋσέος τελευτὴν ἐπὶ Σολομῶντα καὶ τὴν τοῦ ἱεροῦ κατασκευὴν, ἑτέρως μὲν ἡ τῶν Κριτῶν γραφὴ λέγει, καὶ ὁ ἱερὸς Ἀπόστολος, ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων· ἑτέρως δὲ ἡ τῶν Βασιλειῶν ἱστορία, καὶ ἡ τῶν Ἑβραίων παρατήρησις[20] παραδίδωσιν. εὖ δ᾽ ἂν ἔχοι ἕκαστα διελθεῖν, καὶ τὸν παριστάμενον ἀψευδῆ λόγον ἐπιγνῶναι. τοῦτό γε μὴν ἐν πρώτοις οὐκ ἀπαρατήρητον ἐατέον, ὡς καὶ Ἀφρικανὸς πέντε χρονογραφιῶν συνάξας βιβλία, τὰ μεγάλα μοι διαμαρτεῖν ἐν τοῖς προκειμένοις δοκεῖ. ἀπὸ γὰρ ἐξόδου Μωσέως ἐπὶ Σολομῶνα καὶ τὴν τοῦ ἱεροῦ οἰκοδομὴν ἐν Ἱεροσολύμοις συνάγει κατά τινα οἰκεῖον ἀριθμὸν, ἔτη ψμα΄, τὰ πλεῖστα δὲ ἀμαρτύρως ἐκθέμενος, διήμαρτεν· οὐ μόνον ταῖς θείαις γραφαῖς μαχόμενα εἴρηκεν, ἀλλ᾽ ὅτι καὶ τολμηροτάτῳ ἐπικεχείρηκε πράγματι, ὅλων ἑκατὸν ἐτῶν ἀριθμὸν ἀφ᾽ ἑαυτοῦ παρεμβαλών. τίθησι γὰρ περιττὰ, πρεσβυτέρων μὲν τῶν περὶ ἰνὼ[21], ἔτη λ̄. μετὰ δὲ Σαμψὼν ἀναρχίας ἔτη μ̄, καὶ πάλιν εἰρήνης ἔτη λ̄. τοσαῦτα περιττὰ καὶ ἀμαρτύρως ἐκθέμενος ἀπερισκέπτως, πολὺ πλῆθος ἐτῶν ἀφ᾽ ἑαυτοῦ συνήγαγε, μεταξὺ τῶν χρόνων Μωυσέος καὶ τῆς Σολομῶντος βασιλείας. εἶναι γάρ, φησι, ὑπὲρ ταῦτα ἔτη ψμ̄· ταῦτα δὲ δέον λογίσασθαι τὰς ἐν μέσῳ διελθούσας γενεὰς, πόσαι τίνες ἦσαν· ἀλλ᾽ ἐπ᾽ αὐτῶν τὲ συνιδεῖν τὸ

19 Hinc iterum noster Eusebium ad verbum describit Armen. Lat. Vers. p. 156. usque ad finem p. 183, nulla intermissione facta. 20 παρατήρασις Cod. 21 Leg. Ἰησοῦ ex Vers. Arm. Lat. et Syncell.

ἀσύστατον τοῦ λόγου. εἰ γὰρ ἀπὸ Ἀβραὰμ ἕως Δαβὶδ γενεαὶ δεκατέσσαρες, ἤδη δὲ κατὰ Μωϋσέα ἐννάτη διελύθη γενεὰ, καθ' ἣν Ναασὼν υἱὸς ναδὰμ[22] ἐγνωρίζετο ἄρχων φυλῆς Ἰούδα· τελευτᾷ τε οὗτος ἐπὶ τῆς ἐρήμου· τῶν γὰρ ἀπ' Αἰγύπτου προελθόντων, καὶ τῶν ἐπὶ τῆς πρώτης ἐξαριθμήσεως γεγόνοτων εἷς ἦν, δῆλον ὡς λοιπαὶ γενεαὶ ε̄ μετὰ Ναασὼν[23] ἐλείποντο ἐπὶ Δαβὶδ ἀριθμούμεναι. Ναασὼν γὰρ ἐγέννησε τὸν Σαλμὼν, καὶ οὗτος τὸν Βοὼζ, καὶ οὗτος τὸν Ὠβὴδ, καὶ οὗτος τὸν Ἰεσσαί· καὶ οὗτος τὸν Δαβίδ. ποῖος οὖν λόγος ἐρεῖ ἐν πέντε γενεαῖς ταῖς μετὰ Μωυσέα ψ̄ ἐτῶν ἀριθμὸν συνεισάγεσθαι; ἵνα γὰρ τὸν ἴσον τῶν κατὰ γενεὰν ἀνδρῶν ἑκάστῳ τίς ἀπονείμῃ χρόνον· εὑρεθήσεται ἔτη ρ̄μ̄ γεγονὼς ἕκαστος πρὸ τῆς παιδοποιΐας· τούτῳ δ' οὐκ ἄν τις εὖ φρονῶν συνθήσεται. Μωϋσῆς τὲ γὰρ αὐτὸς ρ̄ ἐτῶν ἐτελεύτα, καὶ ὁ τούτου διάδοχος Ἰησοῦς, ρ̄ῑ· καὶ πρὸ τούτων Ἰωσὴφ τὰ πάντα τῆς ζωῆς ἔτη, ρ̄ῑζ̄. ἐπὶ τούτοις πάλαι Ἰακὼβ ὁ καὶ Ἰσραὴλ, ὁ πάντων Ἰουδαίων ἀρχηγέτης, τὰ πάντα ἔστησεν ἔτη ρ̄μ̄ζ̄. ποῖος οὖν ἐρεῖ λόγος τοῖς κάτω καὶ μετὰ Μωϋσέα τοσοῦτον τῆς ζωῆς ἐνδιδόναι χρόνον ὁπόσος δεδήλωται;

Ἀλλ' ὁ μὲν Ἀφρικανὸς τούτων διήμαρτε τῶν τρόπων. ὁ δὲ Κλήμης τὰ ἀπὸ Ἰησοῦ τοῦ Μωσέως διαδόχου ἐπὶ τὴν τοῦ ναοῦ κατασκευὴν ἔτη συνάγει φ̄ο̄δ̄, ὡς καλῶς τινὰ ἀπὸ τοῦ πρώτου Στρωματέως αὐτοῦ μαθεῖν. ὁ δέ γε θεῖος Ἀπόστολος Παῦλος, ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, ὧδέ πως ἐν τῇ πρὸς Ἰουδαίους φάσκει δημηγορίᾳ· "καὶ καθελὼν Ἰησοῦς ἔθνη ζ̄ ἐν τῇ Χαναὰν, "κατεκληρονόμησε τὴν γῆν αὐτῶν ἔτεσι ῡν̄, μετὰ ταῦτα δὲ "ἔδωκε Κριτὰς ἕως Σαμουὴλ τοῦ προφήτου. κἀκεῖθεν ἠτήσαντο "βασιλέα, καὶ ἔδωκει αὐτοῖς ὁ Θεὸς τὸν Σαοὺλ, υἱὸν Κὶς, ἄνδρα "ἐκ φυλῆς Βενιαμὶν, ἐπὶ ἔτη μ̄· καὶ μεταστήσας αὐτὸν, ἤγειρεν "αὐτοῖς τὸν Δαβίδ." Ταῦτα μὲν ὁ Ἀπόστολος. συνάγεται δὲ καὶ κατ' αὐτὸν ὁ μετὰ Ἰησοῦν χρόνος, εἰς ἔτη φ̄λ̄δ̄. τῶν μὲν Κριτῶν εἰς ῡν̄, μέχρι Σαμουὴλ, ὡς αὐτὸς φησὶ, περαιουμένων. τούτοις δὲ μετὰ Σαμουὴλ προτιθεμένων τῶν τοῦ Σαοὺλ ἐτῶν, καὶ τῶν τοῦ Δαβὶδ ὁμοίως μ̄, καὶ τῶν Σολομῶντος δ̄, μέχρι τῆς οἰκοδο-

22 Leg. Ἀμιναδὰμ. 23 νασὼν Cod.

μῆς τοῦ ναοῦ· ὁμοῦ κατὰ τὸν Ἀπόστολον μετὰ Ἰησοῦν τὸν Μωσέως διάδοχον ἐπὶ Σολομῶντα, γίγνονται ἔτη φ̄λ̄, καὶ δ̄. εἰ δὲ προσθήσαις καὶ τὰ Μωϋσέως ἐπὶ τῆς ἐρήμου ἔτη μ̄, τά τε Ἰησοῦ τοῦ Ναυῆ ἔτη κζ΄, ὁμοῦ τὰ πάντα γενήσεται κατὰ τὸν Ἀπόστολον ἔτη χ̄· οὐ μὴν ἀλλὰ καὶ ἡ βίβλος τῶν Κριτῶν σύμφωνος ἂν γένοιτο τῷ Ἀποστόλῳ· τοὺς τῶν Κριτῶν χρόνους καὶ αὐτὴ εἰς ἔτη συνάγουσα ν̄ν̄ μέχρι Σαμουήλ. περιέχει δὲ κατὰ μέρος οὕτως.

| | |
|---|---|
| Μετὰ Ἰησοῦν ἦρξαν ἀλλόφυλοι - | ἔτη ν΄. |
| Γοθονιὴλ - - - - - | ἔτη μ΄. |
| Ἀλλόφυλοι - - - - | ιη΄. |
| Ἀὼδ καὶ Σεμέγαρ - - - | π΄. |
| Ἀλλόφυλοι - - - - | κ΄. |
| Βαρὰκ καὶ Δεβόρρα - - - | μ΄. |
| Ἀλλόφυλοι - - - - | ζ΄. |
| Γεδέων - - - - - | μ΄. |
| Ἀβιμέλεχ - - - - - | γ΄. |
| Θώλα - - - - - | κγ΄. |
| Ἰαεὶρ - - - - - | κβ΄. |
| Ἀλλόφυλοι - - - - | ιη΄. |
| Ἰεφθάε - - - - - | ς΄. |
| Ἐσεβὼν - - - - - | ζ΄. |
| Ἐλὼν - - - - - | ι΄. |
| Ἀβδὼν - - - - - | η΄. |
| Ἀλλόφυλοι - - - - | μ΄. |
| Σαμψὼν - - - - - | κ΄. |
| Ἐλεὶ, ἐφ᾽ οὗ Σαμουὴλ - - - | μ΄. |
| Ὁμοῦ τὰ πάντα τὰ Κριτῶν - - | ἔτη νν΄. |

Συνῆκται δὲ ταῦτα συμφώνως οἷς καὶ ὁ ἱερὸς Ἀπόστολος ἐσημειώσατο. ἀλλ᾽ ἐπεὶ μὴ κατείληκται ἐν τούτοις ὁ Μωσέως χρόνος, μὴ δ᾽ ὁ Ἰησοῦ τοῦ Μωσέως διαδόχου, μὴ δ᾽ ὁ τοῦ Σαμουὴλ, μηδ᾽ ὁ τοῦ Σαούλ· τὰ μὲν τοῦ Σαμουὴλ καὶ Σαοὺλ τέως ἐν ἀδήλῳ κείσθω, καὶ τὰ τοῦ Ἰησοῦ· ἀπὸ δὲ τοῦ Ἀποστόλου τὰ τοῦ Σαοὺλ ἔτη μ΄ προσκείσθω τοῖς τῶν Κρίτων ἔτεσι, νν΄· οἷς συναπτόμενα καὶ τὰ τοῦ Δαβὶδ μ΄, τά τε Σολομῶντος δ᾽ ἔτη, τὰ πάντα ποιεῖ

φλδ´. τοσαῦτα δὲ ἦν, καὶ τὸ κατὰ τὴν ἀποστολικὴν ἀπόδοσιν· οἷς συναπτόμενα τὰ Μωσέως ἐπὶ τῆς ἐρήμου ἔτη μ´, καὶ τὰ Ἰησοῦ τοῦ Ναυῆ ἔτη κζ´, ὡς φασὶ παῖδες Ἑβραίων, τὰ πάντα ποιεῖ ἔτη χ´. καὶ ταῦτα δὲ ταῖς δηλωθείσαις πέντε γενεαῖς ταῖς μεταξὺ Νασσὼν καὶ Δαβὶδ προσαρμοττόμενα, καὶ καθ' ἕκαστον ἐξίσου διαιρούμενα, παρίστησι τὸν καθ' ἕνα ἐπὶ τὴν παιδοποιΐαν ἐλθεῖν, ἐτῶν πλειόνων τῶν ριε´ γενόμενον· ὃ καὶ αὐτὸ τῶν οὐ πάνυ πιθανῶν ἂν εἴη. εἰ δ' αὐτοῦ Μωσέως τὰ πάντα βεβιωκότος ἔτη ρκ´, οἱ μετ' αὐτὸν σχεδὸν ἰσήλικες αὐτῷ γενόμενοι, παῖδας ἐποίουν· τί οὖν λείπεται, ἢ μεταβῆναι λοιπὸν ἐπὶ τὴν τῶν Βασιλειῶν μαρτυρίαν;

Ἡ τῶν Βασιλειῶν τοιγαροῦν βίβλος σαφῶς ἐπισημειοῦται πάντα ἀπὸ τῆς ἐπόδου τῶν υἱῶν Ἰσραὴλ ἐπὶ Σολομῶνα καὶ τὴν Ἱεροῦ κατασκευὴν ἔτη γεγονέναι φάσκουσα υμ´· ὡς δὲ τὸ Ἑβραϊκὸν, ἔτη υπ´. λέγει δὲ οὕτως ἡ τρίτη τῶν Βασιλειῶν "καὶ "ἐγεννήθη ἐν τῷ υμ´ ἔτει τῆς ἐπόδου τῆς Αἰγύπτου, ἤρξατο οἰκο-"δομεῖν Σολομῶν τὸν οἶκον Κυρίου." τὸ δὲ Ἑβραϊκὸν, "καὶ "ἐγεννήθη," φησὶν, "ἐν υ´ καὶ π´ ἔτει." ταῦτα δὲ οἱ τῶν Ἰουδαίων διδάσκαλοι, εἰς υ´ καὶ π´ ἔτη κατὰ τὸν ἀκριβῆ λόγον συνάγεσθαι ἔφασκον· μὴ λογιζομένων αὐτῆς ἀφωρισμένως τῶν ἐτῶν, καθὰ ἀλλόφυλοι κρατῆσαι λέγονται τοῦ λαοῦ· μόνης δὲ τῆς τῶν κρινάντων ἀρχῆς ἀριθμουμένης· καὶ ταύτῃ συναπτομένων τῶν χρόνων τῆς τῶν ἀλλοφύλων ἐπαναστίας. καὶ εἰκός γε ταῦτα οὕτως ἔχειν, οὕτως γὰρ μόνως καὶ οὐκ ἄλλως ὁ τῶν υ´ καὶ π´ ἐτῶν συνάγοιτ' ἂν ἀριθμός. τὸν γε μὴν ἱερὸν Ἀπόστολον, οὐχ ὡς χρονογραφίαν ἐκθέμενον, οὐδ' ὡς ἀκριβῆ λόγον παραδιδόντα νομίζω τὸν δηλωθέντα τῶν ἐτῶν ἀριθμὸν παραθέσθαι· ὁδοῦ δὲ πάρεργον ἐν τῇ τοῦ σωτηρίου λόγου διδασκαλίᾳ, τὴν μνήμην τῶν χρόνων ποιεῖσθαι, τῇ κοινοτέρᾳ χρησάμενος ἐκδοχῇ τῆς τῶν Κριτῶν ἀναγνώσεως.

Ἡ δὲ βίβλος τῶν Βασιλειῶν διαρρήδην ἐπέλθετο τὰ ἀπὸ τῆς ἐξόδου ἐπὶ Σολομῶνα συντείνειν εἰς ἔτη υμ´, ἢ π´. ἐὰν μὲν οὖν τοὺς χρόνους τῶν Κριτῶν ἀφωρισμένως ἐκλάβοιμεν, καὶ πάλιν ἰδίως τὰ φερόμενα ἐν τῇ βίβλῳ τῶν Κριτῶν τῆς τῶν φύλων κρατήσεως, ὁ πᾶς συνάγοιτ' ἂν χρόνος ὁ ἀπὸ Μωϋσέος ἐπὶ Σολομῶνα εἰς ἐτῶν ἀριθμὸν χ´. ἔστι γὰρ Μωσέως τὰ ἔτη τῆς

ἐρήμου, μ΄· ἔπειτα τοῦ Ἰησοῦ, κζ΄· μεθ' ὃν Κριτῶν καὶ ἀλλοφύλων ἔτη υν΄· ὥς ὅ τε Ἀπόστολος φησὶ, καὶ ἡ τῶν Κριτῶν ἐπιμαρτυρεῖ γραφή· μεθ' ὃ Σαμουὴλ καὶ Σαοὺλ μ΄· ἔπειτα Δαβὶδ μ΄· καὶ Σολομῶνος δ΄, τὰ μέχρι τῆς κατασκευῆς τοῦ ναοῦ· ὁμοῦ τὰ πάντα χ΄. ὥστε τῶν δηλωθείσων πέντε γενεῶν ἑκάστῳ ἀνδρὶ χρόνον ἐτῶν ρκ΄ ἀφορίζεσθαι τὸν πρὸ τῆς παιδοποιΐας· τοῦτο δ' ἀπίθανόν ἐστιν. ἐὰν δὲ τῇ τῶν Βασιλειῶν ἀπολουθήσωμεν γραφῇ, υπ΄ ἔτη συνάξομεν, ὑφαιροῦντες τὸν τῆς Ἑβραίων δουλείας χρόνον· ἐτῶν ὄντα ρκ΄, καθ' ὃν ἀλλοφύλοις δουλεῦσαι λέγονται· μᾶλλον δ' ὑφένα χρόνον συναριθμοῦντες τοῖς τῆς ἐλευθερίας ἔτεσι, τὰ τῆς τοῦ λαοῦ δουλείας, ὡς ὁ τῶν Ἑβραίων παρεδίδου λόγος· ᾧ δὴ καὶ αὐτοὶ χρησόμεθα ἐπὶ τοῦ παρόντος, τοὺς τῶν ἀλλοφύλων χρόνους συναριθμοῦντες τοῖς τῶν Κριτῶν ἔτεσι. μάλιστα δὲ ἡμῶν οὕτω πείθει συλλογίσασθαι, ἡ τῶν γενεῶν τῶν πέντε, τῶν μετὰ Ναασσὼν ἐπὶ Δαβὶδ, διαστολὴ τοῦ χρόνου. ὑφαιρουμένου γὰρ ἀπὸ τοῦ υπ΄, τῶν Μωσέως κατὰ τὸν ἔρημον, μ΄, καὶ τῶν Σολομῶνος δ΄, καὶ τὰ λοιπὰ γίνονται ἔτη υλϛ΄, τὰ μέχρι τῆς τελευτῆς Δαβίδ. ταῦτα δὲ εἰς πέντε γενεὰς διαιρούμενα, ε΄ καὶ π΄ ἑκάστῳ ἔτη κατὰ γενεὰν ἀπονέμει· τεκμηριώσαιτο δ' ἂν τις ἀληθῆ τυγχάνειν τὴν ἀπόδοσιν ταύτην.

Ἔσται τοίνυν καθ' ἡμῶν ἀκολούθως τῇ βίβλῳ τῶν Βασιλειῶν ἀπὸ τῆς ἐπόδου τῆς Αἰγύπτου ἐπὶ τὴν τοῦ ἱεροῦ κατασκευὴν καὶ τὸν Σολομῶνα, ἔτη υπ΄· συμπεριλαμβανομένου χρόνου τῶν ἀλλοφύλων τῇ τῶν κατὰ διαδοχὴν ἡγησαμένων Κριτῶν ἀρχῇ. τοῦτο δὲ καὶ ἄλλως παρίσταται ἐπ' αὐτῆς τῆς βίβλου τῶν Κριτῶν. ὁ γοῦν Ἰεφθάε, εἷς τῶν κρινάντων τὸν λαὸν γεγονὼς, πολέμου συστάντος αὐτῷ πρὸς τοὺς ὑπὲρ τὸν Ἰορδάνην Ἀμορραίους, πρεσβεύεται ταῦτα πρὸς τὸν πολέμιον, κατὰ λέξιν φάσκων, “ καὶ νῦν μὴ κρείσσων εἶ σὺ Βαλὰκ, υἱοῦ Σεπφὼρ βασιλέως Μωὰβ, μὴ μάχῃ ἐμαχέσατο μετὰ Ἰσραὴλ, ἢ πολεμῶν ἐπολέμησαν αὐτοῖς ἐν τῷ οἴκῳ Ἰσραὴλ ἐν Ἐσσεβὼν καὶ ἐν ταῖς θυγατράσιν αὐτῆς· ἐν Ἰαζὴρ, καὶ ἐν ταῖς πόλεσι ταῖς παρὰ τὸν Ἰορδάνην τριακόσια ἔτη; ὅτι οὐκ ἐρύσατο αὐτοὺς ἐν τῷ καιρῷ ἐκείνῳ;” διδάσκει γὰρ αὐτοὺς διὰ τούτων, τριακόσια ἔτη ὑπάρχειν ἀπὸ τῶν χρόνων Μωσέως καὶ Βαλαχὰμ υἱοῦ Βαιὼρ, καὶ εἰς τὴν ἑαυτοῦ ἡλικίαν.

ταῦτα δὲ τὰ τ′ ἔτη οὐκ ἄλλως συνίσταται, ἢ τὸν χρόνον καθ' οὓς ἀλλόφυλοι κεκρατηκέναι λέγονται, συναριθμουμένων τοῖς τῶν ἀρξάντων Κριτῶν ἔτεσιν. εἰ μὲν γὰρ ἰδία τίς θείη τὰ τῆς τοῦ λαοῦ δουλείας, κατὰ τῆς ἀλλοφύλων ἐπικρατήσεως, ἔσται τὰ πάντα ὑπερβάλλοντα τὸν χρόνον τῶν τ′ ἐτῶν. εἰ δὲ μόνα τὶς λογίσαιτο τὰ τῶν ἀρξάντων τοῦ λαοῦ Κριτῶν, εὕροι ἂν ἀπὸ τοῦ δηλωθέντος χρόνου Μωσέως ἐπὶ τὸν Ἰεφθάε, ἔτη τ′, ὁπόσα καὶ ἡ τοῦ Ἰεφθάε φωνὴ μαρτυρεῖ.

Ἔσται τοίνυν ἡ καθ' ἡμῶν παροῦσα χρονογράφια τοιαύτη. τὰ ἀπὸ Μωσέως ἐπὶ Σολομῶνα.

| | |
|---|---|
| Μωσέως - - - - | ἔτη μ′. |
| Ἰησοῦ - - - - | ἔτη κζ. |
| Ἀλλοφύλων καὶ Ἀὼδ Κριτῶν - | ἔτη π′. |
| Ἀλλοφύλων καὶ Γοθονιὴλ Κριτῶν - | ἔτη μ′. |
| Ἀλλοφύλων καὶ Δεβόρρας, καὶ Βαρὰκ | ἔτη μ′. |
| Ἀλλοφύλων καὶ Γεδεὼν - - | ἔτη μ′. |
| Ἀβιμέλεχ - - - - | ἔτη γ′. |
| Θώλα - - - - - | ἔτη κγ′. |
| Ἰαὶρ - - - - - | ἔτη κβ. |
| Ἀλλοφύλων καὶ Ἰεφθάε Κριτοῦ - | ἔτη ς′. |
| Ἐσσεβὼν - - - - | ἔτη ζ. |
| Λαβδὼν - - - - | ἔτη η′. |
| Ἀλλοφύλων καὶ Σαμψὼν - - | ἔτη κ′. |
| Ἠλεὶ - - - - - | ἔτη μ′. |
| Σαμουὴλ καὶ Σαοὺλ - - - | ἔτη μ′. |
| Δαβὶδ - - - - - | ἔτη μ′. |
| Σολομῶντος - - - - | ἔτη δ′ μέχρι τῆς κατασκεῦης τοῦ ναοῦ. |

Ὁμοῦ τὰ ἀπὸ Μωσέως καὶ τὰ ἐξ Αἰγύπτου πορείας ἐπὶ τὴν κατασκευὴν τοῦ ναοῦ, ἔτη υπ′.

Περὶ δὲ τοῦ Μωσέως διαδόχου Ἰησοῦ ἡ μὲν ἐπώνυμος αὕτη γραφὴ οὐδὲν σημαίνει πλέον τοῦ τελευτᾶν αὐτὸν, τὰ πάντα βεβιωκότα ἔτη ρι′. Ἑβραῖοι δὲ τὸν τῆς προστίας[23] αὐτοῦ χρόνον φασὶ γεγονέναι ἐτῶν κζ′· ὡς εἶναι αὐτὸν ὅτε Μωυσῆς ἐξῄει τῆς

23 Leg. προστασίας.

Αἰγύπτου, ἔτων πγ΄. περὶ δὲ τοῦ Σαμουήλ, ἐπεὶ μὴ δὲ τούτου τοὺς χρόνους ἐδήλωσεν ἡ γραφὴ, ἡγοῦμαι τὰ ὑπὸ τοῦ θείου Ἀποστόλου λεγόμενα τοῦ Σαοὺλ, κοινὰ εἶναι Σαοὺλ καὶ Σαμουήλ. φαίνεται γὰρ ὁ Σαμουὴλ πλείστοις ἔτεσιν ἡγησάμενος τοῦ λαοῦ· τῷ δὲ Σαοὺλ διετίαν μόνην ὁ λόγος μαρτυρεῖ. γέγραπται γὰρ ἐν τῇ πρώτῃ τῶν Βασιλείων, "υἱὸς ἐνιαυτοῦ Σαοὺλ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ δύο ἔτη ἐβασίλευσεν ἐπὶ τὸν Ἰσραήλ." ὃ δὴ σαφέστερον ἀποδιδοὺς ὁ Σύμμαχος, οὕτως ἑρμηνεύει, "υἱὸς ὡς ἐνιαύσιος Σαοὺλ ἐν τῷ βασιλεύειν αὐτὸν," ἁπλοῦν καὶ ἀκάκον[24] ἄνδρα σημήνας ἄπειρον γεγονέναι αὐτὸν, καθ' ὃν ἦρξε χρόνον. δυσὶ δὲ ἔτεσι τοιαύτῃ διαθέσει χρησαμένου, κἄπειτα παρατραπέντος καὶ ἀποβλήτου παρὰ τῷ Θεῷ γενομένῳ[25], ὡς καὶ δαίμονα πνίγειν αὐτόν. τὰ δὲ λοιπὰ τῷ Σαμουὴλ λογισθήσεται, διόπερ ὁμοῦ μὲν Σαμουὴλ καὶ Σαοὺλ ἔθετο ἔτη μ΄. οὐ μόνον δ' ἐκ τῆς ἀποστολικῆς μαρτυρίας συνίσταται τοσοῦτος ὢν ὁ τοῦ Σαοὺλ χρόνος· ἀλλὰ καὶ ἐξ ἀκριβοῦς ἐπιτηρήσεως τῆς γραφῆς· ἣ μετὰ τὸν Σαοὺλ θάνατον ἱστορεῖ λέγουσα "τεσσαράκοντα ἐτῶν Ἰεβουθαὶ, υἱὸς Σαοὺλ, ὅτε ἐβασίλευσεν ἐπὶ τὸν Ἰσραὴλ, καὶ δύο ἔτη ἐβασίλευσε· πλὴν τοῦ οἴκου Ἰούδα, οἳ ἦσαν ὀπίσω Δαβίδ." οὗτος δὲ ὁ Ἰεβουθαὶ ἤδη βεβασιλευκότι τῷ Σαοὺλ γεννᾶται. μνημονεύσασα γοῦν ἡ γραφὴ ἐν ἀρχῇ τῆς τοῦ Σαοὺλ βασιλείας, ἑτέρων αὐτοῦ τριῶν υἱῶν, τοῦ λεχθέντος οὐκ ἐμνημόνευσεν· ὡς νοεῖν ἡμῶν μετὰ ταῦτα γεγενῆσθαι, καὶ τοσοῦτον γεγονέναι τῷ Σαοὺλ τῆς βασιλείας χρόνον, ὅσος ὁ τοῦ παιδὸς μετὰ τὴν τελευτὴν αὐτοῦ δείκνυται. ἀλλὰ γὰρ συνοπτέον ὅπως εἴρηται ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν τὰ ἀπὸ τῆς ἐξόδου τῆς Αἰγύπτου ἐπὶ Σολομῶνα καὶ τὴν τοῦ ναοῦ κατασκευὴν, ἔτη υπ΄. ἀπὸ δὲ Ἀβραὰμ ἐπὶ τὴν ἔποδον τὴν διὰ Μωσέως, ἔτη φο΄. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἀπὸ[26] τὸ πρῶτον ἔτος Ἀβραὰμ, ἔτη πμβ΄. ἀπὸ δὲ Ἀδὰμ, τοῦ κατακλυσμοῦ ͵βσμβ΄. γίνονται τοίνυν τὰ πάντα ἀπὸ Ἀδὰμ ἐπὶ Σολομῶνα καὶ τὴν τοῦ ἱεροῦ κατασκευὴν ἔτη ͵δυρν΄. ταῦτα[27] αἱ Βασιλεῖαι, καὶ Ἰουδαίων παρατήρησις δίδωσιν· οἷσπερ συνᾄδει Εὐσέβιος. ἡμεῖς δὲ τὰ ἀπὸ

24 κακὸν Cod. 25 Sic. 26 Leg. ἐπὶ. 27 Pauca hic de suo Anonymus noster.

τῆς ἐπόδου Μωσέως ἐπὶ Σολομῶνα καὶ τὴν τοῦ ἱεροῦ κατασκευὴν ἀπογραφόμεθα, ἔτη χμέ, ὡς ἡ κατὰ μέρος παράθεσις ἐπιδείξει. μετὰ γὰρ Ἰησοῦν τὸν τοῦ Ναυή, πρεσβυτέρους ἐσημειώσατο ἦρξαι τοῦ λαοῦ, ἐπὶ ἔτη κή· ἀλλὰ καὶ Ἐλεὶ τὸν ἱερέα κρίναντα ἔγνωμεν ἔτη κ΄, μέχρι τῆς τοῦ Σαοὺλ βασιλείας· ὡς εἶναι τὰ πάντα καθ' ἡμᾶς ἔτη ͵δψϙϛ΄.

Ἐπὶ δὲ τὸν χρόνον Σολομῶνος καὶ τῆς ὑπ' αὐτοῦ γενομένης τοῦ ἱεροῦ κατασκευῆς, μάρτυρας Φοίνικας ἄνδρας παρήγαγεν ἐν τῷ πρώτῳ τῆς Ἰουδαίων ἀρχαιότητος ὁ Ἱστορικὸς Ἴωσηπος, οὐκ ἄχρηστος εἶναί μοι δοκεῖ καὶ ἡ τῶν ὑπ' αὐτοῦ μνημονευσθέντων ἄνδρων μαρτυρία. γράφει τοίνυν ἐν τῷ δηλωθέντι λόγῳ τοῦτον τρόπον Ἰώσηπος ἀπὸ τῆς Φοινίκων μαρτυρίας περὶ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ.

" Βούλομαι τοίνυν ἀπὸ τούτων ἤδη[27] μετελθεῖν, ἐπὶ τὰ παρὰ " τοῖς Φοίνιξιν ἀναγεγραμμένα περὶ τοῦ γένους ἡμῶν, καὶ τὰς " ἐπ'[28] ἐκείνων μαρτυρίας παρασχεῖν. ἔστι τοίνυν παρὰ Τυρίοις " ἀπὸ[29] παμπόλλων ἐτῶν γράμματα δημόσια, καὶ γραφέντα[30] " καὶ πεφυλαγμένα λίαν ἐπιμελῶς, περὶ τῶν παρ' αὐτοῖς γενο- " μένων καὶ παρ' ἄλλοις[31] πραχθέντων μνήμης ἀξίων. ἐν τού- " τοις[32] γέγραπται, ὅτι ὁ ἐν Ἱεροσολύμοις ᾠκοδομήθη ναὸς ἀπὸ " Σολομῶνος τοῦ βασιλέως, ἔτεσι θᾶττον ρμ΄ καὶ τρισὶ[33], καὶ " μησὶν ὀκτὼ, τοῦ κτίσαι Τυρίους Καρχηδόνα. ἀνεγράφη δὲ παρ' " αὐτοῖς οὐκ ἀλόγως[34]. Εἴρωμος γὰρ ὁ τῶν Τυρίων βασιλεὺς, " φίλος ἦν τοῦ βασιλέως ἡμῶν Σολομῶνος, πατρικὴν φιλίαν πρὸς " αὐτὸν διαδεδεγμένος[35]. οὗτος οὖν συμφιλοτιμούμενος εἰς τὴν " τοῦ κατασκευάσματος τῷ Σολομῶνι λαμπρότητα, χρυσοῦ[36] μὲν " εἴκοσι καὶ ἑκατὸν ἔδωκε τάλαντα, καὶ ὕλην[37] δὲ καλλίστην " τεμὼν ἐκ τοῦ ὄρους, ὃ καλεῖται Λίβανος, εἰς τὴν οἰκοδομὴν " ἀπέστειλε[38] τοῦ ὀρόφου. ἀντεδωρήσατο δὲ αὐτῷ Σολομῶν, ἄλ- " λοις τὲ πολλοῖς, καὶ δῆτα καὶ χώραν[39] τῆς Γαλιλαίας ἐν τῇ

27 ἔτι Joseph. 28 ἐξ Joseph. 29 ἀπὸ om. Joseph. 30 δημοσία γεγραμμένα Joseph. 31 πρὸς ἀλλήλους Joseph. 32 οἷς γεγρ. 33 ρμγ΄ Joseph. 34 ἡ τοῦ ναοῦ κατασκευὴ τοῦ παρ' ἡμῖν om. Cod. 35 πρ. αυτ. φιλ. διαδεξάμενος Joseph. 36 χρυσίου Joseph. 37 τεμ. δὲ καλ. υλ. Joseph. 38 εἰς τὸν ὄροφον ἀπέστειλει Joseph. 39 γῇ κατὰ χώραν Joseph.

“ Χαβωλῶ[40] λεγομένῃ, ἐπιδέδωκε· μάλιστα δ' αὐτοὺς εἰς φιλίαν “ ἡ τῆς σοφίας συνῆγεν ἐπιθυμία· προβλήματα γὰρ ἀλλήλοις “ ἀνταπέστελλον, λύειν κελεύοντες. καὶ κρείττων ἦν ἐν τούτοις “ ὁ[41] Σολομῶν, καὶ τὰ ἄλλα σοφώτερος. σώζονται δὲ μέχρι “ δεῦρο[42] παρὰ Τυρίοις πολλαὶ τῶν ἐπιστολῶν, ἃς ἐκεῖνοι πρὸς “ Τυρίους[43] ἔγραψαν. ὅτι δὲ οὐ λόγος ἐστὶν ὑπ' ἐμοῦ συγκεί-“ μενος ὁ περὶ τὸν ἐν Τυρίοις[44] γραμμάτων, παραθήσομαι μάρ-“ τυρα δεξιὸν ἄνδρα περὶ τὴν Φοινικὴν ἱστορίαν ἀκριβῆ γεγονέναι “ πεπιστευμένον Δῖον. οὗτος τοίνυν ἐν ταῖς περὶ Φοινίκων ἱστορίας “ γράφει τὸν τρόπον τοῦτον.

“ Ἀβιβάλου τελευτήσαντος, υἱὸς αὐτοῦ Εἴρωμος ἐβασίλευσεν. “ οὗτος τὰ πρὸς ἀνατολὰς μέρη τῆς πόλεως προσέχωσε, καὶ μεῖ-“ ζον τὸ ἄστυ ἐποίησε[45], καὶ τοῦ Ὀλυμπίου Διὸς τὸ ἱερὸν καθ' “ ἑαυτὸ ὂν, ἐν ἴσω[46] χώσας, τὸν μεταξὺ τόπον συνῆψε τῇ πόλει, “ καὶ χρυσοῖς ἀναθήμασιν ἐκόσμησεν. ἀναβὰς δὲ εἰς τὸν Λίβα-“ νον, ὑλοτόμησε πρὸς τὴν τῶν ἱερῶν[47] κατασκευήν. τὸν δὲ “ τυραννοῦντα Ἱεροσολύμων Σολομῶνα φασὶ πέμψαι πρὸς τὸν “ Ἴρωμον αἰνίγματα καὶ παρ' αὐτοῦ λαβεῖν ἀξιοῦν λύσιν[48]· τὸν “ δὲ, μὴ δυνηθέντα διακρίναι, τῷ λύσαντι χρήματα ἀποτιννύειν[49]. “ ὁμολογήσαντα δὲ τὸν Ἴρωμον, καὶ μὴ δυνηθέντα λῦσαι τὰ “ αἰνίγματα, πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι· “ εἶτα δὲ Ἀβδαμώνον[50] τινὰ Τύριον ἄνδρα, τά τε προτεθέντα “ λῦσαι, καὶ αὐτὸν ἅμα προβαλεῖν· ἃ μὴ λύσαντα τὸν Σολομῶνα “ πολλὰ τῷ Ἰρώμῳ προσαποτίσαι χρήματα. Δῖος μὲν οὖν οὕτω “ περὶ τῶν προειρημένων ἡμῖν μεμαρτύρηκεν.

“ Ἀλλὰ πρὸς τούτῳ παραθήσομαι καὶ Μένανδρον τὸν Ἐφέσιον. “ γέγραφε δ' οὗτος τάς ἐφ' ἑκάστου τῶν βασιλέων πράξεις, τὰς “ παρὰ τοῖς Ἕλλησι καὶ βαρβάροις γεγενημένας[51], ἐκ τῶν παρ' “ ἑκάστοις ἐπιχωρίων πραγμάτων σπουδάσας τὴν ἱστορίαν μα-“ θεῖν. γράφων τοίνυν[52] περὶ τῶν ἐν Τύρῳ βεβασιλευκότων·

40 Χαβουλῶν Joseph. 41 ἦν ὁ Σ. Joseph. 42 νῦν Joseph. 43 ἀλλήλους Joseph. 44 π. τῶν παρὰ τοῖς τ. Joseph. 45 πεποίηκεν Joseph. 46 νήσῳ leg. cum Joseph. 47 ναῶν Joseph. 48 λύσιν om. Joseph. 49 ἀποτίνειν Joseph. 50 Ἀβδήμονον Joseph. 51 γενομένας Joseph. 52 δὴ Joseph.

“ ἔπειτα γενόμενος κατὰ τὸν Ἵρωμον, ταῦτα φησί. τελευτήσαν-
“ τος Ἀβιβάλου, διεδέξατο τὴν βασιλείαν αὐτοῦ ὁ υἱὸς αὐτοῦ
“ Ἵρωμος· ὃς βίωσας ἔτη νγ΄, ἐβασίλευσεν ἔτη λδ΄. οὗτος ἔχωσε
“ τὸν εὐρύχωρον, τόν τε χρυσοῦν κίονα τὸν ἐν τοῖς τοῦ Διὸς ἀνέ-
“ θηκεν· ἐπί[53] τε ὕλην ξύλων ἀπελθὼν ἔκοψεν ἀπὸ τοῦ λεγομένου
“ Λιβάνου ὄρους κέδρινα ξύλα εἰς τὰς τῶν ἱερῶν στέγας· καθελὼν
“ τὲ τὰ ἀρχαῖα ἱερὰ, ναὸν[54] ᾠκοδόμησε, τόν τε τοῦ Ἡρακλέος καὶ
“ τῆς Ἀστάρτης[55]. πρῶτον τὲ τοῦ Ἡρακλέος ἔγερσιν[56] ἐποιή-
“ σατο ἐν τῷ Περιτίῳ μηνί· τοῖς τε Τιτυαίοις ἐπεστρατεύσατο[57],
“ μὴ ἀποδιδοῦσι τὸν φόρον[58]· οὓς καὶ ὑποτάξας ἑαυτῷ, πάλιν
“ ἀντέστρεψεν. ἐπὶ τούτοις[59] ἦν Ἀβδούμηνος[60] παῖς νεώτερος, ὃς
“ ἀεὶ ἐνίκα λύων[61] τὰ προβλήματα, ἃ ἐπέταττε[62] Σολομῶν ὁ
“ Ἱεροσολύμων βασιλεύς. ψηφίζεται δὲ οὗτος ὁ χρόνος ἀπὸ τού-
“ του τοῦ βασιλέως ἄρχι Καρχηδόνος κτίσεως οὕτως.

“ Τελευτήσαντος Ἱρώμου, διεδέξατο τὴν βασιλείαν Βααλζά-
“ βερ[63] υἱὸς, ὃς βιώσας ἔτη μγ΄, ἐβασίλευσεν ἔτη ζ΄. μετὰ
“ τοῦτον, Ἀβδάσταρτος υἱὸς[64], ὃς βιώσας ἔτη λθ΄, ἐβασίλευσεν
“ ἔτη θ΄. τοῦτον, οἱ τῆς τροφοῦ αὐτοῦ δ΄ υἱοὶ[65] ἐπιβουλεύσαντες,
“ ἀπώλεσαν· ὧν ὁ πρεσβύτερος ἐβασίλευσε· μεθ᾽ ὃν Ἄσταρτος
“ Ἐλεστάρτος[66]· ὃς βιώσας ἔτη νδ΄, ἐβασίλευσε ιβ΄. μετὰ τοῦτον
“ Ἀσθάρυμος[67] ὁ ἀδελφὸς αὐτοῦ, ὃς βιώσας ἔτη νη΄, ἐβασίλευσεν
“ θ΄[68], οὗτος ἀπώλετο ὑπὸ τοῦ ἀδελφοῦ Φέλλητος[69], ὃς λαβὼν
“ τὴν βασιλείαν, ἦρξε μῆνας ιη΄, βιώσας ἔτη ν΄. τοῦτον ἀνεῖλεν
“ Ἰθόβαλος[70] ὁ τῆς Ἀστάρτου βασιλεὺς[71], ὃς βιώσας ἔτη μη΄,
“ ἐβασίλευσεν ἔτη λβ΄. τοῦτον διεδέξατο Βαλίζωρος[72] ὁ υἱὸς,
“ ὃς βιώσας ἔτη με΄, ἐβασίλευσεν ιη΄[73]. τούτου διάδοχος γέγονε
“ Μέτηνος[74] υἱὸς· ὃς βιώσας ἔτη λβ΄, ἐβασίλευσεν κε΄[75]. τού-

[53] ἔτι Joseph. [54] καινοὺς ναοὺς Joseph. [55] Ἀστ. τέμενος ἀνιέρευσεν Joseph. [56] ἔγερσιν om. Joseph. [57] ἐπεστράτευσεν Joseph. [58] τοὺς φόρους Joseph. [59] τούτου δέ τις Joseph. [60] Ἀβδήμονος Joseph. [61] λύων om. Joseph. [62] ἐπέτασσε Joseph. [63] Βαλεάζαρος Joseph. [64] ὁ αὐτοῦ υἱὸς Joseph. [65] υἱοὶ τέσσαρες Joseph. [66] ὁ Δελαιαστάρτου Joseph. Ἐλεαστάρτου Syncell. [67] Ἀσέρυμος Joseph. [68] ἔτη ἔννεα Joseph. [69] Φέλητος Joseph. [70] Εἰθώβαλος Joseph. [71] Ἀστάρτης ἱερεὺς Joseph. [72] Βαδέζωρος Joseph. [73] ἔτη ἓξ Joseph. [74] Μάτγηνος Joseph. Mætenus Euseb. Arm. Lat. vers. [75] ἐννέα Joseph. Euseb. Arm. Lat. vers. xxix.

" του διάδοχος Μυγδαλίων Φυσμαλίωνος[76]· ὃς βιώσας ἔτη νή, " ἐβασίλευσε μζ'. ἐν δὲ τῷ ἐπ' αὐτῷ[77] ἑβδόμῳ ἔτει, ἡ ἀδελφὴ " αὐτοῦ φυγοῦσα ἐν τῇ Λιβύῃ, πόλιν ᾠκοδόμησε Καρχηδόνα. " συνάγεται δὲ πᾶς ὁ χρόνος ἐκ τῆς Ἰρώμου βασιλείας μέχρι " Καρχηδόνος κτίσεως, ἔτη ρνέ, μῆνες ιή. ἐπεὶ δὲ δωδεκάτῳ " ἔτει τῆς αὐτοῦ βασιλείας ὁ ἐν Ἱεροσολύμοις ᾠκοδομήθη ναὸς, " γέγονεν ἀπὸ τῆς οἰκοδομήσεως τοῦ ναοῦ μέχρι κτίσεως Καρχη- " δόνος, ἔτη ρμγ', μῆνες ιή. τὴν μὲν οὖν παρὰ Φοινίκων μαρ- " τυρίαν, τί δὴ προστιθέναι πλέον; βλέπεται γὰρ τἀληθὲς " ἰσχυρῶς ὡμολογημένον· καὶ πολὺ δήπου προάγειν τῆς τοῦ ναοῦ " κατασκευῆς τὴν τῶν προγόνων ἡμῶν εἰς τὸν τόπον ἄφιξιν· καὶ " ταῦτα σαφῶς ἐκ τῶν ἱερῶν γραμμάτων ὑπ' ἐμοῦ δεδήλωται διὰ " τῆς ἀρχαιολογίας." καὶ ταῦτα μὲν Ἰώσηπος.

Ἡ δὲ παροῦσα τῶν χρόνων ἀναγραφὴ, συνάγει τὰ ἀπὸ Σολομῶνος ἔτους τετάρτου, ἀπὸ τῆς τοῦ ἱεροῦ κατασκευῆς, ἐπὶ τὸν ὑπὸ Βαβυλωνίων γενόμενον ἀφανισμὸν τοῦ τόπου, ἔτη υμβ'. μετὰ ταῦτα αἰχμαλωσίας Ἰουδαίων τῆς εἰς Βαβυλῶνα καὶ ἐρημίας τοῦ τόπου ό, ἃ συμπληροῦνται κατὰ τὸ δεύτερον ἔτος Δαρείου τοῦ Περσῶν βασιλέως, ἐπὶ τῆς ξθ' Ὀλυμπιάδος, ὡς μαρτυρεῖ ἡ θεία γραφή. τούτῳ δ' ἡμῖν διευκρινθέντων ἀναδράμωμεν ἐπὶ τοὺς Μωϋσέος χρόνους καὶ τὴν αὐτοῦ μετάστασιν, ἤτοι ἀπὸ Ἰησοῦ τοῦ Μωσέως διαδόχου, ἐν συντόμῳ τὰς τῶν Κριτῶν πράξεις ἀνιστοροῦντες.

Ἰησοῦς ὁ τοῦ Ναυῆ ἡγεῖται τοῦ λαοῦ, ἔτη κζ'· οὗτος τὴν τῶν Παλαιστηνῶν γῆν διανέμει κλῆρον τῷ[78] ἔθνει τῶν Ἰουδαίων, καὶ τούς τε Γαβαωνίτας πολέμῳ νικᾷ· τὴν δὲ πόλιν Ἱεριχὼ καταναλπίσας κατέβαλε· καὶ θνήσκει, τὰ πάντα βεβιωκὼς ἔτη ρί. κατὰ τοῦτον ἱστορεῖται γεγονέναι Σύρος, οὗ ἡ Συρία ἐπώνυμος. πρεσβύτεροι δὲ μετὰ τὸν Ἰησοῦν προΐστανται τοῦ λαοῦ, ἐπὶ ἔτη κη'· τούτων τοὺς χρόνους Εὐσέβιος τῷ αὐτοῦ Χρονικῷ κανονίῳ προσήρμοσεν· Ἀφρικανὸς δὲ λ' ἐνιαυτοὺς λέγει κρατῆσαι· ἕτεροι

76 φυγμαλίων Joseph. Physmanon Euseb. Vers. Arm. Lat. amb. om. μυγδαλίων. 77 αὐτοῦ Joseph. 78 τῶν Cod.

δὲ κδ', καὶ ἄλλοι, κιη'· ἅτινα προκρίναντες, ἐκτεθείκαμεν διὰ τὴν καθ' ἡμᾶς[79] παράδοσιν καλῶς συναρμόττουσαν.

Ἐν τούτοις τοῖς χρόνοις ἱστοροῦνται Προμηθεὺς καὶ Ἐπιμηθεὺς, καὶ Ἄτλας, αὐτάδελφοι. καὶ Προμηθεὺς μὲν, πλάττειν ἀνθρώπους ἐμυθεύετο[80]· σοφὸς γὰρ ὢν, ἀπὸ τῆς ἄγαν ἰδιωτίας μετέπλαττεν αὐτοὺς εἰς φιλοσοφίαν. Ἐπιμηθεὺς δὲ τὴν λυρικὴν ἐφευρεῖν παρὰ τοῖς παλαιοῖς ἐπιφημίζεται. Ἄτλας δὲ μέγιστος ἀστρολόγος διεφημίζετο· ἐπιστήμης δὲ ἕνεκα φέρειν αὐτὸν ἐπὶ τῆς κεφαλῆς τὸν οὐρανὸν ἱστοροῦσιν· οἷς χρόνοις καὶ Ἐπίδαυρος[81] πόλις κτίζεται εἰς τὸ Ἄργος. μετὰ τὴν τῶν πρεσβυτέρων προστασίαν Χουσὰρ[82] ἀλλόφυλος πολεμεῖ καὶ ὑποτάσσει τὸν Ἰσραὴλ ἔτη ιη', ἅπερ Εὐσέβιος τῷ ἑαυτοῦ κανονίῳ οὐ συνηγάγετο.

Ἐν τούτοις τοῖς χρόνοις Αἱμὼν[83] πρῶτος βασιλεύει Θεσσαλίας. Φόρβας δὲ ὁ τοῦ Ἄργους βασιλεὺς, Ῥόδου κατέσχε. τότε δὴ κατισχύσαι λόγος ἐπέχει τὸν Γοθονιὴλ ἀλλοφύλων, καὶ λυθρώσασθαι τὸ ἔθνος, καὶ κατάρξαι παντὸς Ἰσραήλ.

Γοθονιὴλ πρῶτος Κριτὴς παρ' Ἑβραίοις κατασταθεὶς, ἔκρινε τὸν λαὸν ἔτη μβ'· εἰκοστῷ δὲ καὶ πρώτῳ ἀρχομένῳ ἔτει τῆς Γοθονιὴλ ἀρχοντίας, ἀναφαίνεται ἐν Ἑλλάδι ἡ τῶν Ἀθηναίων βασιλεία, ἔτους διαγεγονότος ἀπὸ Ἀδὰμ, τρισχιλιοστοῦ ἐνακοσιοστοῦ πεντηκοστοῦ· ὑστερεῖ γὰρ τὴν Ἀργείων βασιλείαν, ἔτεσι τ'. βασιλεύει δὲ πρῶτος Ἀθηναίων Κέκροψ ὁ ἐπίκλην διφυής· ὃς καὶ κτίζει τὴν πόλιν· ἐφ' οὗ ἡ ἐλαία πρῶτον ἐφύη, καὶ ἀπὸ τῆς Ἀθηνᾶς ἡ πόλις τὸ ἐπώνυμον εἴληφεν[84]. ἐλέγετο δὲ διφυὴς, ἢ διὰ τὸ μῆκος τοῦ σώματος, ἢ ὅτι Αἰγύπτιος ὢν, τὰς δύο γλώσσας ἠπίστατο. ἀπὸ δὲ Κέκροπος ἐπὶ τὴν Ἰλίου ἅλωσιν, ἔτη καθαριθμοῦνται τοε'. ἀπὸ δὲ Ἰλίου ἁλώσεως ἐπὶ τὴν πρώτην Ὀλυμπιάδα ἔτη ζ' καὶ υ'· τοῦτο γὰρ καὶ Πορφυρίῳ δοκεῖ. ἀπὸ δὲ πρώτης Ὀλυμπιάδος μέχρις Εὐξίνου[85] τοῦ τελευταίου βασιλεύσαντος Ἀθηναίων, ἔτη γ' καὶ ϛ'· βασιλεῖς μὲν οἱ πάντες, ζ' καὶ

79 καθημένην Cod. 80 ἐμύθευτο Cod. 81 ἐπίδαρος Cod. 82 χουσαρσαθαὶμ Sept. Jud. iii. 8. 83 λιμὼν Cod. 84 εἴληφθεν Cod. 85 Leg. Ἐρυξίου. Cf. Euseb. Arm. Lat. Vers. p. 275. et Isagog. ad Can. p. 28.

λ'· ἔτη δὲ αὐτῶν, ωοε'· ἀρξάμενοι κατὰ Γοθονιὴλ πρῶτον Κριτῶν Ἰουδαίων, ἔληξαν κατὰ τὴν κδ' Ὀλυμπιάδα, ἔτος τὸ πρῶτον· χρόνος δ' οὗτος ἦν Μανασσῆ βασιλέως Ἰούδα. Κέκροπα δέ φασι πρῶτον βοῦν θῦσαι, καὶ τὸ τοῦ Διὸς ἀνευρεῖν ὄνομα· ἐπ' αὐτοῦ δὲ Κεκροπία ἡ χώρα. ἀφ' ὧν τὰ Ἑλλήνων θαύμασια μυθολογεῖται. μετὰ δὲ τὸν θάνατον τοῦ Γοθονιὴλ, ἰσχύουσιν ἀλλόφυλοι καθ' Ἑβραίων ἐπὶ χρόνους ι' καὶ η'· οὓς καὶ συνάπτουσιν Ἰουδαῖοι τοῖς τοῦ Ἀὼδ ἔτεσι, κατὰ τὰς αὐτῶν παραδόσεις.

Αἴγλων ἀλλόφυλος ὑπέταξε τὸν Ἰσραὴλ ἔτη ιη', ἐφ' οὗ γίνεται ὁ κατὰ Δευκαλίωνα κατακλυσμὸς[86] ἐν Θεσσαλίᾳ, καὶ ὁ ἐπὶ Φαέθοντος ἐμπρησμὸς ἐν Αἰθιοπίᾳ· καὶ πολλαὶ φθοραὶ γεγόνασι τοπικαὶ, ὥς φησι Πλάτων. τότε καὶ Ἕλλην οὕτω καλούμενος ὁ Δευκαλίωνος καὶ Πύρρας παῖς, ἀρχὴ τοῖς Ἕλλησι γέγονε τῆς τοιαύτης προσηγορίας, Γραικῶν πρῶτον καλουμένων. τότε καὶ Κόρινθος κτίζεται, ἡ πάλαι Ἔφυρα καλουμένη. ἐν δὲ τῇ Ἰουδαίᾳ Ἀὼδ τις τῶν Κριτῶν δυναστεύσας, ἐλυτρώσατο τὸ ἔθνος· Ἀὼδ καὶ Σεμέγαρ, ἔκριναν ἔτη π'.

,δξη Ἐφ' οὗ ἀμπέλου εὕρεσις ἐγνωρίσθη ὑπὸ Διονύσου, οὐ τοῦ ἐκ Σεμέλης, ἀλλὰ τοῦ ἐπ' Ἄμμωνος καὶ Ἀμαλθείας[87] φασὶν Αἰγύπτιοι. τότε καὶ Ἄρειος πάγος ἐν Ἀθήναις ἐκλήθη· τότε καὶ Ἡρακλῆς ὁ πρῶτος ἐν Φοινίκῃ ἐγνωρίζετο. τηνικαῦτα καὶ Κραναοῦ βασιλεύσαντος, ἐπώνυμος γίνεται ἡ Ἀττικὴ Ἀτθίδος τῆς Κραναοῦ θυγατρός. τότε καὶ Δαναὸς Αἰγύπτου βασιλεύει κατὰ τὸν Μανέθω. τότε καὶ Λακεδαιμονίων πόλις ἐκτίσθη ὑπὸ Λακεδαίμονος τοῦ ἐκ Μεσήνης. τότε καὶ Ἀρκὰς ὁ Διὸς παῖς Πελασγῶν κρατήσας, Ἀρκαδίαν τὴν χώραν κατωνόμασε. τότε καὶ Αἴγυπτος ἡ πρότερον Ἀέρεια καλουμένη, ἔτυχε τῆς τοιᾶσδε προσηγορίας.

Ὅρα ὧδε καὶ τὴν τῆς Ἰταλίας, ἤτοι Ῥωμαίων βασιλείαν, προτερεύουσαν τὴν τῶν Τρωικῶν ἔτεσι ε', καὶ κ', καὶ τ'· ὑστεροῦσαν δὲ μικρὸν τῆς τῶν Ἀθηναίων βασιλείας ὡς ἔτεσι ν'· ἄρχουσαν κατὰ Κραναὸν δεύτερον βασιλέα Ἀθηναίων· ἐφ' οὗ ἔτος ἀπὸ Ἀδὰμ διεγένετο ,δι'. βασιλεύει δὲ πρῶτος ἐν τῇ Ἑσπέρᾳ Σατοῦρνος,

86 κατακλυσμὸν Cod. 87 ἀμαλθείυς Cod. 88 ἀρχὴ τῆς τῶν Ῥωμαίων βασιλείας.

ἀφ' οὗ Σατουρνία ἡ χώρα τὸ πρῶτον προσωνομάσθη. ἄρχει δὲ κατὰ τὸ ιγ' ἔτος Ἀὼδ τοῦ εἰρημένου Κριτοῦ· τὰ δὲ περὶ ταύτης ἰδίως ὕστερον ἀναγράψω, καὶ τέως ἐπὶ τὴν Ἰουδαϊκὴν μεταβῶμεν ἱστορίαν.

,δπη Μετὰ τὸν θάνατον Ἀὼδ μεταναστεῦσαι λόγος ἐπέχει ἀλλοφύλους. Ἰαβεὶμ ἀλλόφυλος ὑπέταξε τὸν Ἰσραὴλ ἔτη κ', ἃ καὶ συνάπτουσιν Ἑβραῖοι τοῖς Δεβόρρα[89] καὶ Βαρὰχ ἔτεσι, κατὰ τὰς αὐτῶν ἱστορίας καὶ παραδόσεις. κατὰ δὲ τούτους τοὺς χρόνους Κάδμος[90] Θηβῶν τῶν Βοιωτίων βασιλεύει· οὗ τῆς θυγατρὸς[91] Σεμέλης γίνεται Διόνυσος· ἐφ' οὗ Λίνος καὶ Ἀμφίων καὶ Ζῆθος μουσουργοὶ ἐγνωρίζοντο· οἷς χρόνοις Μῆλος καὶ Θάσος καὶ Καλλίστη[92], πόλεις, κτίζονται· ἐν οἷς καὶ Βιθυνία ὑπὸ Φοίνικος, Μαρυανδίνη πρὶν καλουμένη.

,δρκη Δεβόρρα γυνὴ σὺν Βαρὰκ ἀναστάντες ἔκριναν τὸν Ἰσραὴλ ἔτη μ'· παρὰ δὲ Ἕλλησιν Ἐφύρα ἡ καλουμένη Κόρινθος ἐκτίσθη ὑπὸ Σισύφου· ἐν δὲ Θήβαις ταῖς Βοιωτίαις τίκτεται Διόνυσος ἐκ Σεμέλης· οὗ μετ' ὀλίγον, καὶ τὰ περὶ Περσέα ἱστορούμενα συμβαίνει. τότε Ἀμφίων καὶ Ζῆθος βασιλεύουσι Θηβῶν, τὸν Κάδμου ἐκβαλόντες, ὃν Ἀμφίονα λόγος ἐπέχει κιθαρίζοντα θέλγειν τοὺς λίθους· ἦσαν δὲ οὗτοι οἱ λίθοι τινὲς ἀκροαταί. Ἰδαῖοι[93] δὲ Δά-
,δρλε κτυλοι κατὰ τούτους τοὺς χρόνους λέγονται εἶναι. Ὠρὴβ καὶ Ζὴβ, ἀλλόφυλοι, ὑπέταξαν τὸν Ἰσραὴλ ἔτη ζ'· ἃ καὶ συνάπτουσιν Ἑβραῖοι τοῖς τοῦ Γεδεὼν ἔτεσι, κατὰ τὰς αὐτῶν παραδόσεις.

,δροε Γεδεὼν καταπολεμήσας τοὺς ἀλλοφύλους, ἔκρινεν ἔτη μ'. τούτῳ ἑβδομήκοντα υἱοὶ ἦσαν ἐκ διαφόρων παλλακῶν. οὐκ ἄπιστον δὲ παρὰ βαρβάροις ἡ πολυτεκνία, διὰ τὸ πλῆθος τῶν παλλακῶν. ἐν δὲ τοῖς χρόνοις τούτοις, παρ' Ἕλλησιν ἱστορεῖται Περσεύς· ὃς ἐπὶ Πέρσας ἐστράτευσε, καὶ τὴν Γοργόνα ἐκαρατόμησε, κόρην εὔμορφον, διὰ τοῦ κάλλους ἐξιστῶσαν τοὺς θεατὰς, ὡς ἀπολιθοῦσθαι δοκεῖν· ὡς Δίδυμος[94] ἱστορεῖ κατὰ τὴν ἑβδόμην, ἐν ᾗ καὶ πρατίθεται τὸν συγγραφέα ταύτης. τότε καὶ Διόνυσος ἐπὶ Ἰνδοὺς

89 δὲ βόρρα Cod. 90 κάδυμος Cod. 91 θυγαθρὸς Cod. 92 Καλλί Cod. 93 ἰουδαῖοι Cod. 94 Syncell. p. 129. Δίδυμός φησιν ἐν ἱστορίᾳ ξένῃ.

ἐστράτευσε, καὶ Νύσσαν πόλιν ἔκτισε πρὸς τῷ Ἰνδῷ ποταμῷ· καὶ Περσεῖ συστὰς εἰς μάχην ἀναιρεῖ Διόνυσος, ὥς φησὶ Δήμαρχος[93] ὁ ποιητὴς, οὐχ ὁ ῥήτωρ. θάπτεται δὲ Διόνυσος ἐν Δελφοῖς παρὰ τὸν χρυσοῦν Ἀπόλλωνα. Μελάμπους δὲ κατὰ τούτους τοὺς χρόνους ἐγνωρίζετο μαντευόμενος. ἐν δὲ Λιβύῃ κτίζεται πόλις Κυρήνη.

͵δροη Ἀβιμέλεχ ἔκρινεν ἔτη τρία· οὗτος υἱός ἐστι τοῦ Γεδεὼν ἐκ παλλακίδος, ὃς ἀνεῖλε τοὺς υἱοὺς τοῦ πατρὸς αὐτοῦ, καὶ ἦρξε τοῦ Ἰσραὴλ ἔτη γ΄.

͵δσα Θώλα μετὰ Ἀβιμέλεχ ἐκράτησεν ἔτη γ΄ καὶ κ΄. ἑπτακαιδεκάτῳ γε μὴν Θώλα τοῦ Ἰουδαίων Κριτοῦ, οἱ Ἀργείων βασιλεῖς ἐπαύσαντο, διαρκέσαντες[94] ἔτη φμε΄· ἀρξάμενοι μὲν κατὰ τὸ η΄ καὶ μ΄ ἔτος Ἰωσὴφ υἱοῦ Ἰακὼβ, λήξαντες δὲ κατὰ τὸ προκείμενον ἔτος. Περσέως γὰρ ἀκουσίως τὸν Ἀκρίσιον ἀποκτείναντος, ἔσχατον βασιλέα γεγονότα τοῦ Ἄργους, μετέστη ἐκ τοῦ Ἄργους εἰς Μυκήνας, καὶ συμβασιλεύει Σθελένῳ[95] ἡμέρας οὐκ ὀλίγας, τῷ[96] Εὐρισθεῖ κατὰ κοινὴν γνώμην μεταδόντες τὴν ἀρχήν· καὶ βασιλεύονται Μυκῆναι ἐπὶ ἕτερα ἔτη σι΄, μέχρι τῆς τῶν Ἡρακλειδῶν καθόδου.

Ἐν τούτοις τοῖς ἔτεσιν Οἰνόμαος ἀγῶνα ἐτέλει ἐν Πίσσῃ, χώρα δὲ ἦν τῆς Πελοποννήσου, ἅρμασι τετραπώλοις ἀγωνιζομένων, γῆς καὶ θαλάσσης, ἤτοι Δημήτρας καὶ Ποσειδῶνος. τὴν γὰρ Δημήτραν τὴν γῆν εἶναι λέγουσιν, ἣν καὶ ἐκάλεσαν Ἄνθουσαν. τὸν δὲ τῆς θαλάσσης βυθὸν ἐκάλεσαν Ποσειδῶνα· ὁμοίως δὲ καὶ τῶν ἄλλων δύο ἀνταγωνιστῶν. εἰς τιμὴν γὰρ τῶν τεσσάρων στοιχείων ἐτυπώθη παρ᾽ αὐτοῖς ἡ Ὀλυμπιακὴ ἀγωνία· λέγω δὴ γῆς καὶ θαλάσσης, πυρὸς καὶ ἀέρος. καὶ τὸν τῆς γῆς ἡνίοχον ἐνδύσαντες τὸ χλοῶδες πράσινον σχῆμα, ἐκάλουν Ὀλύμπιον· τὸν δὲ τῆς θαλάσσης, ὅ ἐστι τῶν ὑδάτων, ἐνδύσαντα τὸ κυάνεον σχῆμα τὸ βένετον, ἐκάλεσαν ὀΰυΐον[97]· τὸν δὲ τοῦ πυρὸς ἐνδύσαντες τὸν τοῦ ἡλίου ἐρυθρὸν χιτῶνα, ἐκάλεσαν ἀνατέλλοντα· τὸν δὲ τοῦ ἀέρος ἐνδύσαντες λευκὸν χιτῶνα, ἐκάλεσαν Εἰκάσιον. τὸν δὲ ἱππικὸν τοῦτον ἀγῶνα, πρῶτος ἐπενόησεν Εὐάλιος[98] τὶς υἱὸς Ποσειδῶνος

[93] Leg. Δείναρχος. [94] διαρκέσοντες Cod. [95] στενέλῳ Cod.
[96] τῶν Cod. [97] (Sic) an leg. οὐράνιον? [98] Leg. fors. Αἰγιαλεύς.

ἅρμασι διπώλοις· ὃς ἠγάγετο γυναῖκα Λιβύην ὀνόματι, καὶ χώραν κρατήσας, ὠνόμασε Λιβύην, εἰς ὄνομα τῆς αὐτοῦ γυναικός. τοῖς δὲ τετραπώλοις ἅρμασιν Οἰνόμαος πρῶτος ἐπετέλεσε· διὸ καὶ περιβόητος γέγονε, καθὼς ἐν ταῖς Χάρακος εἴρηται ἱστορίαις· ὃς συνεγράψατο, "ὅτι τὸ τοῦ ἱππικοῦ κτίσμα εἰς τὴν τοῦ κόσμου "διοίκησιν ᾠκονομήθη· τουτέστι τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ "τῆς θαλάσσης. τὰς γὰρ δώδεκα θύρας, τοὺς δώδεκα οἴκους "ἱστόρησαν τοῦ ζωδιακοῦ κύκλου, τοῦ διοικοῦντος τὴν γῆν καὶ "τὴν θάλασσαν, καὶ τῶν ἄνθρωπων τὸν παροδικὸν τοῦ βίου δρό-"μον· τὸ δὲ πελμα τοῦ ἱππικοῦ, τὴν γῆν πᾶσαν εἶναι· τὸν δὲ "Εὔριππον, τὴν θάλασσαν ὑπὸ τὴν γῆν μεσαζομένην· τὸν δὲ ἐπὶ "τὰς θύρας καμπτὸν, τὴν ἀνατολήν· τὸν δὲ ἐπὶ τὴν σφενδόνην, "τὴν δύσιν· τὰ δὲ ἑπτὰ σπαθέα, τὸν δρόμον καὶ τὴν κίνησιν τῆς "ἀστροθεσίας τῶν ἑπτὰ ἀστέρων τῆς μεγάλης ἄρκτου."

Μετὰ δὲ Οἰνόμαον Πέλοψ τῆς ἀρχῆς κρατήσας, προέστη καὶ αὐτὸς τῆς ἱππικῆς θεωρίας, καὶ ἔπειτα οἱ μετ' αὐτὸν βασιλεῖς· μεθ' ὃν διαδραμόντων ἐτῶν φ̄ ποῦ καὶ ν̄ Ῥωμύλος[99] βασιλεύσας τῆς Ῥώμης, τήν τε πόλιν Ῥώμην κτίζει, καὶ ἱππικὸν ἐν Ῥώμῃ ἐτέλεσε πρῶτος· ὡσαύτως τῷ ὀνόματι[1] ἅρμασι τετραπώλοις, ὁμοίως εἰς τὴν τῶν τεσσάρων στοιχείων τιμὴν, καὶ χαρμονὴν τῆς τε γῆς καὶ θαλάσσης, πυρός τε καὶ ἀέρος· ἅτινα καὶ αὐτὸς τοῖς αὐτοῖς τέτρασι στοιχείοις ὠνόμασε· τῇ γῇ τὸ πράσινον, ὅ ἐστι τὸ χλοῶδες· τῇ δὲ θαλάσσῃ, ὅ ἐστι τοῖς ὕδασι, τὸ βένετον, ὡς κυανόν· τῷ δὲ πυρὶ, τὸ ῥούσιον ὡς ἐρυθρόν· τῷ δὲ ἀέρι, τὸ λευκόν. ἐκάλεσε δὲ τὸ πράσινον μέρος, ὅ ἐστι Ῥωμαϊστὶ τὸ ἐνπαράμονον παρανσέτουϊν, ὃ λέγεται τὸ παραμένειν· διότι ἡ χλοώδης γῆ, διαπαντὸς ἵσταται σὺν τοῖς ἄλσεσι· τὸ δὲ βένετον, ἐκ τοῦ εἶναι ὑπὸ τὴν Ῥώμης ἐπαρχίαν, μεγάλην χώραν λεγομένην Βενετίαν, ἥτις μητρόπολις ἐστὶν Ἀκυληΐας· κἀκεῖθεν ἐπέρχεται τὰ κυανὰ, τουτέστι τὰ βένετα βάμματα. καὶ προσεκόλλησαν τῷ πρασίνῳ μέρει, ὅ ἐστι τῇ γῇ, τὸ λευκὸν, καθότι, φησὶ, βρέχει καὶ ὑπουργεῖ, καὶ ἁρμόττει τῇ γῇ. καὶ τῷ βενέτῳ μέρει, ὅ ἐστι τοῖς ὕδασι, προεκόλλησαν συμμίξας τὸ ῥούσιον μέρος, καὶ οὐκέτι[2] ὠνό-

99 Cod. ρωμιλος. 1 Leg. vid. Οἰνομάῳ. 2 οὐκέστι Cod.

μασαν πρὸς ἀλλήλους. ἐπ᾽ ἐκείνου δὲ καὶ οἱ μετ᾽ αὐτοὺς βασιλεῖς, τῷ αὐτῷ κανόνι ἐχρήσαντο[3]. τὸ δὲ τοῦ Βυζαντίου ἱππικὸν ἔκτισε Σεῦηρος ὁ Ῥωμαίων βασιλεὺς, πρὸς θεραπείαν τῶν Βυζαντίων, ὅπερ οὐκ ἔφθασε τελειῶσαι, καὶ διέμεινεν ἀτέλεστον μέχρι Κωνσταντίνου τοῦ πρώτου καὶ μεγάλου Χριστιανῶν βασιλέως. ὃς κτίσας τὴν πόλιν, μετωνόμασε Κωνσταντινούπολιν· ἣν καὶ κοσμήσας χαλκουργήμασι, καὶ τὸ ἱππικὸν ἀναπληρώσας, πρῶτος ἐπετέλεσεν ἐν τῇ γενεθλίᾳ ἡμέρᾳ τῆς πόλεως, τὴν ἱππικὴν ἀγωνίαν· ἥτις τελεῖται ιαʹ ἡμέρᾳ Μαίου· καὶ οἱ μὲν τὰς μεσογαίους οἰκοῦντες πολῖται καὶ ἐπιχώριοι, καὶ πάντες οἱ ἐν τῇ γῇ καὶ ἐν * * * κάμνοντες, ηὔχοντο νικῆσαι τὸν φοροῦντα τὸ χλοῶδες σχῆμα. οἰωνιζόμενοι, ὅτι εἰ ἡττηθῇ ὁ ὑπὲρ τῆς Δημήτρας ἀγωνιζόμενος, λιμὸς σίτου καὶ ἐλαίου σπάνις καὶ ἄλλων καρπῶν γίνεται. οἱ δὲ τὰς παραλίους πόλεις οἰκοῦντες καὶ τὰς νήσους καὶ κώμας, ηὔχοντο νικῆσαι τὸν φοροῦντα τὸ κυανὸν σχῆμα, τουτέστι τὸ τοῦ Ποσειδῶνος· οἰωνιζόμενοι, ὡς ἐὰν ἡττηθῇ ὁ ὑπὲρ τοῦ Ποσειδῶνος ἀγωνιζόμενος, ἔκλειψις ἰχθύων γίνεται, καὶ ναυάγια θαλάσσης, καὶ ἀνέμων βιαίων ἀνάγκαι. καὶ ἔτρεχον πάντες θεωρῆσαι τὸν ἐτήσιον βασιλικὸν ἀγῶνα· τὴν δὲ τοῦ γενεθλίου τῆς πόλεως ἡμέραν ἔστιν ἰδεῖν τοὺς τοῦ πρασίνου μέρους προσάγοντας ἐκ τῶν σπερμάτων τῆς γῆς, λάχανα, καὶ τοῖς ἄνθεσι κοσμοῦντας τὴν γενέθλιον ἡμέραν· ὁμοίως δὲ καὶ τοὺς τοῦ μέρους τῶν βενέτων, προσφέροντας ἰχθύας, καὶ διαδιδόντας τοῖς ὄχλοις, ἃ καὶ διετυπώθη μέχρι τῆς σήμερον. καὶ ταῦτα μὲν περὶ τοῦ ἱππικοῦ.

Ἐν τοῖσδε τοῖς ἔτεσι καὶ Τρωὰς πόλις κτίζεται ἐν Φρυγίᾳ, ὑπὸ Τρωὸς τοῦ ἐκεῖσε βασιλεύοντος· πρὸ ρʹ καὶ λʹ ἐτῶν τῆς Ἰλίου ἁλώσεως.

͵δσκγ Ἰάειρ μετὰ τὸν Θῶλα κρατεῖ τοῦ ἔθνους ἐπὶ ἔτη βʹ καὶ κʹ. ἐφ᾽ οὗ τὸν ἐν Ἐλευσῖνι ναὸ νοἰκοδομῆσαι φασὶ, καὶ Μίλητον ὑπὸ Μιλήτου αὐτόχθονος κτισθῆναι. τότε δὴ καὶ τὴν Ἡρακλείου γέννησιν ἐπ᾽ Ἀλκμήνης[4] γενέσθαι, καὶ Εὐρώπην τὴν Ἀγήνορος ὑπὸ Κρητῶν ἁρπαγῆναι λόγος ἔχει. μετὰ δὲ τὸν Ἰαεὶρ δουλεύουσιν Ἑβραῖοι Ἀμανίταις.

3 ἐχρήσατο Cod. 4 ἀλμήνης Cod.

͵δσμα Ἀμὰν ἀλλόφυλος ὑπέτασσε τὸν Ἰσραὴλ ἔτη ιη΄. ὧν κατὰ τὴν ἀρχὴν τῆς τυραννίδος, Ἰταλίας βασιλεύει Ἰταλός· ἀφ᾽ οὗ καὶ Ἰταλία. ἐν δὲ Φρυγίᾳ βασιλεύσας Ἶλιος, κτίζει πόλιν[6] ἀφ᾽ ἑαυτοῦ θέμενος προσηγορίαν, πρὸ β΄ καὶ ζ΄ ἐτῶν τῆς Ἰλίου ἁλώσεως· ἐν δὲ Ἀθήναις, Αἰγεὺς τὸ βασίλειον διέπει· ἐφ᾽ οὗ τὰ κατὰ Δαίδαλον· ὃς ἔδοξεν ἀγάλματα κινούμενα ποιεῖν. πρῶτος γὰρ διέστησε τοὺς πόδας τῶν ἀγαλμάτων· καὶ ὡς ἅμα Ἰκάρῳ τῷ υἱῷ Δαίδαλος πλόου λαβόμενος ἔφυγε Μίνωα[6] τὸν τῆς Κρήτης ἄρχοντα· διὰ δὲ τὸ ἀνεύρετον τῆς φυγῆς, ἀποπτῆναι δόξαι. ἐν δὲ Ἀσίᾳ Κύζικος πόλις κτίζεται ὑπὸ Κυζίκου αὐτόχθονος, τοῦ καὶ τὸν τόπον διέποντος.

͵δσμζ΄ Ἰεφθάε μετὰ τὴν τῶν Ἀμανιτῶν ἐπικράτησιν, ἀναστὰς ἔκρινε τὸν Ἰσραὴλ ἔτη ς΄. ὃς τὴν ἑαυτοῦ θυγατέρα μονογενῆ οὖσαν καὶ παρθένον, ὡλοκαύτωσεν ὡς ἐδόκει τῷ Θεῷ. Τύρος δὲ πόλις ἐκτίσθη πρὸ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ ὡς ἔτεσι, σ΄ καὶ μ΄, ὡς ἱστορεῖ Ἰώσηπος ἐν τρίτῳ λόγῳ. τότε καὶ Ὀρφεὺς ὁ Θρᾷξ ἐγνωρίζετο· οὗ μαθητὴς Μουσαῖος, ὁ Εὐμόλπου καὶ Λίνος, ἄμφω φιλόσοφοι. ἐν δὲ τῇ Ἰταλίᾳ Μόργης βασιλεύει· ἐφ᾽ οὗ Μίνως ὁ Εὐρώπης ἐθαλασσοκράτει, καὶ Κρήταις ἐνομοθέτει· γυνὴ δὲ αὐτοῦ Πασιφάη ὄνομα, ἐξ ἧς ἐγεννήθη ὁ Μινώταυρος. Κώκαλος δὲ τὴν Σικελίαν διεῖπεν, εἰς ὃν προσέφυγε Δαίδαλος.

͵δσνδ Εὐσεβὼν μετὰ Ἰεφθάε κρατεῖ τοῦ ἔθνους, ἔτη ζ΄· ἐν οἷς χρόνοις Μινώταυρος ὁ Μίνωος καὶ Πασιφάης παῖς κτίζει Ταυρομένειον ἐν Σικελίᾳ.

δσξδ Ἐλὼν μετ᾽ ἐκεῖνον κρατεῖ τοῦ ἔθνους ἔτη ι΄. ἐν τούτοις τοῖς χρόνοις Ἡρακλῆς ὁ ἥρως, τὰ ἆθλα τέλει· ἔνθα δὲ καὶ τὰ τῆς Σφιγγὸς καὶ Οἰδίποδος ἱστορούμενα συμβαίνει, καὶ τὴν Ἀργὼ καὶ τοὺς Ἀργοναύτας τὰ περὶ Ἰάσονα καὶ Πολυδεύκην, καὶ Ὕλλαν καὶ Τελαμῶνα. οἵτινες ἀνιόντες τὸν ἀπόπλουν τῆς ποντικῆς θαλάσσης, ἐπολεμήθησαν ἐξαίφνης ὑπὸ Κυζίκου βασιλέως, τῆς Ἑλλησπόντου[7]· καὶ συγκροτήσαντες ναυμαχίαν ἐφόνευσαν τὸν Κύζικον, καὶ μεμαθηκότες ἀπὸ τῶν πολιτῶν ὅτι ὁ Κύζικος ἦν ὁ σφαγεὶς, ἐπένθησαν δι᾽ αὐτὸν, ὅτι συγγενὴς αὐτῶν ὑπῆρχε, καὶ ἐκ τῆς

5 ὅτε ἐκτίσθη ἡ Ἴλιος. 6 μηνωνα Cod. 7 ἐλησπόντου Cod.

ἐκείνων χώρας ἔφερε τὸ γένος. καὶ ᾔτουν συγγνώμην τῇ τῶν ἀμφοτέρων ἀγνοίᾳ, καὶ ἀπολογησάμενοι πρὸς τοῦτο, ἔκτισαν ἐκεῖσε ἱερὸν, καὶ ἐξορμήσαντες κατέπλευσαν ἐπὶ τὰς Πριγκήπου[8] νήσους· κἀκεῖθεν ἀνῆλθον τὸν Χαλκηδόνος πλοῦν, περάσαι βουλόμενοι τὸν ἀνάπλουν τῆς Ποντικῆς θαλάσσης. καὶ ἐπολεμήθησαν πάλιν ὑπὸ τοῦ Ἀμύκου, καὶ φοβηθέντες τὴν τοῦ ἀνδρὸς δύναμιν, κατέφυγον ἐν τόπῳ[9] τινὶ κατάλσῳ, ἐν ᾧ ἐθεάσαντο ὡς ἐν ὀπτασίᾳ, δύναμιν τινὰ ὡς ἐκ τοῦ οὐρανοῦ προσπελάσασαν πρὸς αὐτοὺς, ἀνδρὸς φοβεροῦ φέροντος τοῖς ὤμοις πτέρυγας· ὅστις ἐχρημάτισεν αὐτοῖς τὴν κατὰ Ἀμύκου νίκην. καὶ οὗτοι θαρρήσαντες συνέβαλον τῷ Ἀμύκῳ, καὶ νικήσαντες ἐφόνευσαν αὐτὸν, καὶ εὐχαριστοῦντες, ἔκτισαν ἐν τῷ αὐτῷ τόπῳ, ὅπου τὴν δύναμιν, ἑωράκασι ἱερόν· στήσαντες ἐκεῖσε ἐκτύπωμα τῆς παρ' ἑαυτῷ[10] θεαθείσης δυνάμεως· καλέσαντες τὸν τόπον ἱερὸν Σωσθένιον[11]· ὅτι ἐκεῖ φύγοντες ἐσώθησαν· ὃ καὶ κέκληται παρὰ Βυζαντίοις ἕως τοῦ νῦν. ὅπερ ἱερὸν μετὰ τὸ βασιλεῦσαι Βυζαντίου ὁ μέγας Κωνσταντῖνος ἀπελθὼν ἐθεάσατο, καὶ τῷ ἐκτυπώματι τῆς στήλης προσεσχηκὼς, εἶπεν· "ἀγγέλου ἐστὶ σχῆμα τοῦτο." καὶ εὐξάμενος γνῶναι ὁποίας ἔστι δυνάμεως, εὐθέως διεγερθεὶς ἐκόσμησε τὸν τόπον, καὶ ἐπωνόμασε τὸ ἱερὸν τοῦ Ἀρχαγγέλου Μιχαήλ.

Ἀναπνεύσαντες δὲ πάλιν Ἡρακλῆς τε καὶ οἱ Διόσκουροι, Ὀρφεύς τε καὶ Ἀσκληπιὸς ὁ ἰατρὸς, καὶ οἱ Θεσπεσίου παῖδες, διὰ τὸ χρύσεον δέρας, ἔλαβον αὐτὸ κατὰ τὴν Μήδειαν, θυγατέρα βασιλέως Σκυθίας. γενόμενοι δὲ ἐν Τρωάδι, εὗρον Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, τοῦ ἐκεῖσε βασιλεύοντος, ὑπὸ τοῦ πατρὸς καταδιασθεῖσαν, καὶ ἁλύσεσι δεδεμένην παρ' αἰγιαλῷ· ᾗ προσεσχηκὼς ὁ Ἡρακλῆς, ἐρύσατο τοῦ θανάτου. ὁ δὲ ταύτης πατὴρ Λαομέδων κατιδὼν καὶ ἐξελθὼν τῆς πόλεως Ἰλίου, ἀπαντᾷ εὐχαριστῶν Ἡρακλεῖ καὶ τοῖς μετ' αὐτοῦ· οὓς καὶ πρὸς φιλίαν ἀγόμενος, ξενοδοχεῖ τοὺς ἄνδρας κατὰ βασιλικὴν μεγαλοψυχίαν. Ἡρακλῆς δὲ ἐπετίμα τῷ Λαομέδοντι, μηκέτι δοῦναι θυσίαν τὴν παρθένον· αὕτη δὲ ἐρωτηθεῖσα παρὰ τοῦ πατρὸς τί σοι ἐστὶ βουλή; μένειν

8 Πριγκιπίους Jo. Mal. ed. Corp. Byz. 9 κόλπῳ Jo. Mal. 10 αὐτῶν Mal. 11 Σωσθένην Mal.

ἐν τῇ πατρίδι, καὶ ἀντὶ σοῦ δοῦναι μὲν ἑτέραν θυσίαν, ἢ μᾶλλον ἀπελθεῖν σὺν τούτοις τοῖς ξένοις; ἡ δὲ φοβηθεῖσα μὴ πάλιν μετὰ τοῦτο ἐκδοθῇ εἰς θυσίαν, ἀπεκρίνατο· συμφέρει μετὰ τῶν ἐκ τοῦ θανάτου ῥυσαμένων με ἀπελθεῖν. εἶτα κατὰ στόμα τοῦ Πόντου γενόμενοι, προσπλέουσι τῇ γῇ βασιλεύοντος τότε τῆς χώρας Βύζαντος· ἀφ' οὗ καὶ τὴν πόλιν τῶν Βυζαντίων ὠνομᾶσθαι. ἐνταῦθα βωμοὺς ἱδρυσάμενοι, καὶ θεῷ τὰς εὐχὰς ἀποδόντες, καθιεροῦσι τὸν τόπον, καὶ ἔτι καὶ νῦν τιμώμενον ἀπὸ τῶν παραπλεόντων· ὅθεν καὶ ἱερὸν προσηγορεύθη, τὸ παρὰ τῷ στόματι τοῦ πόντου κείμενον ἐμπόριον. τούτων δὲ ἡμῖν εὐκρινηθέντων, μεταβῶμεν ἐπὶ τὴν Ἰουδαϊκὴν ἱστορίαν.

Ἄβδων ὁ καὶ Λάβδων, κρατεῖ ἔτη ιη'. ἐν τούτοις τοῖς ἔτεσι
͵δσοβ Μήδεια ἡ Κολχὶς ἐν Ἀθήναις διάγουσα, καὶ παρ' Αἰήτῃ[10] τῷ Ἀθηναίων βασιλεῖ οὖσα χρόνους τινὰς, ἀνεχώρησεν ἐξ αὐτοῦ. ἀπάρασα δὲ εἰς Ἀσίαν, καὶ συνοικήσασα τινὶ τῶν βασιλέων Ἀσίας, φασὶ γεννῆσαι Μῆδον· οὗ τῆς προσωνυμίας μετείληφεν ἡ χώρα. ἐν δὲ τῇ Ἰουδαίᾳ μετὰ τὸν Ἄβδωνα[11] κρατοῦσιν Ἰουδαίων ἀλλόφυλοι, οἱ λεγόμενοι Φιλιστιαῖοι.

͵δτια Φιλιστιεὶμ ἀλλόφυλος ὑπέταξε τὸν Ἰσραὴλ ἔτη μ'· ἐφ' οἷς χρόνοις Ἀθηναίων βασιλεύει Θησεὺς, ἐπὶ ἔτη λ'. ὃς τοὺς Ἀθηναίους κατὰ χώραν διεσπαρμένους τὸ πρότερον εἰς μίαν συναγαγὼν πόλιν, ἐξωστρακίσθη Μίνως[12] δὲ ὁ Κρήτης βασιλεὺς, ἐπὶ Δαίδαλον κατὰ Σικελίαν ἐστράτευσεν, ὃς ἀναιρεῖται ὑπὸ τῶν Κωκάλου θυγατέρων. τότε δὴ καὶ τὰ περὶ τὸν Μινώταυρον· ὃν Φιλόχορος[13] ἱστορεῖ τὸν Μίνω στρατηγὸν γενέσθαι. Ταῦρος δὲ τὸ ὄνομα, διὰ τὸ ὠμὸν καὶ ἀνήμερον αὐτὸν εἶναι κατὰ τὴν φύσιν· λέγεται δὲ παῖς εἶναι Μίνωος καὶ Πασιφάης. καὶ ταῦτα μὲν ἐν Ἀθήναις. Ἐν δὲ Ἰταλίᾳ βασιλεύει Λατῖνος· ἀφ' οὗ Λατινία ἡ χώρα προσωνομάσθη· οὗ τὸ λ' καὶ β ἔτος, τὸ Ἴλιον ἥλω. ἐν δὲ Ἄργει[14] βασιλεύει Ἀγαμέμνων· οὗ τὸ ιη' ἔτος, τὴν Ἴλιον πόλιν αἰχμαλωτισθῆναι συνέβη. τῆς δὲ Σπάρτης Μενέλαος ἄρχει, ἀδελφὸς Ἀγαμέμνονος. ἐν δὲ τῇ Φρυγίᾳ κατὰ τὴν Ἴλιον πόλιν βασιλεύει Πρίαμος υἱὸς Λαομέδοντος· ἐν δὲ τῇ Ἰουδαίᾳ, Ἠλεὶ ὁ ἱερεὺς

[10] Leg. Αἰγεῖ. [11] ἄδωνα Cod. [12] μόνος Cod. [13] φιλόχωρος Cod. [14] ἄρσει Cod.

͵δτκε παρῆν λειτουργῶν τῷ Κυρίῳ. Σαμψὼν δὲ τότε διάσημον γεγονότα τῇ ἰσχύϊ, φασὶν ὡς παραβάλεσθαι αὐτὸν ταῖς Ἡρακλέος πράξεσιν. Σαμψὼν ἔκρινε τὸν Ἰσραὴλ μέχρι τῆς Ἰλίου ἁλώσεως, ἔτη ιγ΄. κατὰ τὸ πρῶτον δὲ ἔτος τῆς ἡγεμονίας Σαμψὼν, Ἀλέξανδρος ὁ καὶ Πάρις υἱὸς Πριάμου, εἰς Ἑλλάδα κατέρχεται, τοῖς θεοῖς εὐξάμενος· καὶ ἐν Πελοποννήσῳ γενόμενος, ἁρπάζει Ἑλένην ἐκ πόλεως Σπάρτης, τὴν ἤδη γεγηραμένην γαμετὴν Μενελάου· ἐφ' οὗ ὁ Ἰλιακὸς πόλεμος ἤδη δεκαετίαν συνέστη. τότε καὶ Δάρδανον καὶ ἡ Τροία καὶ πᾶσα ἡ χώρα τῆς Φρυγίας πορθεῖται ὑπὸ τῶν Ἀχαιῶν· ἐν οἷς ἱστορεῖται Ἀγαμέμνων καὶ Μενέλαος καὶ Ἀχιλλεὺς, καὶ οἱ λοιποὶ, σὺν τῷ Νεοπτολέμῳ Πύρρῳ, ὅσοι ἐπεστράτευσαν κατὰ τῆς Ἰλίου διὰ τὴν ὑπὸ Πάριδος κλοπὴν τῆς Ἑλένης.

Ἡ δὲ ἀρχὴ τῶν κακῶν τοῦ ἀπολέσθαι τὴν Τροίαν καὶ πᾶσαν τὴν τῶν Φρυγῶν χώραν εὑρέθη ἐκ προφάσεως τοιαύτης. Τοῦ Πάριδος γεννηθέντος ἐκ τῆς Ἑκάβης, Πρίαμος ὁ τούτου πατὴρ, ἀπελθὼν ἐν τῷ μαντείῳ τοῦ Ἀπόλλωνος, ἐπυνθάνετο περὶ τοῦ τεχθέντος αὐτοῦ υἱοῦ. καὶ ἐδόθη αὐτῷ χρησμός· "ἐτέχθη τοι Πάρις δύσπα-" "ρις· τριακοντούτης γενόμενος, ὀλέσει τὰ βασίλεια Φρυγῶν." ταῦτα ἀκούσας ὁ Πρίαμος, μετωνόμασεν αὐτὸν Ἀλέξανδρον· πέμψας τὸ βρέφος ἐν ἀγρῷ τινὶ ὀνόματι Ἀμάνδρῳ[15] γαλακτοτροφεῖσθαι παρὰ τῶν γεηπόνων; μέχρι διελεύσεως τῶν λ΄ ἐτῶν, ὧν εἶπεν ὁ χρησμός. ποίησας δὲ τεῖχος ἐν τῷ αὐτῷ ἀγρῷ, ἐκάλεσε τὸ Πάριον· καὶ ἔμεινεν ἐν αὐτῷ ὁ Πάρις ἀνατρεφόμενος, ἐκεῖσε διάγων καὶ ἀναγινώσκων. ὃς ἐλλόγιμος καὶ εὐπαίδευτος[16] γενόμενος, ἐξέθετο λόγον ἐγκωμιαστικὸν εἰς τὴν Ἀφροδίτην· λέγων μείζονα αὐτῆς μὴ εἶναι θεάν· μήτε τὴν Ἥραν, μήτε τὴν Ἀθηνᾶν· τὴν γὰρ Ἀφροδίτην ἐπιθυμίαν εἶναι εἶπεν ἐν τῇ αὐτοῦ ἐκθέσει, ἐκ δὲ τῆς ἐπιθυμίας πάντα τίκτεσθαι. διὰ τοῦτο λέγουσιν, ὅτι Πάρις ἔκρινε μεταξὺ Παλλάδος καὶ Ἥρας, καὶ Ἀφροδίτης· καὶ τῇ Ἀφροδίτῃ δέδωκε τὸ μῆλον, ὅ ἐστι τὴν νίκην. εἰπὼν, ὅτι ἡ ἐπιθυμία, ἥτις ἐστὶν Ἀφροδίτη, πάντα τίκτει, καὶ τέκνα καὶ σοφίαν καὶ σωφροσύνην καὶ τέχνας καὶ τἆλλα πάντα ἐν λογικοῖς[17], καὶ

[15] Ἀμάνδρᾳ Mal. Μανδρῷ Cedren. [16] εὐπαίδετος Cod. [17] ἐν λογ. καὶ ἀλόγοις Mal.

βέλτιον αὐτῆς ἢ μεῖζον μὴ εἶναι. ἐξέθετο δὲ καὶ ὕμνον εἰς αὐτὴν τὸν λεγόμενον Κεστόν.

Μετὰ δὲ τὸ διελθεῖν αὐτὸν τὸ λ̄ ἔτος· λογισάμενος ὁ Πρίαμος ὅτι παρῆλθεν ὁ χρόνος τοῦ δοθέντος χρησμοῦ, τῶν λ΄ ἐνιαυτῶν, πέμψας ἤγαγεν αὐτὸν ἐκ τοῦ ἀγροῦ· μετὰ πάσης τιμῆς ἀπαντησάντων αὐτῷ ἀπό τε τοῦ πατρὸς Πριάμου καὶ τῶν ἀδελφῶν καὶ πάσης τῆς συγκλήτου· ἑωρακὼς αὐτὸν Πρίαμος οὕτως εὐπρεπῆ καὶ τῇ θέᾳ καὶ τῷ σθένει καὶ τῇ διαλέκτῳ, ἐπέτρεψεν αὐτῷ λαβεῖν δῶρα καὶ ἀπελθεῖν θυσιᾶσαι Δαφναίῳ Ἀπόλλωνι· λέγων ὅτι ἐλέησόν[18] μου τὸ γῆρας καὶ παρένεγκαι τὰ κακά· ἰδοὺ γὰρ παρῆλθεν ὁ χρόνος, τοῦ χρησμοῦ, καὶ ποιήσας τῷ αὐτῷ Πάριδι πρὸς πάντας τοὺς βασιλεῖς, ἤτοι τοπάρχας τῆς Εὐρώπης, γράμματα, ὥστε δέξασθαι τὸν αὐτοῦ υἱὸν ἀπιόντα εὔξασθαι καὶ θυσιάσαι Ἀπόλλωνι, ἐξέπεμψε τῷ Δεσίῳ μηνὶ ὀκτωκαιδεκάτῳ, μετὰ ξ΄ καὶ ν΄ ἡμέρας τῆς ἐν Τροίᾳ παρουσίας αὐτοῦ, καὶ ἀποπλεύσας μετὰ πολλῶν δώρων βασιλικῶν, ἔχων μεθ' ἑαυτοῦ καὶ ἄνδρας Φρύγους νεανίσκους ἑκατὸν, κατήντησεν ἐν τῇ λεγομένῃ Σπάρτῃ πόλει τῆς Ἑλλάδος, τῇ βασιλευομένῃ ὑπὸ Μενελάου· ὃς ἀνεστράφη εἰς τὰ βασίλεια τοῦ Ἀτρέως, βασιλέως τῶν Ἀργείων ἅμα Ἀγαμέμνονι· κἀκεῖθεν ἐλέγοντο οἱ δύο Ἀτρεῖδαι. ὁ δὲ Μενέλαος ἕτοιμος ἦν ἀποπλέειν εἰς Κρήτην ἅμα τοῖς συγγενέσεσι[19] αὐτοῦ, ὀφείλων κἀκεῖνος θυσιάσαι Ἀστερίῳ Διί. ἔθος γὰρ εἶχε Μενέλαος ποίειν ἑορτὰς καὶ θυσίας κατ' ἔτος ἐν τῷ αὐτῷ μηνί. δεξάμενος δὲ Πάριδα, τὸν καὶ Ἀλέξανδρον, τά τε βασιλικὰ δῶρα καὶ γράμματα προσηκάμενος ἀφώρισεν αὐτῷ ἐν τῷ ἰδίῳ παλατίῳ καὶ διατυρβοὶς (sic) αὐτῷ καὶ πᾶσαν θεραπείαν· εἰρηκὼς αὐτῷ διατρίψαι ἐν τῇ αὐτοῦ πόλει, ὅσας ἐὰν θέλῃ ἡμέρας, καὶ παρακαλῶν αὐτὸν μείαντα ἀνεθῆναι τῆς ἀθυμίας τοῦ πλοὸς, καὶ εἶθ' οὕτως ἀπελθεῖν, καὶ πληρῶσαι τὸ πρόσταγμα τῆς θυσίας. καὶ εὐθέως ὁ Μενέλαος καταστήσας τὸν Πάριδα ἐν πολλῇ θεραπείᾳ, ἀπέπλευσεν ἐπὶ τὴν Κρήτην, ἐάσας αὐτὸν εἰς τὸν ἴδιον παλάτιον.

Ἐν δὲ τῷ διάγειν τὸν Μενέλαον ἐν τῇ Κρήτῃ, συνέβη τὴν Ἑλένην ἐπελθεῖν εἰς τὸν παράδεισον τοῦ παλατίου αὐτῆς σὺν τῇ

18 ἠλέησέ. et mox παρήνεγκε Mal. 19 συγγενεῦσιν Mal.

Αἴθρᾳ συγγενίδι τοῦ Μενελάου, μετεωρίας ἕνεκεν. ὁ δὲ Πάρις παρακύψας εἰς τὸν παράδεισον, καὶ προσεσχηκὼς τῷ κάλλει τῆς Ἑλένης, ἔρωτι ἐβλήθη, καὶ διὰ τῆς Αἴθρας ὑπονοθεύσας τὴν Ἑλένην, ἔλαβεν αὐτὴν νυκτὸς, καὶ ἔφυγε. δι' ὧν εἶχε μεθ' ἑαυτοῦ πλοίων Τρωϊκῶν· μετὰ καὶ χρημάτων λιτρῶν τριακοσίων, καὶ κόσμου πολυτίμου· ἅμα τῇ Αἴθρᾳ καὶ πέντε δουλίσι τῆς Ἑλένης. μεμαθηκότες δὲ οἱ τοῦ παλατίου φύλακες τὸ γεγονὸς, καὶ φοβηθέντες, εὐθέως ἀπέστειλαν ἐν τῇ Γορτύνῃ, πόλει τῆς Κρήτης, στρατιώτας, ἀπαγγέλλοντας τῷ Μενελάῳ τὴν ὑπὸ τοῦ Πάριδος κλοπὴν τῆς δεσποίνης, καὶ ὅτι μετ' αὐτῆς ἔλαβε τὴν Αἴθραν. καὶ ἀκούσας Μενέλαος ἔμεινεν ὡς ἐξεστηκώς[20]· καὶ εὐθέως ὑποστρέψας, ἐκπέμπει πανταχοῦ εἰς ἀναζήτησιν τῶν φευγόντων. οἵτινες πολλοὶ καταδραμόντες, οὐχ εὗρον· ἀπάρας γὰρ ἦν Ἀλέξανδρος εἰς Αἴγυπτον· ἐφ' οὗ μικρὸν διατρίψας, ἐπανέρχεται εἰς Τροίαν σὺν τῇ κόρῃ καὶ τοῖς χρήμασι, καὶ τοῖς κοσμίοις.

Ὁ δὲ Πρίαμος καὶ ἡ Ἑκάβη ἑωρακότες τὴν κόρην μετὰ Πάριδος, θαυμάσαντες δὲ καὶ τὸν χαρακτῆρα αὐτῆς, ἐπυνθάνοντο τίς εἴη, ἢ τίνων ἀπογόνος; ἡ δέ φησιν Ἀλεξάνδρου τοῦ καὶ Πάριδος εἰμὶ συγγενὴς[12], καὶ μᾶλλον προσήκειν Πριάμῳ, ἤπερ Μενελάῳ· Δαναοῦ γὰρ ἔφη, καὶ Ἀγήνορος τῶν Σιδονίων ὑπάρχειν αὐτὴν ἀπόγονον, καὶ Πρίαμον. ἐκ Πλησιόνης γὰρ τοῦ Δαναοῦ θυγατρὸς, ἐγεννήθη Ἄτλας[22] καὶ Ἠλέκτρα· ἐξ ἧς Δάρδανος βασιλεύς· ἐξ οὗ Τρῶς[23] καὶ οἱ τοῦ Ἰλίου βασιλεῖς. καὶ Φοίνιξ μὲν ἦν Ἀγήνορος υἱός· οὗ ἐγένετο ἀπόγονος Δύνας ὁ Ἑκάβης πατήρ· ἐκ τοῦ γένους δὲ τοῦ Δύνα, ἡ ἐμὴ μητὴρ Ἠλέκτρα[24] ἐλέγετο εἶναι· ταῦτα εἰποῦσα Ἑλένη Πριάμῳ καὶ τῇ Ἑκάβῃ, ᾔτησεν αὐτοὺς, ὁρκώσασα μὴ προδοθῆναι, μηδὲν τῶν Μενελάου εἰποῦσα εἰληφέναι, ἀλλὰ τὰ ἴδια καὶ μόνα ἔχειν. καὶ λοιπὸν ἡ Ἑκάβη περιλαβοῦσα αὐτὴν, κατεφίλει, καὶ πλέον πάντων αὐτῆς ἀντείχετο.

Γνόντες δὲ οἱ περὶ Ἀγαμέμνονά τε καὶ Μενέλαον τὴν τῆς Ἑλένης μετὰ Πάριδος ἐπὶ Τροίαν παρουσίαν, πολλάκις ἔπεμψαν πρεσβείαν ἀποδοθῆναι τὴν Ἑλένην· ὤχλει γὰρ καὶ ἡ ἀδελφὴ

20 ἔξηχος Mal. 21 συγγενὶς Mal. 22 Ἄθλας Cod. 23 τρῶος Mal. 24 ἡ Λήδα Leg. cum Mal.

αὐτῆς Κλυταιμνήστρα τῷ[25] ἰδίῳ ἀνδρὶ Ἀγαμέμνονι τῷ βασιλεῖ Ἄργους, διὰ τὸ ἐλθεῖν αὐτὴν εἰς τὰ ἴδια. καὶ πολλῶν πρεσβειῶν σταλεισῶν, μεθ' ὧν καὶ Μενέλαον ἀπελθεῖν ζητοῦντα τὴν ἑαυτοῦ γυναῖκα, ὡς οὐκ ἔτυχε τῆς ἐλπίδος, λοιπὸν οἱ τῆς Εὐρώπης τοπάρχαι καὶ βασιλεῖς, κοινῇ γνώμῃ συμβουλευσάμενοι, ἐστράτευσαν ἐπὶ τὴν Ἴλιον καὶ Τροίαν, πόλεις τῆς Ἀσίας· οἳ καὶ ἀποπλεύσαντες συνήχθησαν πρῶτον ἐν Αὐλίδι τῇ χώρᾳ. χειμῶνος δὲ γενομένου κατὰ θάλασσαν, καὶ τοῦ μάντεως Κάλχαντος εἰρηκότος θυσίαν ὀφείλειν[26] δοῦναι τὸν Ἀγαμέμνονα, Ἀρτέμιδι τῇ θεᾷ τῆς χώρας ἐκείνης, τὴν ἑαυτοῦ θυγατέρα, Ὀδυσσεὺς ἀπελθὼν διὰ δόλου ὡς ἀπὸ Ἀγαμέμνονος εἰς τὸ Ἄργος, ἤνεικε τὴν αὐτοῦ θυγατέρα Ἰφιγένειαν· ἣν ἑωρακὼς Ἀγαμέμνων, ἔκλαυσε πικρῶς. φοβηθεὶς δὲ τὸν στρατὸν καὶ τοὺς τοπάρχας, ἐξέδωκεν αὐτὴν εἰς θυσίαν· καὶ ἐν τῷ ἀπιέναι αὐτὴν εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος, πρὸς τὸ σφαγῆναι, ἔλαφος διέκοψε[27] τὴν ὁδὸν, δραμοῦσα ἐν μέσῳ τῶν βασιλέων καὶ τοῦ στρατοῦ, καὶ τοῦ ἱερέως καὶ τῆς παρθένου Ἰφιγενείας. καὶ ἑωρακὼς ὁ ἱερεὺς καὶ μάντις τὴν ἔλαφον, προσέταξε κρατήσαντας ἀγαγεῖν εἰς θυσίαν ἀντὶ τῆς παρθένου τῇ Ἀρτέμιδι. καὶ ληφθεῖσα ἡ ἔλαφος ἐσφάγη. τὴν δὲ Ἰφιγένειαν ἀποδέδωκε τῷ ἰδίῳ πατρὶ Ἀγαμέμνονι. ἥντινα Ἀγαμέμνων εἴασεν ἐκεῖ ἱερείαν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ. καὶ λοιπὸν ἀνηγορεύθη βασιλεὺς ἐκεῖ πάντων Ἀγαμέμνων.

Κἀκεῖθεν ἀπάραντες ἦλθον ἐπὶ Τροίαν, σὺν νηυσὶ χιλίοις διακοσίοις πεντήκοντα· αἵτινες ἦσαν αὗται. Ἀγαμέμνων Μυκηναίων βασιλεὺς σὺν νηυσὶν ἑκατὸν, καὶ εἰς λόγον τροφῆς τοῦ στρατοπέδου, νῆες τριάκοντα. Πηνελέως[28] καὶ οἱ μετ' αὐτοῦ σὺν νευσὶ πεντήκοντα. Ἐλεφήνωρ ἐξ Εὐβοίας[29], σὺν νηυσὶν ἑξήκοντα. Ἀσκάλαφος Ἰαλμεῦ[30] (sic), σὺν νηυσὶ τριάκοντα. Σχέδιος Ἐπίστροφος σὺν νηυσὶ τεσσαράκοντα. Μέγης[31] ἐκ Δολιχῆς Ἑλλάδος σὺν νηυσὶ μ΄. Αἴας ὁ Τελαμώνιος ἐκ τῆς Σαλαμῖνος σὺν νηυσὶ δώδεκα. Τριπτόλεμος ἐκ Λίχρου[32] σὺν νηυσὶν ἐννέα. Ἀντίμαχος καὶ Θάλπιος καὶ Δόρης σὺν νηυσὶ τεσσαράκοντα. Νέ-

25 τῶν Cod. 26 ἀφείλειν Cod. 27 ἔκοψε Mal. 28 Μενέλαος Mal. 29 εὐοίας Cod. 30 Ἀσκ. καὶ Ἰάλμενος Mal. 31 μέτης Cod. 32 Leg. cred. Τληπόλεμος ἐκ Λίνδου.

στωρ σὺν νηυσὶν ἐννενήκοντα. Θόας σὺν νηυσὶ τεσσαράκοντα. Τευτώδης[33] σὺν νηυσὶν ἑξήκοντα. Προθόωρ[34] καὶ Μαγνήτωρ[35] σὺν νηυσὶ τεσσαράκοντα. Εὐμενὴς[36] ἐκ Λιβύης σὺν νηυσὶν ἕνδεκα. Νηρεὺς ἐκ Μυκαίνης[37], σὺν νηυσὶ τρεῖς. Κάλχας[38] ἐκ Τρίκης σὺν νηυσὶ τριάκοντα. Εὐρύπυλος ἐξ Ἀστερίου σὺν νηυσὶ τεσσαράκοντα. Λεοντεὺς καὶ Πολυμήτης[39] σὺν νηυσὶ τεσσαράκοντα. Ἀμφιγενίας Ἀνδορίδης σὺν νηυσὶ τεσσαράκοντα καὶ τρεῖς. Μενεσθεὺς ἐξ Ἀθηνῶν σὺν νηυσὶ πεντήκοντα. Ἰδομενεὺς καὶ Μηριόνης ἐκ Κρήτης σὺν νηυσὶν ὀγδοήκοντα. Ὀδυσσεὺς Κεφαληνίας τῆς Ἰθάκης σὺν νηυσὶ δώδεκα. Αἴας ὁ Λοκρὸς σὺν νηυσὶν ἐννέα. Ἀχιλλεὺς ἐκ τοῦ Ἄργους τῆς Ἑλλάδος σὺν Πατρόκλῳ, σὺν νηυσὶ πεντήκοντα. Πρωτεσίλαος καὶ Ποδάρκης σὺν νηυσὶ τεσσαράκοντα. Παλαμήδης σὺν νηυσὶ δώδεκα. Φιλοκτήτης ἐκ Μεθώνης σὺν νηυσὶν ἑπτά. Νερεὺς ἐκ Περαιβῶν σὺν νηυσὶν εἰκοσιδύο. Σόρθης, Φίλιππος Αἴαντινος[40], σὺν νηυσὶν εἴκοσιν. αἱ δὲ πᾶσαι νῆες τῶν Ἑλλήνων χίλιαι διακόσιαι πεντήκοντα.

Κἀκεῖθεν ὁρμήσαντες ἦλθον ἐπὶ τὴν Τροίαν. ἀντιστάντων δὲ τῶν Τρώων, οὐ συνεχωροῦντο παραβαλεῖν, καὶ πολλῶν σφαγέντων ἐξ ἀμφοτέρων τῶν μερῶν, ἐν οἷς καὶ Πρωτεσίλαος πίπτει πρόμαχος τῶν Δαναῶν, οὐκ ἀπέκαμον οἱ Δαναοὶ, ἕως οὗ κατέβησαν ἐπὶ τὴν πλησίον παράλιον τῆς Τροίας· κακεῖ ἔδησαν τὰ πλοῖα σχοινίοις. ἔδοξε δὲ τοῖς Δαναοῖς, πρῶτον ἀγωνίσασθαι ἐπὶ τὰς πλησίον τοῦ Ἰλίου καὶ τῆς Τροίας πόλεις, ὡς συμμαχούσας τῷ Πριάμῳ. διὸ καὶ ἀφωρίσθησαν παρὰ τοῖς βασιλεῦσιν Αἴας ὁ Τελαμώνιος καὶ Ἀχιλλεὺς, καὶ πολλὰς πόλεις τῆς Φρυγίας σκυλευσάντες, πλεῖστον λαφύρων πλῆθος ἤγαγον ἐν τῷ στρατῷ. πολλῶν δὲ συμβιλῶν πολέμων γενομένων μεταξὺ Ἑλλήνων καὶ βαρβάρων, ἐκπορθεῖται ὁ Ἴλιος πόλις· καθὼς ἐν τῇ τοῦ Δίκτυος ἐκφέρεται πρώτῃ ῥαψωδίᾳ. ὡς ἑσπέρας εἰσῆλθον οἱ Τρῶες, καὶ ἠσφαλίσαντο τὰς πύλας[41]. μέσης δὲ νυκτὸς Κύκνος τὶς ὀνόματι, ἐκ γένους ὑπάρχων τοῦ Πριάμου, ἐκ τοῦ πλησίον στρατηγοῦντος,

33 Τευθίδης Mal. 34 Πρόθωος Mal. 35 Μαγνίτωρ Mal. 36 Εὔμενος Mal. qui om. ἐκ Λιβ. 37 Μυκήνης Mal. 38 Χαλίας Mal. 39 Πολυπήτης Mal. 40 καὶ Ἄντιφος Mal. 41 πόρτας Mal. qui hæc alio ordine habet.

ἀκούσας τὴν Ἑλλήνων ἐπὶ Τροίαν παρουσίαν, ἐξελθὼν ἐκ Μαιάνδρου[43] ποτάμου, μετὰ πλήθους στρατοῦ ἐπέριψεν αὐτοῖς, καὶ γενομένης συμβολῆς νυκτὸς, φονεύεται ὁ αὐτὸς Κύκνος ὑπὸ Ἀχιλλέως, καὶ ἔπεσον οἱ μετ' αὐτοῦ πάντες. καὶ λοιπὸν ἐβουλεύσαντο οἱ Δανάοι ἀφανίζειν τὰς πόλεις τὰς πλησίον οὔσας τῆς τε Ἰλιου καὶ Τροίας, ὡς συμμαχούσας Πριάμῳ. καὶ ποιήσαντες συνομοσίαν, ὅτι πάντα τὰ παρ' αὐτῶν παραλαμβανόμενα ἄγουσιν εἰς μέσον τῶν βασιλέων καὶ προμάχων καὶ παντὸς τοῦ στρατοπέδου, ἀφορίζουσι τὸν Ἀχιλλέα καὶ Τελαμῶνος Αἴαντα καὶ Διομήδην. καὶ εὐθέως ἐξώρμησεν ὁ Διομήδης, καὶ παραλαμβάνουσι τὴν πόλιν τοῦ προρρηθέντος Κύκνου προμάχου τὴν Μαίνανδρον[44], καὶ τὴν χώραν αὐτῆς πραιδεύει, καὶ παραλαβὼν καὶ τοὺς δύο αὐτοῦ υἱοὺς, Κόβιν[45], καὶ Κόκαρκον, καὶ τὴν θυγατέρα αὐτοῦ ὀνόματι Γλαύκην, οὖσαν ἐνιαυτῶν ια', καὶ πάντα τὰ σκῦλα, εἰσφέρει ἐν μέσῳ τοῦ στρατοπέδου παντός.

Ὁ δὲ Ἀχιλλεὺς ἀπελθὼν μετὰ τῶν Ἀργείων, καὶ τοῦ ἰδίου στρατοῦ τῶν λεγομένων Μυρμιδόνων, ἐπέρχεται τῇ Λέσβῳ πόλει, καὶ τῇ χώρᾳ αὐτῆς τῇ βασιλευομένῃ ὑπὸ Φόρβαντος συγγενοῦς τοῦ Πριάμου, ὃν φονεύει ὁ Ἀχιλλεύς. παραλαβὼν δὲ τὴν χώραν καὶ τὴν πόλιν, τήν τε θυγατέρα αὐτοῦ Διομήδην παρθένον ὡσεὶ ἐνιαυτῶν κβ', ἦλθεν εἰσκομίσων τὰ ἐκ Λέσβου πάντα εἰς τὸν στρατὸν τῶν Ἀργείων· καὶ λοιπὸν ὁρμήσας πάλιν, ἐξῆλθεν ἐπὶ τὸν Εὔξεινον πόντον, καὶ ἀφανίζει τὴν χώραν πραιδεύων, καὶ παραλαμβάνει τὴν Λυρνησὸν πόλιν, καὶ φονεύει τὸν κρατοῦντα Ἰστίωνα[46]· καὶ τὴν θυγατέρα Χρύσου ἱερέως Ἀπόλλωνος Ἀστυνόμην τὴν μετακληθεῖσαν Χρυσηΐδα, αἰχμάλωτον λαμβάνει, καὶ τὸν αὐτοῦ πλοῦτον καὶ τῆς χώρας ἄγει εἰς τὰς ναῦς. ἡ δὲ Ἀστυνόμη ἦν ἐτῶν ιβ'. ἐφόνευσε δὲ καὶ ὃν προετρέψατο στρατὸν ὁ Ἰστίων[47] τῶν λεγομένων Κιλίκων ἐλθόντων εἰς συμμαχίαν αὐτοῦ. κἀκεῖθεν ὁρμήσας, ἐξέρχεται πρὸς τοὺς παῖδας Βίσσου[48] ἐξαδέλφου Πριάμου ἐν Λεγοπόλει[49], καὶ πραιδεύσας μένει πολιορκῶν τὴν πόλιν. καὶ ταύτην λαβὼν, αἱρεῖ τὴν Βίσσου θυγατέραν αἰχμάλωτον, ὀνόματι

43 Νέαν Ἄνδρου Mal. Νεάνδρου Cedr. 44 Νέαν Ἄνδρου Mal. 45 Κώβην Mal. 46 Ἠετίωνα Mal. 47 Ἠετίαν Mal. 48 Βρίσου Mal. 49 Λεγῷ πόλει Mal. sed Λεγοπόλει Oxon.

Ἱπποδάμειαν, τὴν μετακληθεῖσαν Βρισηΐδα· οὖσαν γυναῖκα τοῦ Μυνέτου[50] βασιλέως τῆς γε πόλεως· ὃς οὐ παρῆν ἐν τῇ αὐτοῦ πόλει, ἀλλ' ἦν ἀπελθὼν προτρέψασθαι βοήθειαν εἰς συμμαχίαν Φρυγῶν, ἀπὸ Λυκίας καὶ Λυκαονίας. ὅς τις Μυνέτης, κατέφθασεν εὐθέως μετὰ τῶν Λυκίων καὶ Λυκαονιτῶν[51] μετὰ τὸ παραληφθῆναι τὴν αὐτοῦ πόλιν, καὶ οὐ καρτερήσας συμβάλλει πόλεμον, καὶ μάχεται μετὰ Ἀχιλλέως πικρῶς, καὶ βάλλεται δόρατι ὑπὸ Εὐρυτίωνος τῶν μετὰ Ἀχιλλέως τινὸς, καὶ ἀπώλοντο οἱ μετὰ Μυνέτου[52] πάντες.

Ἡ δὲ Ἱπποδάμεια Βρισηὶς, ἦν καλὴ, λευκὴ, καλλίμαστος, εὔστολος, σύνοφρυς, εὔρινος, καλλιπάρειος, μεγαλόφθαλμος, οὐλόθριξ· οὖσα ἐνιαυτῶν κα΄. ἥντινα ἑωρακὼς Ἀχιλλεὺς, ἐπόθησε, καὶ πεσὼν εἰς ἔρωτα αὐτῆς, ἀπέκρυψεν αὐτὴν, μὴ ἀγαγὼν εἰς τὸ πλῆθος τῶν Ἑλλήνων. τὰ δὲ χρήματα καὶ τὴν Ἀστυνόμην Χρυσηΐδα καὶ πάντα ἤγαγεν ἔγγιστα τοῦ στρατοῦ, καὶ τῶν προμάχων καὶ τὴν βασιλέων. γνόντες δὲ πάντες περὶ τῆς Βίσσου θυγατρὸς γυναικὸς τοῦ Μυνέτου, ὅτι ἀπέκρυψεν αὐτὴν Ἀχιλλεὺς, μεθ' οὗ ἐφόρει κόσμου, ἐλυπήθησαν εἰς αὐτὸν, διότι ἐπιώρκησε δι' ὃν εἶχε πρὸς αὐτὴν ἔρωτα. καὶ πάντες ἐλοιδόρουν αὐτὸν, καὶ συναχθέντες ἐν κομβέτῳ[53], ἐκώλυσαν λοιπὸν τὸν αὐτὸν Ἀχιλλέα τοῦ ἐπιρρίπτειν καὶ παραλαμβάνειν πόλεις· ἄλλους ἀντ' αὐτοῦ καταστήσαντες, τὸν Τεῦκρον ἀδελφὸν Αἴαντος τοῦ Τελαμῶνος, καὶ τὸν Ἰδομενέα. οἵτινες παρέλαβον τὴν Κύπρον καὶ τὴν Ἰσαυρίαν καὶ τὴν Κιλικίαν[54]. ὁ δὲ Τελαμώνιος Αἴας ὁρμήσας τοὺς ἐν Χερονήσῳ Θράκας πολιορκεῖ ἅμα τῷ Πολυμήστορι βασιλεῖ· ὃς φοβηθεὶς τὴν τοῦ ἀνδρὸς ἀλκὴν, χρυσὸν αὐτὸν πολὺν κομισάμενος, καὶ σῖτον ἐνιαυτοῦ ἑνὸς εἰς ἀνάλωμα τοῦ Ἀχαϊκοῦ στρατοῦ, δέδωκε τῷ Τελαμωνίῳ Αἴαντι, παραδοὺς αὐτῷ καὶ Πολύδωρον υἱὸν Πριάμου, ἔκδοτον παρατεθέντα αὐτῷ παρὰ τοῦ πατρὸς μετὰ καὶ χρημάτων πολλῶν, νέαν κομιδῇ τὴν Κιλίκιαν ἄγοντα. ἠγάπα γὰρ τοῦτον ὁ Πρίαμος, ὡς μικρότερον τῶν παίδων καὶ ὡς εὐπρεπέστερον. διὰ γὰρ τοῦτο καὶ ἐν ἄλλῃ χώρᾳ αὐτὸν παρέθετο, ἵνα μὴ ὡς παιδίον

50 Μενέτου Mal. 51 Λυκαόνων Mal. 52 μετ' ἀμυνέτου Cod. 53 κομβέντῳ Mal. 54 Λυκίαν Mal.

ταράσσηται, ἀκούων τὸν πόλεμον. ἐποίησε δὲ ὁ αὐτὸς Πολυμήστωρ καὶ ἐγγράφους συνθήκας Αἴαντι, μὴ συμμαχεῖν Πριάμῳ· καὶ ἐκ τῆς ἐκεῖθεν ὁρμήσας ὁ Αἴας, ἐπολιορκεῖ. ἦλθε δὲ καὶ πρὸς τὸν Τεύθραντα βασιλέα, καὶ συμβαλὼν αὐτῷ ξίφει ἀναιρεῖ· ἐκπορθήσας δὲ τὴν τούτου πόλιν, καὶ πάντα τὰ αὐτοῦ λαβὼν, καὶ τὴν θυγατέρα αὐτοῦ Τέκμησαν, ἄγει πάντα νυκτὸς ἐπὶ τοὺς Ἕλληνας. τὸν δὲ Πολύδωρον υἱὸν Πριάμου οἱ Δαναοὶ στήσαντες κατέναντι τοῦ τείχους, ἐδήλωσαν τῷ Πριάμῳ πέμψαι τὴν Ἑλένην, καὶ λαβεῖν τὸν Πολύδωρον, καὶ γενέσθαι εἰρήνην· εἰ δὲ μὴ τοῦτο θελήσειε, φονεύοιεν αὐτόν. καὶ οὐχ εἵλοντο οἱ Πριαμίδαι πέμψαι τὴν Ἑλένην, καὶ λοιπὸν ὀργισθέντες οἱ Δαναοὶ, εὐθέως πρὸ τῶν τειχῶν λαβόντες ἔσφαξαν, τῶν Τρώων ἄνωθεν θεωρούντων. μετὰ δὲ ταῦτα αἱροῦσι καὶ τὴν Ἴλιον πόλιν, φονεύουσι δὲ καὶ Πρίαμον, ἅμα Ἑκάβῃ βασιλίδι. τοὺς δὲ αὐτῆς παῖδας αἰχμαλώτους εἰληφότες, καὶ πάντα τὰ βασιλικὰ διασπασάμενοι, ὑπέστρεψαν εἰς τὰς ἰδίας χώρας. κατέσχεν οὖν ἡ βασιλεία τῆς Φρυγίας ἀπὸ Τεύκρου ἔτη μ΄. εἰσὶ δὲ οἱ βασιλεύσαντες τῆς χώρας οἵδε.

| | |
|---|---|
| Τεῦκρος υἱὸς Σκαμάνδρου - - - | ἔτη ιζ΄. |
| Δάρδανος ἀφ᾽ οὗ Δαρδανία ἡ χώρα - | ἔτη ν΄. |
| Ἐριχθόνιος - - - - - | ἔτη μα΄. |
| Τρῶς ἐξ οὗ ἡ Τροία - - - | ἔτη λζ΄. |
| Ἶλος ἐξ οὗ καὶ Ἴλιος πόλις - - | ἔτη λδ΄. |
| Λαομέδων - - - - - | ἔτη κθ΄. |
| Πρίαμος - - - - - | ἔτη λβ΄. |

Μετὰ οὖν τὴν ἅλωσιν τῆς Τροίας πάντες οἱ Ἀχαιοὶ μερισάμενοι τὴν πραῖδα καὶ τὰ χρήματα, ἐξορμῆσθαι βουλόμενοι ἐπὶ τὰς ἰδίας πατρίδας, τὰς ναῦς ἑαυτῶν ἑτοιμάσαντες, ἔνιοι μὲν ἀπέπλευσαν, φανεροὶ δὲ προσέμειναν μετὰ Αἴαντος τοῦ Τελαμωνίου καὶ Ὀδυσσέως καὶ Διομήδους εἰς μάχην ἐλθόντων. ὁ γὰρ Τελαμώνιος Αἴας ἐζήτει λαβεῖν τὸ βρέτας, ὅπερ ἐστι ζώτιον[55] τῆς Παλλάδος μικρὸν ξύλινον, ὃ ἔλεγον εἶναι τετελέσμενον εἰς νίκην, φυλάττον τὴν πόλιν, ἔνθα ἀπόκειται, ἀπαράληπτον. τοῦτο δὲ Ὀδυσσεὺς καὶ Διομήδης ἔκλεψαν κατὰ γνώμην τοῦ Ἀντήνορος,

[55] ζώδιον Mal.

ἐπάρχου τῶν Τρώων· οὗ τινος ἡ γυνὴ ὀνόματι Θεανὼ ἦν ἱέρεια τῆς Παλλάδος, ὅπου τὸ αὐτὸ βρέτας ἀπέκειτο. εἰσελθόντες δὲ νυκτὸς οἱ περὶ Ὀδυσσέα καὶ Διομήδην εἰς τὴν Τροίαν· καὶ παρακοιμηθέντες ἐν τῷ ναῷ τῆς Παλλάδος, ὅτε τὰς ἑορτὰς τῶν ἀναθημάτων εἶχον οἱ Τρῶες, καὶ οἱ Ἕλληνες οὐχ ἐμάχοντο, ἀφείλοντο τὸ βρέτας[56]. ἐποίησαν δὲ τοῦτο οἱ Δαναοὶ, ἐπειδὴ ἐδόθη αὐτοῖς χρησμὸς, "ὡς οὐ δυνατὸν ὑμᾶς παραλαβεῖν τὴν Τροίαν· εἰ μὴ "τὸ Παλλάδιον ἀφέλεσθε." καὶ τέως ἐζήτει λαβεῖν αὐτὸς ὁ Τελαμώνιος Αἴας εἰς τὴν ἰδίαν χῶραν καὶ πατρίδα, λέγων· "ἐμοὶ "κεχρεώστηται[57]· ἔκαμον γὰρ Ἀχαιοῖς· ἀρκεῖν μοι γὰρ οἶμαι "τὴν παρ' Ἕκτορος πρός με γενομένην παραίτησιν, ἐν τῇ παρ' "ἐμοῦ μονομαχίᾳ πρὸς αὐτόν· καὶ πάλιν ἐποίησα ἔφοδον ἐπὶ τὴν "πύλην τῆς Ἰλίου, μόνος διώξας τοὺς Τρώας, καὶ σώσας τὰς "νῆας πάντων ἡμῶν. ἀρκεῖν δέ μοι νομίζω καὶ τοῦτο πρὸς δόξαν, "τὸ ἀγαγεῖν τὸ σῶμα τοῦ Ἀχιλλέως εἰς τὰς σκηνὰς ἐκ τοῦ "ἱεροῦ τοῦ Θυμβρίου Ἀπόλλωνος." Ὁ δὲ Ὀδυσσεὺς, ἀνθίσταται αὐτῷ λέγων· "ἐγὼ λαμβάνω αὐτὸς εἰς τὴν ἐμὴν πόλιν· οὐ δὲ "γὰρ πλέον μου κέκμηκας Ἕλλησιν. ἐξ ἀρχῆς γὰρ μετὰ τὴν "τῆς Ἑλένης ὑπὸ Πάριδος κλοπὴν, εἰς τὴν Ἴλιον ἐξορμήσας σὺν "Παλαμήδῃ καὶ Μενελάῳ· ὁμοίως τούς τε βασιλεῖς καὶ ἥρωας "ἐγὼ πανταχόθεν προσεκαλεσάμην, ὡσαύτως δὲ καὶ τὸν θάνατον "τοῦ Πάριδος ἐγὼ κατειργασάμην. συμβουλῆς γὰρ, ὡς ἴστε, "Τρώων καὶ Ἑλλήνων γινομένης· πολλῶν πεσόντων· ἱσταμένων "τῶν τὰ πρῶτα φερόντων τῆς Τροίας καὶ ὑμῶν τῶν ἡγεμόνων "Ἑλλήνων, καὶ πρὸς ἀλλήλους ἐπικειμένων κρίναι τὸν πόλεμον· "ἐγὼ προετρεψάμην τὸν ἥρωα Φιλοκτήτην, τὴν κατὰ Πάριδος "προκαλέσασθαι τοξικὴν μονομαχίαν. καὶ εὐθέως ἐξαίφνης διὰ "μέσων τῶν βασιλέων, ὁ Φιλοκτήτης[58] ἐξελθὼν προκαλεῖται τὸν "Πάριδα εἰς μονομαχίαν τοξικήν. ἀκούσας δὲ ὁ Πάρις ἐξώρμησε "καὶ αὐτὸς κατέναντι αὐτοῦ, ἅμα Δηϊφόβῳ ἀδελφῷ αὐτοῦ. "κἀγὼ ἐμέτρησα αὐτοῖς τόπον διαστήματος, ποῦ ἐχρῆν αὐτοὺς "ἑστᾶναι. καὶ βαλλόντων αὐτῶν κλῆρον, ἔλαχε τῷ Πάριδι πρῶ-

56 ἀφ' τὸ βρέτ. om. Mal. 57 ἐχρεωστ. Mal. 58 Φιλοκτίτης Cod.

“τον τοξεῦσαι. ῥίψας δὲ ὁ Πάρις πρῶτος, ἀποτυγχάνει· θάρσει[59] δὲ Φιλοκτήτην ἔκραξα, καὶ ἀντετόξευσεν ὁ Φιλοκτήτης, καὶ διαπείρει τοῦ Πάριδος τὴν ἀριστερὰν χεῖρα· καὶ εὐθέως δευτέραν ἀκοντίσας, τὸν δεξιὸν αὐτοῦ ὀφθαλμὸν ἐπήρωσεν. οἰμώζοντος δὲ αὐτοῦ, καὶ ἀποστραφέντος, ἐπιπέμψας ἕτερον βέλος[60], τοὺς αὐτοῦ φικλοῖ[61] πόδας ἐπὶ τὰ σφυρὰ, καὶ πίπτει ὁ Πάρις, καὶ φεύγουσι πάντες ἁρπάσαντες τὸ σῶμα τοῦ Πάριδος. καὶ ἐν τῇ πόλει εἰσελθὼν, ἐκάλεσε τοὺς τρεῖς υἱοὺς αὐτοῦ, οὓς ἔσχεν ἐκ τῆς Ἑλένης· καὶ ἑωρακὼς αὐτοὺς, ἄφωνος ἔμεινε· καὶ διὰ μέσης νυκτὸς τὴν ψύχην ἀπέδωκε. καὶ Πολυξένην δὲ ἐγὼ συμβουλεύσας ἤγαγον εἰς τάφον Ἀχιλλέως σφαγισθῆναι ὑπὸ τοῦ ἥρωος Πύρρου.” καὶ ἀνακράξας Ὀδυσσεὺς εἶπε· “τίνος ἀντάξιός εἰμι, κατασκευάσασθαι ἀπολέσθαι Πάριδα πρὸς ἐκδίκησιν Μενελάου καὶ Ἀχιλλέως, καὶ τῶν Ἑλλήνων πάντων;”

Καὶ εὐφήμισεν αὐτὸν Ἀγαμέμνων, καὶ πολλοὶ τοῦ στρατοῦ· καὶ πάλιν Ὀδυσσεὺς εἶπεν· “οὐ σιωπήσομαι καὶ τοὺς λοιπούς μου κινδύνους· οὓς ἅμα Διομήδην ὑπέστην, ὅτε τὸ θεῖον βρέτας ἀφελέσθαι ἠβουλήθημεν· πῶς ἐν Ἰλίῳ διατρίβοντες σὺν τοῖς βαρβάροις, τὰ συμβαίνοντα αὐτοῖς ἅπαντα νυκτὸς εἰς τὸ στρατόπεδον ἐρχόμενοι ἀπηγγέλομεν ὑμῖν τοῖς βασιλεῦσιν, ἅτινα καὶ νῦν ἐξείπω. θυσίας γὰρ τότε ἐπιτελούντων τῶν Τρώων, ἐν τῷ καιρῷ τῶν ἀναθημάτων, συμβέβηκε σημεῖον γενέσθαι τοιοῦτον, εἰς τὸν βωμὸν τοῦ Ἀπόλλωνος, ἔβαλλον μὲν πῦρ ἐν τοῖς κειμένοις ξύλοις ἐν τῷ βωμῷ διὰ τὴν θυσίαν· τὰ δὲ οὐκ ἐκαίοντο· καὶ πολλάκις προσφερομένου τοῦ πυρὸς, καὶ μὴ καιομένων, πίπτει τὰ ἐν τῷ βωμῷ πάντα εἰς τὸ ἔδαφος. γενομένων δὲ καὶ ἄλλων σημείων, οἱ Τρῶες ἰδόντες, εἶπον· οὐκ ἀγαθὸν αὐτοῖς εἶπον τὸν οἰωνόν· καὶ ἀναγκάζουσιν Ἀντήνορα οἱ ἔξαρχοι τῶν Τρώων ἐξελθεῖν πρὸς ἡμᾶς· καὶ διὰ πρεσβείας οἰκείας πεῖσαι τοὺς Δαναοὺς λύτρα λαβεῖν, καὶ διαλύσασθαι τὸν πόλεμον. καὶ ταῦτα πάντα ἱστορήσαντες ἡμεῖς, ἐξελθόντες ἀνηγγείλαμεν πᾶσιν ὑμῖν. ὁ δὲ Ἀντήνωρ ἐξελθὼν εἰς πρεσβείαν παραγίνεται ὡς ἐκ Πριάμου τοιαῦτα φερόμενος. βασιλεῖς ὄντες

59 θαρσεῖν Mal. 60 ἑτέραν σαγίτταν Mal. 61 φιβλοῖ Mal.

"Ἑλλήνων, ἔργα φίλων διεπράξασθε, μὴ πολεμίων· πάντα ὅσα ἐχρῆν παθεῖν τοὺς ἡμαρτηκότας, ἐπάθομεν· ἀνθ' ὧν γὰρ Ἀλέξανδρος ὁ καὶ Πάρις Μενέλαον ἠδίκησε, δίκας δέδωκε τὸ Ἴλιον, καὶ μαρτυροῦσιν οἱ τάφοι τῶν ἐν ταῖς μάχαις ἀπολλομένων. οἱ οὖν περιλειφθέντες ἡμεῖς λύτρα φέρομεν ὑμῖν ὑπὲρ θεῶν, ὑπὲρ πατρίδος, ὑπὲρ παίδων. ἀλλ' Ἕλληνες ὄντες τοὺς τότε ἀπειθεῖς, νῦν δὲ ἱκέτας, σώσατε, χρημάτων τυπουμένων. πεισθέντες δὲ ὑμεῖς πάντες τοῖς λόγοις τοῦ Ἀντήνορος, ἐξεπέμψατέ με, καὶ σὺν ἐμοὶ τὸν Διομήδην πρὸς Πρίαμον τυπῶσαι τὴν ποσότητα τῶν χρημάτων. εἰσελθόντων δὲ ἡμῶν πρὸς Πρίαμον ἐν τῇ Τροίᾳ, καὶ πολλῶν κινηθέντων, ἐτυπώσαμεν δοθῆναι χρυσίου τάλαντα δισχιλία, καὶ τούτοις ἶσα ἀργύρου, καὶ ἐπανέλθομεν πρὸς ὑμᾶς ἐπαγγέλοντες τὰ δόξαντα, καὶ ἐκομισάμεθα τὸν τυπωθέντα. πάντας δὲ ὑμᾶς ἐνώρκωσα ἐν ταῖς θυσίαις μὴ ἀποπλεῦσαι ἐξ Ἰλίου, πρὶν ἂν ποιήσαντες τὸν Δούρειον ἵππον ἁρμοδίοις ξύλοις, καὶ κοσμήσαντες αὐτὸν πάσῃ ἀρετῇ, ἀποπλέειν δόξομεν εἰς τὴν Τένεδον, καίοντες τὰς σκηνὰς ἡμῶν· ὅπως νομίσαντες οἱ βάρβαροι ὡς ἡμεῖς ἐξορμήσαμεν, μείνωσιν ἄνετοι καὶ εὐωχούμενοι· καὶ νυκτὸς ἐπιστρέψαντες ἐκ τῆς Τενέδου, ἐπιπέσωμεν αὐτοῖς, καὶ εἰσελθόντες πυρίκαυστον ποιήσαντες τὴν πόλιν, καὶ ἀνέλοντες τὸν Πρίαμον, ἀποδῶμεν τὴν Ἑλένην εἰς τὰ βασίλεια Πλησθένους[62]. καὶ τῆς ἐμῆς βουλῆς κρατησάσης, παρέσχον ἡμῖν οἱ θεοὶ νίκην κατὰ τῶν βαρβάρων. ὑμεῖς οὖν οἱ βασιλεῖς ἥρωες, κριταὶ γίνεσθε[63] . . . . . μῶν καμάτων."

Καὶ ἀντεποιεῖτο τοῦ Ὀδυσσέως Ἀγαμέμνων καὶ Διομήδης, τοῦ δὲ Τελαμωνίου Αἴαντος ἀντείχετο ὁ Νεοπτόλεμος Πύρρος, ὡς ἐκ γένους αὐτοῦ ὑπάρχων. τέλος ἔδοξε λαβεῖν ἐν παραθήκῃ τὸ βρέτας τὸ Παλλάδιον τὸν Διομήδην, ἕως τῆς ἐπιφαυσκούσης[64] ἡμέρας, καὶ τοῦτο φυλάξαι, ἵνα κατὰ τὴν ἑξῆς τυπωθῇ, τίνι ἐξ αὐτῶν χρὴ δοθῆναι. τὸ δὲ Παλλάδιον ἦν τετελεσμένον ὑπὸ Ἀσίου τινὸς τελεσματοποιοῦ, φυλάττον τὴν πόλιν ἔνθα ἀπόκειται ἀπαράληπτον· ὃ καὶ δέδωκεν ὁ εἰρημένος Ἄσιος ἀνὴρ τῷ Τρωῒ βασι-

62 Πλεισθένους Mal. 63 Hic pars evanida. τῶν ἐμῶν leg. cum Mal.
64 ἐπιφασκούσης Cod. ἐπιφωσκ. Mal.

λεῖ, καὶ ὑπὲρ εὐχαριστίας, τὴν αὐτοῦ πᾶσαν ὑπήκοον χώραν ἐκάλεσεν Ἀσίαν, τὴν πρὶν λεγομένην Ἠπειρόποντον[65]. πολλῶν δὲ λαληθέντων διὰ τὸ βρέτας, ὁ Αἴας μαινόμενος κατὰ τοῦ Ὀδυσσέως καὶ Ἀγαμέμνονος, ἀνεχώρησεν εἰς τὴν αὐτοῦ σκηνὴν, καὶ διὰ τῆς νυκτὸς σιδήρῳ ἐσφάγη. τῇ δὲ ἐπ...[66] ἡμέρᾳ ἰδόντες τὸ λείψανον αὐτοῦ, ἐστασίασεν ὁ στρατὸς αὐτοῦ καὶ Πύρρος κατὰ Ὀδυσσέως.

Ὁ δὲ λαβὼν τὰ ἑαυτοῦ πλοῖα ἀπέπλευσεν ἐπὶ τὴν Ποντικὴν θάλασσαν διὰ νυκτὸς, καὶ διατρίψας ἐκεῖ καιρὸν φανερὸν ἐπανῆλθε, βουλόμενος ἐπὶ τὴν ἰδίαν πατρίδα τὴν Ἰθάκην τὴν πορείαν ποιήσασθαι· καὶ καταντήσας εἰς χώραν λεγομένην Μαρωνειάδα[67], ἀντίστασιν ὑπέστη ὑπὸ τῶν τῆς χώρας, καὶ πολεμήσας ἐνίκησεν αὐτοὺς, καὶ πολλῶν χρημάτων κύριος ἐγένετο. κακεῖθεν ἀνήχθη ἐπὶ χώραν τὴν λεγομένην Λωτοφάγον· καὶ συμβάλει πόλεμον καὶ ἐλαττοῦται τῇ μάχῃ, ὡς μικροῦ δεῖν ἀπολέσαι πάντας· κακεῖθεν ἀνήχθη χειμαζόμενος εἰς Σικελίαν. ἡ δὲ νῆσος ἦν αὕτη μεγάλη, διῃρημένη εἰς τρεῖς ἀδελφοὺς μεγάλους, λέγω δὴ εἰς Κύκλωπα, Ἀντιφάντην[68], καὶ Πολύφημον, υἱοὺς γενομένους Σικανοῦ βασιλέως τῆς αὐτῆς νήσου, ἀφ' οὗ Σικανία τὸ πρῶτον ὠνομάζετο ἡ νῦν Σικελία. ἦσαν δὲ οἱ αὐτοὶ ἀδελφοὶ, ἄνδρες χαλεποὶ μηδέποτε ξένους ὑποδεχόμενοι, ἀλλὰ καὶ ἀναιροῦντες. Καταντήσας δὲ Ὀδυσσεὺς σὺν νηυσὶ ταῖς ἑαυτοῦ εἰς τὸ μέρος Ἀντιφάτου, συμβάλει πόλεμον, καὶ πίπτουσιν ἱκανοὶ ἐκ τῶν τοῦ Ὀδυσσέως· καὶ λαβὼν τὰς ἑαυτοῦ ναῦς, ἔφυγεν ἀποπλεύσας ἐκεῖθεν εἰς ἄλλο μέρος τῆς νήσου, τὸ διαφέρον τὸ Κύκλωπι, ἔνθα τὰ Κυκλώπεια ὄρη. καὶ τοῦτο γνοὺς ὁ Κύκλωψ, ἦλθε κατ' αὐτοῦ μετὰ τῆς ἑαυτοῦ βοηθείας· ὃς ἐπιπεσὼν τῷ[69] Ὀδυσσεῖ παραβάλλοντι, κατέκοψεν αὐτοῦ πολλοὺς, καὶ συμβαλλόμενος τὸν Ὀδυσσέα καί τινα ἄνδρα γενναῖον ἀριστεύσαντα ἐν Τροίᾳ, καὶ ὄντα ἡγούμενον τοῦ στρατοῦ Ὀδυσσέως, ὀνόματι Μικαλίωνα, τῆς κόμης τῆς κεφαλῆς κρατήσας, ἐπ' ὄψεσι τοῦ Ὀδυσσέως καὶ πάντων τῶν μετ' αὐτοῦ, ᾧ ἐβάσταζε ξίφει ἐξηντέρυσαν[70], ὡς μαχεσάμενον αὐτῷ· τοὺς

65 Ἐπίτροπον Mal. Ἐπίρροπον Cedr. Ἤπειρον Suid. 66 Leg. ἐπιούσῃ. 67 Μαρωνίδα Mal. 68 Leg. Ἀντιφάτην. 69 τῇ Cod. 70 ἀνεντέρισεν Mal.

δὲ λοιποὺς[70] κατέκλεισεν ἐν φρουρᾷ βουλόμενος κατὰ μέρος τοὺς πάντας κατακόψαι. ὁ δὲ Ὀδυσσεὺς προσπεσὼν αὐτῷ, ἔπεισεν αὐτὸν διὰ χρημάτων πολλῶν καὶ ξενίων Τρωϊκῶν ἀπολῦσαι αὐτὸν σὺν τοῖς ληφθεῖσιν ἀνδράσιν. πεισθεὶς δὲ μόλις ὁ Κύκλωψ διὰ τῆς τῶν χρημάτων δόσεως, ἐπηγγείλατο περὶ ἑσπέραν ἀπολύειν αὐτοὺς, βουλόμενος νυκτὸς ἐπιῤῥίψαι[71] κατ' αὐτῶν, καὶ πάντας ἀπολέσαι.

Ἀπολυθεὶς δὲ περὶ ἑσπέραν Ὀδυσσεὺς, καὶ δειλιῶν τὴν τοῦ ἀνδρὸς ὠμότητα, εὐθέως ἀπέπλευσεν ἐκ τῶν ἐκεῖσε. ἐπιῤῥίψας δὲ νυκτὸς ὁ Κύκλωψ, καὶ μὴ εὑρηκὼς τὰ πλοῖα, ἐκ τῆς μανίας εἰς τὴν θάλασσαν λίθους ἔβαλλε, μήπως ἔνδον τῆς γῆς μεθωρμίσθησαν ὑπονοῶν. νυκτὸς δὲ βαθείας οὔσης καὶ σκότους τὴν γῆν καὶ τὴν θάλασσαν καλύπτοντος, ἀγνοοῦντες τοὺς τόπους, εἰς ἄλλα μέρη τῆς νήσου, διαφέροντα[72] τῷ Πολυφήμῳ ἀδελφῷ τοῦ Κύκλωπος καὶ Ἀντιφάτου. ὅστις Πολύφημος μαθὼν ὅτι νυκτὸς κατέπλευσαν, καὶ παρέβαλον εἰς φέρουσαν[73] αὐτῷ χώραν, εὐθέως τὴν ἰδίαν λαβὼν βοήθειαν, συνέβαλε τῷ Ὀδυσσεῖ· καὶ πᾶσαν νύκτα πολεμούντων, ἔπεσον πολλοὶ τοῦ Ὀδυσσέως. πρωΐας δὲ γενομένης προσήγαγεν ὁ Ὀδυσσεὺς τῷ Πολυφήμῳ ξένια, καὶ προσέπεσεν αὐτῷ, ἐξειπὼν, ὡς ἀπὸ τῶν Τρωϊκῶν πόνων ἐλήλυθεν ἐνταῦθα, πεπλανημένος ὑπὸ πολλῆς ἀνάγκης τῶν κυμάτων, ἀπαριθμήσας καὶ τὰς κατὰ θάλασσαν συμβάσας αὐτῷ διαφόρους συμφοράς. ὅστις Πολύφημος τῇ ὑπερβολῇ τῶν πόνων συμπαθήσας, ἠλέησέ τε καὶ ὑπεδέξατο αὐτὸν, ἕως οὗ ἐγένετο ἐπιτήδειος ὁ πλοῦς. ἡ δὲ θυγάτηρ τοῦ Πολυφήμου ὀνόματι Ἔλπη, ἐρωτικῶς διετέθη πρός τινα εὐπρεπῆ ἄνδρα τῶν μετὰ Ὀδυσσέως, ὀνόματι Λάϊον[74]· καὶ ἐπιτηδείου ἀνέμου πνεύσαντος, ταύτην ἀφαρπάσαντες, τοῦ Ὀδυσσέως ἀγνοοῦντος[75], ἐκ τῆς Σικελίας ἐξώρμησαν.

[76] Ὁ δὲ Πολύφημος ἔπεμψε πολλοὺς τῶν οἰκείων κατ' αὐτῶν, καὶ καταλαβόντες ἀφαιροῦνται βιαίως. ἅτινα Σίσυφος ὁ Κῶος ἐξέθετο. Ὁ γὰρ Εὐριπίδης ποιητικῶς γράμμα[77] ἐξέθετο περὶ

[70] λοιπὰς Cod. [71] pro ἀπελθεῖν quod habet Mal. leg. ἐπελθεῖν. [72] διαφέρονται vid. leg. [73] εἰς τὴν διαφερ. Mal. [74] Λεΐωνα Mal. [75] ἀγνοοῦντες Cod. τοῦ Ὀδ. ἀγ. deest in Mal. [76] Quæ seq. usque ad βιαίως desunt in Mal. [77] δρᾶμα Mal.

τοῦ Κύκλωπος, ὅτι τρεῖς ἔσχεν ὀφθαλμοὺς, τοὺς τρεῖς ἀδελφοὺς σημαίνων, ὡς συμπαθοῦντας ἀλλήλοις, καὶ διαβλεπομένους ἀλλήλων τοὺς τόπους· καὶ οἴνῳ μεθύσας τὸν Κύκλωπα, ἐκφυγεῖν ἠδυνήθη, διότι χρήμασι πολλοῖς καὶ δώροις ἐμέθυσε τὸν αὐτὸν Κύκλωπα ὁ Ὀδυσσεὺς, πρὸς τὸ μὴ κατεσθίειν τὰ μετ' αὐτοῦ, τουτέστι μὴ καταναλίσκειν σφαγαῖς· καὶ ὅτι λαβὼν ὁ Ὀδυσσεὺς λαμπάδα πυρὸς, ἐτύφλωσεν αὐτοῦ τὸν ὀφθαλμὸν, διὰ τὸ τὴν θυγατέρα Πολυφήμου αὐτοῦ Ἔλπων[77] παρθένον οὖσαν καὶ μονογενῆ, λαμπάδι πυρὸς ἐρωτικοῦ καυθεῖσαν ἁρπᾶσαι, τουτέστιν, ἕνα τῶν ὀφθαλμῶν τοῦ Κύκλωπος ἐτύφλωσε τὸν Πολύφημον, τὴν αὐτοῦ θυγατέρα ἁρπάσας· ἥντινα ἑρμηνείαν Φιλάδιος[78] ὁ Κορίνθιος ἐξέθετο, εἰρηκὼς ὅτι ὁ σοφώτατος Εὐριπίδης, ποιητικῶς πάντα μετέφρασε, καὶ[79] συμφωνήσας τῷ σοφωτάτῳ Ὁμήρῳ ἐκθεμένῳ τὴν τοῦ Ὀδυσσέως πλάνην.

Ἀπὸ δὲ Σικελίας ὁ Ὀδυσσεὺς ἦλθεν εἰς τὰς Αἰολίους[80] νήσους, καὶ δεξιωθεὶς παρὰ Αἰόλου τοῦ βασιλέως τῶν νήσων, ἀνάγεται πρὸς τὴν Κίρκην καὶ τὴν αὐτῆς ἀδελφὴν Καλυψὼ, θυγατέρας Ἄτλαντος[81] βασιλέως τῶν νήσων· ὅστις μέλλων τελευτᾶν, διένειμε τὰς δύο νήσους ταῖς θυγατράσιν αὐτοῦ, καὶ ἦσαν βασιλίδες τῶν νήσων. Ἡ δὲ Κίρκη ἦν ἱερεία τοῦ Ἡλίου δοθεῖσα ὑπὸ τοῦ Ἰλίου[82] πατρὸς, ἐκ νηπιόθεν ἀνατραφῆναί τε εἰς τὸ ἱερὸν λέγεται ἐν τῇ νήσῳ τῇ καλουμένῃ Θέᾳ[83], ἥτις αὐξηθεῖσα ἐγένετο μυστικὴ μάντις[84]. Ἦν δὲ εὐπρεπὴς πάνυ· ἡ δὲ αὐτῆς ἀδελφὴ Καλυψὼ διαφθονουμένη, ἔχθραν εἶχε πρὸς αὐτὴν, λέγουσα, "διατί ἀρνεῖ-" ται τὸν ἴδιον ἡμῶν πατέρα, τὸν Ἄτλαντα, καὶ λέγει ἑαυτὴν "εἶναι θυγατέρα Τιτᾶνος Ἡλίου;" καὶ ἐφοβεῖτο αὐτὴν ἡ Κίρκη, ἐπειδὴ ἡ Καλυψὼ εἶχε πλῆθος ἀνδρῶν γενναίων ἐν τῇ ἰδίᾳ αὐτῆς νήσῳ, καὶ ἐδεδίει, μήποτε ὀργιζομένη ἐπέλθοι, καὶ κακῶς αὐτὴν διάθηται. καὶ λοιπὸν ἡ Κίρκη, ὡς μὴ δυναμένη τινὰ προτρέψασθαι εἰς συμμαχίαν καὶ παραφυλακὴν ἑαυτῆς, κατασκευάσασα διὰ βοτανῶν τινῶν φάρμακον, τοὺς παριόντας ξένους ἐδέχετο,

77 Sic. 78 Φειδίας Mal. 79 μὴ Mal. 80 Αἰολίας Mal. 81 de Atlante et Calypso nulla mentio apud Mal. 82 Leg. ἰδίου cum Mal. 83 Αἰαίᾳ vel Ἐέᾳ Mal. 84 μάγος Mal.

καὶ διὰ τῆς τοῦ[85] δόσεως, φίλτρον δεινὸν ὑποταῆς[86] τε καὶ παραμονῆς καὶ λήθης τῆς πατρίδος ἐνεποίει, καὶ πάντες εἰς ὑπερβολὴν αὐτὴν ποθοῦντες παρέμενον εἰς ταύτην τὴν νῆσον, ἐπιλαθόμενοι τῆς ἑαυτῶν πατρίδος· καὶ συνήγαγε πολλούς. μαθοῦσα δὲ ὅτι καὶ πλοῖα τοῦ Ὀδυσσέως εἰς τὴν νῆσον κατήντησαν, ἐκέλευσε τοῖς οἰκείοις δεξιώσασθαι σπουδαίως τὸν Ὀδυσσέα, καὶ τὸν τούτου στρατόν· ἐβούλετο γὰρ ἔχειν αὐτὸν, καὶ τοὺς μετ᾽ αὐτοῦ ὡς πολεμικοὺς εἰς τὴν ἰδίαν νῆσον.

Ὁ δὲ Ὀδυσσεὺς ὡς μόνον παρέβαλεν ἐν τῇ αὐτῆς νήσῳ, εἶδε πολλοὺς ἄνδρας ἀπὸ διαφόρων πατρίδων· ἐπιγνοὺς δὲ καί τινας ἄνδρας ἐκ τοῦ Ἀχαϊκοῦ στρατοῦ πρὸς αὐτὸν ἐλθόντας, ἐπηρώτησε λέγων· “τίνος χάριν ἐν τῇ νήσῳ ταύτῃ οἰκεῖ-“ται[87];” οἱ δὲ εἶπον αὐτῷ, ὡς ἐκ τοῦ Ἀχαϊκοῦ ὑπάρχομεν στρατοῦ, καὶ θαλαττίων κυμάτων βίᾳ προσεπελάσαμεν τῇ νήσῳ ταύτῃ, καὶ πόμα λαβόντες ὑπὸ τῆς βασιλίδος Κίρκης, ἔρωτι δεινῷ βληθέντες εἰς αὐτὴν, ταύτην ἔχομεν πατρίδα· ἐξειπόντες καὶ ἕτερα τινά. ταῦτα ἀκηκοὼς ὁ Ὀδυσσεὺς, καὶ συναγαγὼν πάντας τοὺς ὑπηκόους, ἐκέλευσεν αὐτοῖς μηδενὸς μετασχεῖν τῶν διδομένων αὐτοῖς παρὰ τῆς Κίρκης, εἴτε βρωμάτων, εἴτε πομάτων, ἀλλ᾽ ἐκ τῆς παρασχεθείσης αὐτῷ ἐκ τοῦ Αἰόλου βασιλέως χρείας, καὶ τῶν πρώην ὄντων ἐν τοῖς πλοίοις ἀποθέτων βρωμάτων τε καὶ πομάτων, ἐπ᾽ αὐτῶν μεταλαμβάνειν. τῆς δὲ Κίρκης προσενεγκούσης αὐτοῖς τὰ ἐπιτήδεια, οὐκ ἐδέξαντο· μαθοῦσα δὲ τοῦτο ἡ Κίρκη, ὑπέλαβεν εἰδέναι τὸν Ὀδυσσέα μυστικάς τινας μαγείας, καὶ προγνῶναι τὰ αὐτῆς βουλεύματα· καὶ πέμψασα μετεστείλατο αὐτὸν ἐν τῷ ἱερῷ· καὶ ἦλθε πρὸς αὐτὴν μετὰ ὁπλιτικῆς βοηθείας καὶ ἀπονοίας Ἀχαϊκῆς· ἀγαγὼν αὐτῇ καὶ δῶρα Τρωϊκά. ἡ δὲ Κίρκη ἑωρακυῖα αὐτὸν καὶ τοὺς μετ᾽ αὐτὸν, ᾕτησεν[88] αὐτὸν[89] προσμεῖναι τῇ νήσῳ, ἄχρις οὗ διέλθῃ ὁ τοῦ χειμῶνος καιρός· δεδωκυῖα αὐτῷ ἐν τῷ ἱερῷ ὅρκους, μηδὲν ποιεῖν εἰς βλάβην αὐτοῦ, ἢ τινος τῶν ἅμα αὐτῷ· καὶ πεισθεὶς Ὀδυσσεὺς διέτριβε μετ᾽ αὐτῆς καιρὸν ὀλίγον, συμμιγεὶς αὐτῇ πρὸς γάμον. γνοῦσα[90] δὲ

85 πότου leg. cum Mal. 86 Sic. Leg. ὑποταγῆς. 87 οἰκεῖτε leg. cum Mal. 88 ἥττησεν Cod. 89 αὐτῷ (ὸν supra) Cod. 90 Quæ seq. usque ad τελευτᾷ desunt in Mal.

ὅτι συνέλαβεν ἄρρενα παῖδα· οὐδὲν γὰρ ἠγνόει διὰ τῶν φαρμάκων, ἀπήγγειλεν αὐτῷ· καὶ Ὀδυσσεὺς εἰς σύμβολον καὶ γνώρισμα πατρικῆς ἀσφαλείας καὶ βεβαιώσεως τοῦ τικτομένου, δίδωσι αὐτῇ δόρυ θαλασσίας τρυγόνος κέντρον δεδορατισμένον· ὅστις Ὀδυσσεὺς μετὰ χρόνους πολλοὺς γεγηρακὼς, ὑπὸ τοῦ αὐτοῦ παιδὸς καὶ τοῦ δόρατος πληγεὶς ἐν τῇ Ἰθάκῃ, τελευτᾷ. περὶ ἧς Κίρκης ἐπέθετο ταῦτα Σίσυφος ὁ Κῷος, καὶ Δίκτυς ὁ ἐκ τῆς Κρήτης. ὁ δὲ σοφώτατος Ὅμηρος ποιητικῶς ἔφασεν[91], ὅτι διὰ πόματος μαγικοῦ τοὺς συλλαμβανομένους παρ' αὐτῆς ἄνδρας μετεμόρφου, ποιοῦσα τοὺς μὲν λεοντομόρφους, τοὺς δὲ κυνοκεφάλους καὶ χοιροκεφάλους, καὶ ἑτέρους ἀρκτομόρφους. Ὁ δὲ προγεγραμμένος Φιδάλιος[92] ἐξέθετο τὴν ποιητικὴν σύνταξιν ταύτην, ἑρμηνεύσας οὕτως· ὅτι τῇ Κίρκῃ οὐδὲν ἥρμοζε πρὸς ἣν ἐβούλετο ἐπιθυμίαν πολυοχλίας ποιεῖν ἀνθρώπους θηριομόρφους· ἀλλὰ τὸν τρόπον σημαίνων ὁ ποιητὴς τῶν ἐρώντων ἀνδρῶν· ὅτι ὡς θηρία αὐτοὺς ἐποίει ἡ Κίρκη βρύχειν καὶ μαίνεσθαι καὶ λυσσᾶν ἐκ πόθου. φυσικὸν γὰρ τῶν ἐρώντων ἀντέχεσθαι τῆς ἐρωμένης, καὶ ὑπεραποθνήσκειν· τοιοῦτοι γὰρ ὑπάρχουσιν οἱ ἐρῶντες· ἐκ γὰρ τῆς ἐπιθυμίας ἀποθηριοῦνται, μηδὲν ἐκ φρενῶν λογιζόμενοι ἀλλ' ἀλλοιούμενοι τὰς μορφὰς καὶ τὰ σώματα, ὡς θηριομόρφους γίνεσθαι καὶ τῇ θέᾳ καὶ τοῖς τρόποις.

Ἀπὸ δὲ τῆς νήσου τῆς Κίρκης ἐξορμήσας ὁ Ὀδυσσεὺς, ἀνήχθη εἰς τὴν ἄλλην νῆσον ὑπὸ ἐναντίων κυμάτων ἐκριφείς. ὅντινα ἐδέξατο[93] ἡ Καλυψὼ, ἡ τῆς Κίρκης ἀδελφὴ, καὶ πολλῆς θεραπείας ἠξίωσε· κακεῖθεν ἀνήχθη, ὅπου λίμνη μεγάλη ὑπῆρχε πλησίον τῆς θαλάσσης, λεγομένη Νεκυόποντος[94]. καὶ ᾤκουν αὐτὴν ἄνδρες μάντεις, οἵτινες ἐξεῖπον αὐτῷ πάντα τὰ αὐτῷ συμβάντα, καὶ τὰ μέλλοντα· καὶ ἀναχθεὶς ἐκεῖθεν χειμῶνος μεγάλου γενομένου καὶ ἐναντίων ἀνέμων, ἐκρίπτεται εἰς τὰς καλουμένας Σειρῆνας[95] πέτρας, αἵ τινες ἐκ τῶν συγκρουμάτων ἦχον ἡδὺν[96] ἀπετέλουν. ὁ δὲ νεώτερος Πλούταρχος[97] ἐξέθετο, ὅτι αἱ Σειρῆνες γυναῖκες ἦσαν πόρναι οἰκοῦσαι τὰς λεγομένας πέτρας νήσους καὶ τοὺς παριόντας

91 ἔφρασεν Mal. 92 Φειδαλιος Mal. 93 ἐδεξάτο Cod. 94 Νεκυόπομπος Mal. 95 Σερενίδας Mal. 96 ἥδιον Mal. 97 de Plutarcho hoc tacet Jo. Mal.

ξένους κολακείαις ἡδονῶν καὶ ἀσμάτων καὶ κιθαρῶν μέλεσι θέλγουσαι, ἠπάτων τοὺς παριόντας. κἀκεῖθεν διελθὼν εἰς τὴν λεγομένην Χάρυβδιν, ἦλθεν εἰς τόπους ἀγρίους· ἐκεῖσε δὲ πάσας τὰς ὑποληφθείσας αὐτῷ ναῦς καὶ τὸν στρατὸν ἀπώλεσεν. αὐτὸς δὲ ὁ Ὀδυσσεὺς μόνος ἐν σανίδι τοῦ πλοιοῦ ἐφέρετο ἐν πελάγει· τοῦτον δὲ ἑωρακότες τινὲς ναῦται[99] Φοίνικες ἐν τοῖς ὕδασι νηχόμενον, κατελεήσαντες[1], διέσωσαν καὶ ἤγαγον ἐν τῇ Κρήτῃ νήσῳ πρὸς τὸν Ἰδομενέα ἔξαρχον Ἑλλήνων, ὃς θεασάμενος τὸν Ὀδυσσέα γυμνὸν καὶ δεόμενον, συμπαθῶς[2] αὐτῷ καὶ διατεθεὶς, καὶ δῶρα πλεῖστα δεδωκὼς, ὡς συστρατήγῳ αὐτοῦ, ἐκεῖσε διαμεῖναι συνεβούλευσεν. ἅτινα ὁ Δίκτυς παρὰ τοῦ Ὀδυσσέως ἀκηκοὼς συνεγράψατο.

Ὁ δὲ[3] Ὀδυσσεὺς ἀναχθεὶς ἀπὸ τῆς Κρήτης καὶ παραγενόμενος πρὸς Ἀλκίνοον εἰς Φαιακίαν, ὑποδοχῆς ἀξιοῦται λαμπρᾶς. ὁ δὲ Ὀδυσσεὺς τοῖς οἰκείοις ἐδόκει τεθνᾶναι διὰ τὸν τοσοῦτον χρόνον τῆς ἀποδημίας. Πέμπει οὖν κατασκόπους εἰς τὴν Ἰθάκην, οἵτινες ἐν τοῖς τοῦ Ὀδυσσέως εὑρίσκουσι μνηστῆρας τῆς Πενελόπης, τριάκοντα· τῶν δὲ ἐκ τῆς πόλεως συντυχόντων αὐτοῖς καὶ πυνθανομένων περὶ τοῦ Ὀδυσσέως, ἔφασαν οἵδε πάλαι αὐτὸν τεθνᾶναι. ταῦτα ἀκούσαντες οἱ μνηστῆρες, τολοιπὸν εὐωχοῦντο πεπαυμένοι τοῦ φόβου. Ἡ δὲ Πηνελόπη οὐκ ἐπίστευεν· ἐπαναλασύσαντες[4] δὲ οἱ ἀποσταλέντες εἰς Φαιακίαν, ἀπαγγέλουσι παντὰ τὰ κατὰ τοὺς μνηστῆρας. Ὁ δὲ Ὀδυσσεὺς ἀκούσας ἀποπλέει ἀγόμενος εἰς τὴν Ἰθάκην σὺν τῷ Ἀλκινόῳ. τῶν δὲ Ἰθακησίων ἰδόντων τὰ πλοῖα, καὶ πυνθανομένων τίνες εἶεν καὶ πόθεν, εἶπον πρὸς Τηλέμαχον, ἥκομεν παραμυθήσασθαι διὰ τὸν Ὀδυσσέως θάνατον. Ἦν δὲ ὁ Τηλέμαχος υἱὸς Ὀδυσσέως, ὃς ἐζήτει μαθεῖν τὴν ἀληθῆ αἰτίαν τῆς τῶν πλοίων παρουσίας· καὶ πλησιάσας τινὶ τῶν μετὰ Ὀδυσσέως, λάθρα ἔμαθε παρ' ἐκείνου, ὅτι ὁ πατὴρ αὐτοῦ ἐστί. τῶν δὲ μνηστήρων εὐωχουμένων ἐν τῷ οἴκῳ· οἱ περὶ Ὀδυσσέα ἐλθόντες σὺν ὅπλοις ἐπιπίπτουσιν ἄφνω· ἐκείνων δὲ τῇ μέθῃ κατεχομένων, ἀναιροῦνται πάντες. θορύβου δὲ γενομένου ἐν τῇ πόλει, κῆρυξ περιελθὼν μηνύει τὴν Ὀδυσσέως παρουσίαν. λαμβάνει δὲ Τηλέμα-

99 ναῦτα Cod. 1 κατελξήσαντες Cod. 2 συμπ. φερόμενος Mal.
3 Quæ sequuntur de Ulysse non habet Jo. Malala. 4 Sic.

χος γαμετὴν, θυγατέρα Ἀλκινόου Ναυσικάαν ὀνόματι. μετὰ δὲ τοῦτο οἱ τῶν μνηστήρων ἴδιοι καὶ φίλοι ἀκηκόοτες τὸ γεγονὸς, καὶ θυμοῦ πλησθέντες, ἐπιστρατεύουσι κατὰ Ὀδυσσέως καὶ Τηλεμάχου ἐν τῇ Ἰθάκῃ. οἱ δὲ περὶ Ὀδυσσέα καὶ Τηλέμαχον ὁπλισάμενοι ἀπαντῶσιν ἔξω τῆς πόλεως, καὶ γενομένης μάχης κραταιᾶς πίπτουσιν οἱ ὑπὲρ τῶν μνηστήρων πολεμήσαντες, ἀριστεύοντος τοῦ Τηλεμάχου.

Χρόνου δὲ διεληλυθότος, ὁρᾷ Ὀδυσσεὺς ἐνύπνια τὴν αὐτοῦ τελευτὴν σημαίνοντα, καὶ διυπνισθεὶς συγκαλεῖ πάντας τοὺς πεῖραν ἔχοντας, ὅπως διακρίνωσι τὰ ὀνείρατα, ὧν ἦν καὶ Κλειτοφῶν ὁ Ἰθακήσιος καὶ ὁ Ἀργεῖος Πολύφημος. τούτοις ἀπαγγέλει τὸ ὄναρ, καὶ φησὶ, "νομίζειν με ἐπὶ τῆς ἰδίας εὐνῆς με κα-
"τακεῖσθαι, εὔμορφόν τι καὶ φοβερὸν ζῶον θεοειδές· οὐκ ἀνθρώ-
"που τελείου σχῆμα σώζειν δυνάμενον, ὅπερ ἑώρων ἡδέως, καὶ
"εἶχον αὐτοῦ δυσνοήτως. τὸ δὲ λέχος ἐκεῖνο ὅθεν ἐζωογονήθη, οὐκ
"οὖν μοι φανερὸν οὔτε τῇ συνηθείᾳ τῇ ἐμῇ, οὔτε τῇ γνώσει. γνοὺς
"οὖν ἠβουλήθη τὰς χεῖρας αὐτῷ περιπλέξαι σπουδαίως· τὸ δὲ,
"ἀνθρωπίνῃ φωνῇ χραιμετισάμενον[1], ἔφη· θεσμὸν εἶναι καὶ σύν-
"δεσμον οἰκειότητος ἀμφοτέρων ἡμῶν καὶ εἱμαρμένον εἶναι ὑπ'
"ἐκείνου με ἀφανισθῆναι. ἐμφροντίστως δέ μου ἔχοντος περὶ αὐ-
"τοῦ, αἰφνίδιόν τι κέντρον ἐκ τῆς θαλάσσης ὑπὸ τῆς ἐκείνου ἐπι-
"ταγῆς ἀοράτως ἀναδειχθὲν ἐπ' ἐμὲ ἦλθεν· ἐγὼ δὲ ὑπὸ πολλῆς
"ἐκπλήξεως ἐγενόμην ἀδρανὴς, καὶ μετ' ὀλίγον ἔθανον. ταῦτά
"ἐστιν ἅπερ ἐθεασάμην. ὑμεῖς δὲ διακρίνατε μηδὲν δεδιότες,
"ἐπίσταμαι γὰρ ὡς οὐκ αἴσιον τὸ ὅραμα."

Οἱ δὲ καθ' ἑαυτοὺς γενόμενοι ἐσκόπουν τὴν διήγησιν, καὶ ἔφασαν ἵνα ἐκ ποδῶν γένηται ὁ Τηλέμαχος· τοῦ δὲ ὑποχωρήσαντος, ἔφησαν ὑπὸ ἰδίου παιδὸς πληγέντα τελευτήσειν. ὁ δὲ, εὐθὺς ὥρμησεν ἐπὶ τὸν Τηλέμαχον, ἀνελεῖν αὐτὸν βουλόμενος. θεασάμενος δὲ τὸν υἱὸν δακρύοντα καὶ δεόμενον, εἰς ἔννοιαν πατρικὴν ἐλθὼν, προέκρινεν ἀφεῖναι τὸν παῖδα· ἐκέλευσε δὲ αὐτὸν φυλάττεσθαι· εἶτα μετῴκισεν αὐτὸν εἰς τὰ ἔσχατα τῆς Κεφαληνίας χωρία, ῥυσάμενος αὐτὸν τῆς ὑπονοίας τοῦ θανάτου. μετὰ δὲ οὐ πολλὰς ἡμέρας πάλιν Ὀδυσσεὺς τὸ αὐτὸ ὄναρ ἐθεάσατο, καὶ

[1] Leg. χρημ.

καταγνοὺς τῆς κρίσεως, εὐθυμότερος διῆγε τοῦ λοιποῦ. ἀλλ' ἦν αὐτῷ ἕτερος παῖς ὃν ἠγνόει, τὸν ἐκ τῆς Κίρκης αὐτῷ γεγενημένον, ὀνόματι Τηλέγονον, ὃν πάντα τέλεια ἔχοντα τοῦ γεγενηκότος εἰδυῖα ἡ Κίρκη εἰς ἡλικίαν ἐλθόντα, ὃ ἦν λαβοῦσα παρὰ τοῦ Ὀδυσσέως, θαλασσίας τρυγόνος κέντρον δεδορατισμένον δόρυ, δίδωσιν αὐτῷ· ἵνα τοῦτο σύμβολον καὶ γνώρισμα γένηται αὐτῷ τῆς πατρικῆς ἀσφαλείας.

Ὁ οὖν Τηλέγονος λαβὼν τὸ δοράτιον, παρῆν εἰς τὴν Ἰθάκην νυκτὸς, τὸν πατέρα ἐπιζητῶν καὶ μαθὼν αὐτὸν εἶναι κατ' ἀγρὸν, παραγίνεται ἐκεῖσε, βιαζόμενος τοὺς φυλάσσοντας ἰδεῖν τὸν πατέρα· οἱ δὲ ἀγνοοῦντες αὐτὸν, μᾶλλον ἀνθίσταντο. τοῦ δὲ Τηλεγόνου θεοὺς καλοῦντος μάρτυρας, ὅτι ὁ πατὴρ αὐτοῦ ἐστὶ, καὶ τοῦτον ἰδεῖν κωλύεται, ἔτι μᾶλλον ἀνθίσταντο· τὸν Τηλέμαχον ὑπολαμβάνων εἶναι, καὶ διὰ νυκτὸς ἐληλυθέναι, ἵνα ἀποκτείνῃ τὸν πατέρα· οὐδεὶς γὰρ ἠπίστατο ἕτερον παῖδα τὸν Ὀδυσσέα[5] ἔχειν. ταραχῆς δὲ γενομένης ἐγνώρισαν τῷ Ὀδυσσεῖ, ὅτι Τηλέμαχος ἐσθῆτα ξένην ἠμφιεσμένος, νυκτὸς ἐλθὼν βιάζεται ἡμᾶς. ὁ δὲ ταῦτα μαθὼν καὶ ὑπερζέσας τῷ θυμῷ, ἐξῆλθε μετὰ δόρατος, καὶ εὐθέως ἀκοντίζει τὸ δόρυ κατ' αὐτοῦ. καὶ τοῦ μὲν ἀποτυγχάνει· τῇ δὲ παρακειμένῃ μηλεᾷ πήγνυσι, καὶ ὁ Τηλέγονος μὴ εἰδὼς ὅτι ὁ πατὴρ αὐτοῦ ἦν ὁ τὸ δορὺ ἀκοντίσας, ῥίπτει καὶ αὐτὸς, καὶ δυστυχεστάτην εὐτυχήσας εὐτυχίαν, τιτρώσκει τὸν Ὀδυσσέα κατὰ τοῦ πλευροῦ. τοῦ δὲ Ὀδυσσέως τὴν τόλμαν πυνθανομένου, μεμάθηκεν ἐκ Τηλεγόνου, ὅτι παῖς αὐτοῦ ἐστὶν ἐκ Κίρκης, ἐπιδεικνύντος καὶ ὅπερ ἔδωκε κέντρον θαλάσσιον τῇ Κίρκῃ, ὡς καὶ Τηλεγόνου αὐτὸν εἶναι τὸν πατέρα πεπίστευκε. ῥίπτει ἑαυτὸν εἰς τὸ ἔδαφος, πολλαῖς κεχρημένος οἰμωγαῖς. ὁ δὲ Ὀδυσσεὺς μαθὼν μὴ εἶναι τὸν Τηλέμαχον, ἐμέμφετο τοῖς ὀνειροπόλοις. οἱ δὲ ἐπυνθάνοντο τοῦ Τηλεγόνου, πόθεν εἴη, καὶ τίνων γονέων· ὅτι τοιοῦτον ἄνδρα ὃν οὐδεὶς ἐν Ἰλίῳ ἔτρωσε, πολλὰ θαύματα διαπραξάμενον κατὰ τὸν βίον, οὗτος ἀνεῖλεν. ἡμιθανὴς οὖν ὢν ὁ Ὀδυσσεὺς ἐκομίσθη εἰς τὴν Ἰθάκην, καὶ μετ' ὀλίγον τελευτᾷ τὸν βίον. κατέλιπε δὲ τὴν δυναστείαν Τηλεμάχῳ καὶ Πτολιπόρθῳ τῷ ἐκγόνῳ· ὁ δὲ Τηλέμαχος διαιρεῖ τὴν ἡγεμονίαν· καὶ αὐτὸς μὲν πάσης

[5] ὀδυσσίαν Cod.

Ἰθάκης κρατεῖ, Τηλεγόνῳ δὲ τὰ πορρωτέρω δίδωσι· τῆς δὲ μέσης χώρας Πτολίπορθον ἡγεμόνα κατέστησε· τοὺς δὲ ὀνειροπόλους ἤθελεν ἀνελεῖν· τοῦ δὲ Τηλεγόνου παραιτουμένου ταύτην τὴν γνώμην, ἐκέλευσεν αὐτοὺς μένειν ἐν τῇ Σπάρτῃ. οἵ τινες παραγενόμενοι, ἅπαντα ἐξηγήσαντο τῷ Δίκτυι. καὶ ταῦτα μὲν περὶ Ὀδυσσέως.

Ὁ δὲ Διομήδης[5] κατέχων τὸ Παλλάδιον βρέτας, ἀνεχώρησεν οἴκαδε. τῶν δὲ Ἀργείων ἀντιστρατευσαμένων αὐτῷ, μάλιστα ὑπὸ τῆς ἰδίας γυναικὸς συσκευασάσης τὴν μάχην ὡς μοιχευθείσης, φεύγει ἐπὶ τὴν Καλαβρίαν[6] χώραν· ἔνθα καὶ κτίζει παράλιον πόλιν, ἣν ἐκάλεσαν Ἀργυρίππην, τὴν νῦν λεγομένην Βενεβενδόν. Ἀγαμέμνων δὲ ἔχων τὴν Κασσάνδραν, ἣν καὶ ἐπόθει, περάσας τὸ τῆς Ῥόδου πέλαγος, ἐπὶ Μυκήνας τὴν πορείαν ἐποιεῖτο. λοιπὸν ὁ Πύρρος ἑωρακὼς πάντας ἀποπλεύσαντας, τεφρώσας τὸν Τελαμώνιον Αἴαντα, καὶ εἰς ὑδρίαν βαλὼν, ἔθαψε μετὰ τιμῆς πλησίον τοῦ τύμβου Ἀχιλέως, εἰς τόπον λεγόμενον Σίγριν.

Τεῦκρος δὲ ὁ Αἴαντος ἀδελφὸς καταφθάσας ἦν ἀπὸ Σαλαμῖνος πόλεως Κύπρου. ὃς εὑρὼν τὸν Πύρρον, καὶ μεμαθηκὼς πάντα τὰ συμβάντα· ἀκούσας δὲ καὶ τὴν γενομένην παρ' αὐτοῦ τιμὴν τῷ λειψάνῳ Αἴαντος, ἐπαινῶν καὶ εὐχόμενος τῷ Πύρρῳ ἔλεγεν· "οὐδὲν ξένον πεποίηκας· ἐκείνης γὰρ τῆς Ἀχιλλέως θείας φρενὸς ὑπάρχεις υἱός· λείψανα γὰρ τῶν ἀγαθῶν ἀνδρῶν, οὐκ[7] ἀφαιρεῖται χρόνος, ἀλλὰ καὶ θανοῦσι λάμπει." καὶ παρακαλεῖ Πύρρος τὸν Τεῦκρον μεταλαβεῖν βρώσεως καὶ πόσεως ἅμα αὐτῷ· καὶ διηγήσασθαι πάντα τὰ συμβάντα τῷ αὐτοῦ πατρὶ, φήσας ἀγνοεῖν τὸ ἀκριβές.

Ὁ δὲ Τεῦκρος ἤρξατο λέγειν οὕτως. ὁ πᾶς αἰὼν οὐκ ἐξαλείψει τὴν Ἀχιλλέως κατὰ Ἕκτορος νίκην. ὃς μαθὼν Ἕκτορα νυκτὸς ἀπαντῆσαι βουλόμενον τῇ βασιλίδι τῶν Ἀμαζόνων Πενθεσιλείαν, προποιήσας Ἀχιλλεὺς ὁ σὸς γενέτης, λάθρα ἅμα τῷ ἰδίῳ στρατῷ ἑαυτὸν ἀποκρύπτει· κἀκείνου τὸν ποταμὸν διαβαίνοντος, ἀναστὰς Ἀχιλλεὺς ἄφνω, τὸν Ἕκτορα κτείνει καὶ πάντας τοὺς σὺν αὐτῷ ἑπομένους· ἕνα μόνον κατελειπὼς[9] ζῶντα· ὃν χειροκοπήσας Πριάμῳ ἔπεμψεν ἀπαγγέλοντα[8] τὸν Ἕκτορος θάνατον. καὶ μηδενὸς τῶν Ἑλλήνων γνόντος, ἤγαγον τὸ τοῦ Ἕκτορος λείψανον εἰς τὸ δάπε-

[5] Habet hæc de Diomede etiam Cedrenus, non item Malala.
[6] Καλαυρίαν Cod. [7] οὐκ om. Mal. [8] ἀγγελοῦντα Mal. [9] Sic.

πεδον πρὸ τοῦ αὔγους. Ἀκούσας δὲ Πρίαμος τὸν τοῦ Ἕκτορος μόρον[9], οἰμωγαῖς καὶ θρήνοις ἐκέχρητο· καὶ τοσαύτη βοὴ ἐγένετο ἐκ τοῦ πλήθους τῶν Τρώων, ὥστε καὶ τὰ πετεινὰ τοῦ ἀέρος ταραχθῆναι, καὶ κλείονται πύλαι τῆς Ἰλίου. τῇ δὲ ἑξῆς ἡμέρᾳ Πρίαμος πένθιμον σχῆμα ἔχων, ἄγων μεθ' ἑαυτοῦ Πολυξένην θυγατέρα ἑαυτοῦ παρθένον, καὶ Ἀνδρομάχην τὴν Ἕκτορος γαμετὴν, καὶ Ἀστυάνακτα καὶ Λαομέδοντα [10]υἱοὺς αὐτῆς νηπίους, παραγίνεται πρὸς τοὺς Ἕλληνας, ἄγων μεθ' ἑαυτῶν κόσμον πολὺν καὶ ἄργυρον καὶ ἐσθῆτα. οὔσης δὲ σιγῆς ἐν τοῖς ἡγεμόσιν Ἑλλήνων, καὶ πλησίον γενομένου ἐθαύμαζον πάντες τὴν τόλμαν, καὶ ἀπαντῶσι βουλόμενοι μαθεῖν τὴν αἰτίαν. ὁ δὲ Πρίαμος ἑαυτὸν εἰς τὸ ἔδαφος ἔρριψε, κόνιν ἐπὶ τῆς κεφαλῆς φέρων, δεόμενος συνικέτας γενέσθαι πρὸς Ἀχιλλέα ὑπὲρ τοῦ σώματος Ἕκτορος. οἰκτείρει δὲ αὐτὸν Νέστωρ καὶ Ἰδομενεὺς, οἱ ἐδυσώπησαν τὸν σὸν πατέρα περὶ τοῦ Πριάμου. καὶ ἐκέλευσεν αὐτὸν εἰσελθεῖν εἰς τὴν σκηνὴν αὐτοῦ. Ὁ δὲ Πρίαμος εἰσελθὼν ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ ἱκετεύων· ὡσαύτως δὲ καὶ Ἀνδρομάχη σὺν τοῖς παισίν. Ἦν δὲ Πολυξένη περιπλακεῖσα τοῖς ποσὶν Ἀχιλλέως, ἐδέετο δάκρυ χέουσα περὶ τοῦ ἀδελφοῦ αὐτοῦ, δουλεύειν ἐπαγγελομένη[11], εἰ ἀποδῷ τὸν νεκρόν· οἱ δὲ βασιλεῖς τὸ γῆρας αὐτοῦ οἰκτείραντες παρεκάλουν ὑπὲρ Πριάμου. ὁ δὲ Ἀχιλλεὺς ἀντέλεγε, "δότωσαν δίκας ἀνθ' "ὧν ἠσέβησαν, σωφρονιζέσθωσαν δι' ὑμῶν Ἕλληνές τε καὶ βάρ"βαροι." ὅμως πείθουσι τὸν Ἀχιλλέα λύτρα λαβόντα τοῦ νεκροῦ παραχωρῆσαι. καὶ ὃς τὰ τοῦ βίου τρεπτὰ[12] ἐννοησάμενος, τὸν Πρίαμον ἀνέστησε, καὶ κελεύει λούσασθαι, καὶ ἄρτου καὶ οἴνου γεύσασθαι σὺν αὐτῷ, ἅμα Ἀνδρομάχῃ καὶ Πολυξένῃ· ἄλλως γὰρ οὐκ ἂν παραχωρήσειεν αὐτοῖς τοῦ νεκροῦ. Πρίαμος δὲ φόβῳ κατεχόμενος, ἐλπίδι[13] τῶν μελλόντων λούεται, καὶ ταπεινῶς παραγίνεται ὑπὸ Πολυξένης κρατούμενος. καὶ ἀμφότεροι τροφῆς μεταλαμβάνουσι. καὶ πολλῶν λαληθέντων, ἐξανέστησαν· καὶ τεθέντων λύτρων ἐπὶ τῆς γῆς· ἰδὼν ὁ Ἀχιλλεὺς τόν τε χρυσὸν καὶ ἄργυρον δέχεται, καὶ μέρος τοῦ ἱματισμοῦ· τὰ δ' ἄλλα τῇ Πο-

9 μώρον Cod. 10 Λαοδάμαντα Mal. 11 ἐπαγγειλαμένη Mal.
12 τερπνὰ Mal. 13 καὶ ἐλπ. Mal.

λυξένῃ χαρισάμενος, ἀπέδωκε τὸν νεκρόν. ὁ δὲ Πρίαμος παρεκάλει τὸν Ἀχιλλέα, Πολυξένην παρ' αὐτῷ ἀπολιπεῖν. ὁ δὲ εἰς τὸ Ἴλιον ἀπαγαγεῖν αὐτὴν ἔφη, εἰς ἄλλον καιρὸν τὰ κατ' αὐτὴν ἀναβαλλόμενος. ὁ δὲ Πρίαμος ἄρας τὸ σῶμα ἐν τῷ ὀχήματι ἅμα τοῖς σὺν αὐτῷ εἰσελθὼν ἐν τῇ πόλει, καὶ τοῦτο τεφρώσαντες, θάπτουσι παρὰ τὸ τεῖχος, ἔξω τῆς πόλεως Ἰλίου.

Ἐν δὲ τῷ μεταξὺ παραγίνεται Πενθεσιλεία[14], ἐκ τῆς ἐπιπέραν χερρονήσου πολὺ πλῆθος ἐπαγομένη Ἀμαζονίδων[15] καὶ ἀνδρῶν γενναίων. μαθοῦσα δὲ ἀναιρεθῆναι τὸν Ἕκτορα, ὑποστρέφειν ἠπείλετο[16]. Πάρις δὲ ταῦτα μαθὼν, ἔπεισεν αὐτὴν μένειν, χρυσὸν διδοὺς ἱκανὸν αὐτῇ. ἀνεθεῖσα δὲ μετὰ τοῦ στρατοῦ αὐτῆς, μεθ' ἡμέρας ὀλίγας ὁπλισαμένη, ἐπὶ τὸ πολεμικὸν ἐξέρχεται δάπεδον. διαιρεθέντος δὲ τοῦ στρατεύματος αὐτῆς εἰς δύο μέρη, ἵστανται οἱ μὲν τοξόται, τὸ δεξιὸν λαβόντες μέρος· οἱ δὲ ὁπλῖται πεζοὶ πλέω τῶν ἵππων ὄντες. Ἡ δὲ Πενθεσιλεία μέσον τῶν ἱππέων ὑπῆρχε σὺν τῷ σίγνῳ. καὶ λοιπὸν ἑαυτοὺς οἱ Δαναοὶ συντάξαντες ἀνθίστανται, τοῖς μὲν τοξόταις Μενέλαος, καὶ Τεῦκρος, καὶ Μηριόνης, καὶ Ὀδυσσεύς· τοῖς δὲ ὁπλίταις Διομήδης, Ἀγαμέμνων, Τριπτόλεμος[17], Ἄλμενος[18] καὶ Ἀσκάλαφος· τοῖς δὲ ἱππεῦσι Ἀχιλλεὺς καὶ οἱ δύο Αἴαντες, καὶ Ἰδομενεὺς καὶ Φιλοκτήτης, καὶ οἱ λοιποὶ ἡγεμόνες. καὶ κτείνω ἐγὼ Τεῦκρος πολὺ πλῆθος, ὥστε ἐπαινεθῆναί με ὡς ἀριστεύσαντα· τοὺς δὲ ὁπλίτας ἀφανίζουσιν οἱ Αἴαντες ἐν μέσῳ αὐτῶν εἰσελθόντες. ὁ δὲ σὸς πατὴρ Ἀχιλλεὺς μεταξὺ αὐτῶν ὑπάρχων, ἀπεβλέπετο τὴν Πενθεσιλείαν ζητῶν κτεῖναι, μαχομένην πικρῶς καὶ πλησίον τοῦ ἵππου αὐτῆς φθάσας, καὶ δόρατι κρούσας αὐτὴν, ἀπὸ τοῦ ἵππου καταβάλλει, καὶ ἔτι ζῶσαν ἕλκει πεσοῦσαν ἐκ τῆς κομης. ἑωρακότες δὲ αὐτὴν οἱ λοιποὶ τοῦ στρατοῦ αὐτῆς, εἰς φυγὴν ἐτράπησαν. τῶν δὲ Τρώων τὰς πύλας κλεισάντων διὰ τοὺς φεύγοντας, ἡμεῖς τοὺς περιλειφθέντας ἐπιδιώξαντες παρὰ τὸ τεῖχος ἐκτείνομεν, ἀποσχόμενοι τῶν γυναικῶν Ἀμαζονίδων ἅστινας ὁ στρατὸς δεσμεύσας ἐμερίσατο. τῆς δὲ Πενθεσιλείας ἔτι ἐμπνεούσης, βουλὴ ἦν τῶν Ἑλλήνων εἰς τὸν ποταμὸν αὐτὴν ῥίψαι, ἢ

14 Cod. πενθεσιλία et in cat. 15 Ἀμαζόνων Mal. 16 ἠπείγετο Mal. 17 Τληπόλεμος Mal 18 Ἰάλμενος Mal.

κυσὶν εἰς βορὰν παραδοῦναι. Ἀχιλλεὺς δὲ παρὰ τὸ τεῖχος αὐτὴν ταφῆναι ἔλεγε· τὸ δὲ πλῆθος, εἰς τὸν ποταμὸν ῥιφῆναι αὐτὴν ἐπεφώνει. καὶ εὐθέως ὁ Διομήδης λαβόμενος αὐτῆς τῶν ποδῶν, εἰς τὸν Σκάμανδρον βάλλει ποταμόν.

Μετ' οὐ πολὺ δὲ Τίθων τίς ὀνόματι παραγίνεται, ὑπὸ Πριάμου πρότερον παρακληθεὶς, ἄγων Ἰνδοὺς ἐφίππους καὶ πεζοὺς, καὶ Φοίνικας μαχιμωτάτους. καὶ τοσοῦτον ὑπῆρχε τὸ πλῆθος, ὅσον οὔτε Ἴλιος πόλις, οὔτε τὸ δάπεδον ἐχώρει· οἷς ὑπῆρχον καὶ ἕτεροι διὰ ναυτικοῦ στόλου Ἰνδοὶ, ὧν ὑπῆρχε βασιλεὺς Μέμνων· ἔχων μεθ' ἑαυτοῦ πλοῦτον πολὺν εἰς τὰς ναῦς. ὃς παραταξάμενος ἐξῆλθε κατὰ τῶν Ἑλλήνων ξίφη ξένα[19] φέρων· σφενδόβολά τε καὶ ἀσπίδας τετραγώνους· οἷς μιγέντες καὶ οἱ Τρῶες, ὁρμῶσι τῇ μάχῃ ἅμα Μέμνονι τῷ βασιλεῖ, φερομένῳ ἐπ' ὀχήματος. ἰδόντες δὲ ἡμεῖς τὰ πλήθη ἐθαμβήθημεν, καὶ δεχόμεθα τὴν ὁρμὴν αὐτῶν. πολλῶν δὲ τραυματιζομένων καὶ πιπτόντων τοῦ ἡμετέρου πλήθους, εἰς φυγὴν τερπόμεθα, μὴ ὑποφέροντες τὴν τοῦ πλήθους βίαν· ἔμελλον δὲ καὶ τὰς ναῦς ἡμῶν καῦσαι οἱ βάρβαροι, εἰ μὴ νὺξ ἐπῆλθε.

Τῆς δὲ νυκτὸς γενομένης συνελθόντες καὶ συναγαγόντες τὰ σώματα τεφροῦμεν· τῇ αὐτῇ δὲ νυκτὶ βουλευόμεθα, τίς τῶν βασιλέων δύναται ἀντιστῆναι καὶ ὁρμῆσαι κατὰ τοῦ Μέμνονος. κλήρου δὲ γενομένου πάντων ἡμῶν τῶν ἡγεμόνων, κληροῦται κατά τινα τύχην Αἴας ὁ Τελαμώνιος. καὶ πρὶν ἥλιον ἀνελθεῖν, συμβάλλομεν τῇ μάχῃ, καὶ πολλῶν ἐξ ἀμφοτέρων πεσόντων, Αἴας κελεύει τοῖς βασιλεῦσιν Ἑλλήνων τοὺς ἄλλους ἀμύνασθαι Ἰνδοὺς καὶ Τρώας, αὐτὸς δὲ ὁρμᾷ κατὰ τοῦ Μέμνονος βασιλέως Ἰνδῶν, Ἀχιλλέως ὄπισθεν συνεπισχύοντος, καὶ ἀποκρύπτοντος ἑαυτὸν τῷ Αἴαντι. ὁ δὲ Μέμνων προσεσχηκὼς τῷ Αἴαντι κατ' αὐτοῦ τοῦ ὁρμήσαντι, καταβὰς ἀπὸ τοῦ ἅρματος γίνεται πλησίον, καὶ ἀλλήλων τοῖς δόρασιν ἀποπειρῶνται. Αἴας δὲ πρῶτος ἀνατρέπει τὴν τοῦ Μέμνονος ἀσπίδα τὸ δόρυ τρέψας, καὶ ἐπιπεσὼν αὐτῷ βαρέως· τοῦ δὲ Μέμνονος καὶ τῶν πλησίον Μέμνονος Ἰνδῶν τὸν νοῦν κατὰ τοῦ Αἴαντος ἐχόντων, ὁ Ἀχιλλεὺς τὸ δόρυ βάλλει κατὰ τοῦ τραχήλου Μέμνονος, τοῦ τένοντος αὐτοῦ γυμνωθέντος· καὶ πίπτει

[19] παράξενα Mal.

ὁ Μέμνων ἀνελπίστως, καὶ γίνεται ἄφνω θόρυβος καὶ φυγὴ τῶν βαρβάρων· ἡμεῖς δὲ οἱ Ἕλληνες πλησθέντες θάρσους, πάντας τοὺς Αἰθίοπας ἐκτείνομεν, ὥστε τὸν τόπον πληρωθῆναι νεκρῶν. ὀλίγων δὲ ἡμερῶν διελθουσῶν, ἄφνω λαὸς ἐξῆλθε Τρωικὸς, ὧν ἡγεῖτο Πάρις καὶ Δηίφοβος ἀδελφοὶ, καὶ σὺν αὐτοῖς Τρωΐλος καὶ Λυκάων· παῖδες καὶ αὐτοὶ Πριάμου, δοκοῦντες ἐπιπεσεῖν ἐξάπινα· οὓς γνοὺς ὁ Ἀχιλλεὺς καταδιώκει, καὶ φεύγοντες πολλοὶ εἰς τὸν Σκάμανδρον ἀπώλοντο. Οὐκ ὀλίγοι δὲ αὐτῶν καὶ ἐζωγρήθησαν· καὶ μέγα πένθος γίνεται ἐν τῷ Ἰλίῳ.

Μετὰ δέ τινας ἡμέρας ἐνίσταται ἡ τῶν ἀναθημάτων ἑορτὴ, καὶ ἀνοχὴ γέγονε τοῦ πολέμου. θυσίων δὲ τελουμένων, καὶ θυόντων τῷ Θυμβρέῳ Ἀπόλλωνι ἐν τῷ ἄλσει, τῷ ἀπὸ μικροῦ ὄντι τῆς πόλεως τῶν τε Τρώων καὶ τῶν Δαναῶν· ἐξελθούσης Πολυξένης μετὰ Ἑκάβης εἰς τὸ ἱερὸν, Ἀχιλλεὺς ταύτην ἑωρακὼς, ἐθαύμαζεν ἐπὶ τῷ κάλλει. Πρίαμος δὲ ἑωρακὼς τὸν Ἀχιλλέα ἐν τῷ ἄλσει, πέμπει τινὰ ὀνόματι Ἰδαῖον πρὸς αὐτὸν λόγους φέροντα περὶ τῆς Πολυξένης· καὶ ἀκούσας Ἀχιλλεὺς τὸν περὶ ταύτης λόγον, ἀνέπτη καὶ ἀνήχθη ἔρωτι πρὸς αὐτήν. ἑωρακότες δὲ ἡμεῖς οἱ Ἕλληνες τὸν Ἰδαῖον ἰδιάζοντα τῷ Ἀχιλλεῖ, ἐν πολλῷ θορύβῳ ἐγενόμεθα, ὡς δὲ[20] τοῦ Ἀχιλλέως προδιδόντος ἡμᾶς, καὶ ἐπέμψαμεν πρὸς αὐτὸν ἀπόκρισιν, διὰ Αἴαντος καὶ Διομήδους, καὶ Ὀδυσσέως, μὴ θαρρεῖν τοῖς βαρβάροις ἑαυτόν· οἱ δὲ ἀπελθόντες περιέμενον ἔξω τοῦ ἄλσους ἐξειπεῖν αὐτῷ τὴν ἀπόκρισιν. ὁ δὲ Ἀχιλλεὺς συντάσσεται τῷ Ἰδαίῳ λαβεῖν πρὸς γάμον Πολυξένην. καὶ μετ᾽ ὀλίγον παραγίνεται πρὸς αὐτὸν Πάρις καὶ Δηίφοβος λάθρα παρακαλοῦντες πρὸς γάμον Πολυξένης· οὕστινας δέχεται Ἀχιλλεὺς ἀγνώστως κατ᾽ ἰδίαν, μηδέν τι φαῦλον ὑποπτεύσας διὰ τὸ ἐν τῷ ἄλσει εἶναι τοῦ Ἀπόλλωνος. καὶ ὁ μὲν Πάρις ὅρκῳ βεβαιῶν τὰ μεταξὺ αὐτοῦ καὶ τοῦ Ἀχιλλέως εἰρημένα, παρὰ τὸν βωμὸν ἵστατο. περιπλακέντος δὲ τοῦ Δηιφόβου τοῦ Ἀχιλλεῖ, καὶ αὐτὸν καταφιλοῦντος φιλίας δίκην, ὃ ἐπεφέρετο Πάρις ξίφος διὰ τῶν πλευρῶν αὐτοῦ ἐβάπτισε· καὶ τοῦ Δηιφόβου περισφήξαντος τὸν Ἀχιλλέα, δευτέραν ἐπιφέρει πληγὴν τῷ Ἀχιλλεῖ ὁ Πάρις. καὶ ὃς λειποθυμήσας πίπτει· οἱ δὲ

[20] Leg. δή.

περὶ τὸν Πάριδα καὶ Δηίφοβον ἀνυπόπτως ἐξελθόντες δι' ἄλλης ὁδοῦ τοῦ ἄλσους, δρόμῳ χρησάμενοι εἰσῆλθον εἰς τὴν πόλιν. ἰδὼν δὲ αὐτοὺς ὁ Ὀδυσσεὺς ἔφη πρὸς τὸν Αἴαντα καὶ Διομήδην, "οὐκ "ἀγαθόν τι εἰσὶν οὗτοι ἐργασάμενοι, εἰσέλθωμεν εἰς Ἀχιλλέα." εἰσελθόντες οὖν εἰς τὸν ναὸν, ὁρῶσιν αὐτὸν κείμενον εἰς τὸ ἔδαφος παρὰ τὸν βωμὸν κατημαγμένον, καὶ ἔτι ἐμπνέοντα. καὶ στενάξας Αἴας εἶπε πρὸς αὐτόν· "οὐκ ἦν ἄρα ὃς ἐδύνατό σε κτεῖναι, ἀλκῇ "τῶν πάντων διαφέροντα, ἀλλ' ἡ σὴ προπέτεια ἀπώλεσέ σε·" ὁ δὲ μόλις χαύνῃ τῇ φωνῇ ἀπεκρίνατο· "δόλῳ κατειργάσαντό με "Πάρις καὶ Δηίφοβος διὰ Πολυξένην." ταῦτα εἰπὼν ἀπέπνευσεν. Αἴας δὲ καὶ οἱ μετ' αὐτοῦ ἐπὶ τῶν ὤμων ἄραντες τὸ σῶμα μετ' οἰμωγῆς, φέρουσιν εἰς τὰς σκηνάς. ἡμεῖς δὲ τὸ γεγονὸς ἰδόντες ἐν ἀμηχανίᾳ πολλῇ γεγόναμεν· τεφρώσαντες δὲ τὸ σῶμα, καὶ βαλόντες ἐν ὑδρίᾳ, θάπτομεν σιγῇ εἰς τόπον λεγόμενον Σίγριν. ὁ δὲ Πύρρος ἀκούων ἔστενε πικρῶς.

Ταῦτα Σίσυφος ὁ Κῶος συνεγράψατο, ἐν τῷ πολέμῳ ὑπάρχων σὺν Τεύκρῳ. ἥντινα συγγραφὴν εἰρηκὼς[21] Ὅμηρος ἐξέθετο τὴν Ἰλίαδα, καὶ Βιργίλιος[22] τὰ λοιπὰ, ἅτινα καὶ ἐν ταῖς ῥαψωδίαις τοῦ Δίκτυος ἐμφέρεται. ὅπερ πόνημα μετὰ πολλὰ ἔτη Ὁμήρου[23] τελευτῆς ἐπὶ Κλαυδίου καὶ Νέρωνος[24] εὑρέσθαι βασιλέων Ῥωμαίων ἐν κασσιτερίνῳ κιβωτίῳ. Τεῦκρος μὲν οὖν ἀπέπλευσεν εἰς Σαλαμῖνα· ὁμοίως δὲ καὶ Πύρρος, λαβὼν τὸν ἴδιον στόλον, ἀπέπλευσε· καὶ πᾶς ὁ Ἀχαικὸς στρατὸς καὶ οἱ ἥρωες εἰς τὰς ἰδίας ἀπήλαυνον χώρας, καταστήσαντες Ἀγήνορα ἄρχειν Φρυγίας.

Αἰνείας δέ τις τῶν ἐνδόξων ἀνδρῶν φοβηθεὶς τὸν Ἀγήνορα, σὺν τῷ ἰδίῳ πλούτῳ καὶ τῷ πατρὶ Ἀγχίσῃ καὶ υἱῷ Ἀσκανίῳ ἅμα Κρεούσῃ τῇ ἑαυτοῦ μητρὶ καὶ θυγατρὶ Πριάμου, φεύγει ἐπὶ τὰ ἑσπέρια μέρη ὡς ἐπὶ τὸν Ἀδρίαν. ἔτος δὲ τοῦτο ͵δτ καὶ κέ.

Καὶ ταῦτα μὲν ὅρα περὶ τοῦ Τρωϊκοῦ πολέμου. ἐπεὶ γὰρ τῷ ιγ' ἔτει τῆς ἡγεμονίας Σαμψὼν ἀπεφάνθη ἡ τοῦ Τρωϊκοῦ πολέμου ἱστορία. ἀπὸ δὲ τοῦ χρόνου τούτου ἐπὶ τὴν πρώτην θέσιν τῶν Ὀλυμπίων ἀναγράψομεν, συμπεριλαβόντες ἐνιαυτοὺς ἑπτὰ πρὸς

21 εὑρήκως Mal. 22 Βεργίλλιος Mal. 23 Ὁμ. καὶ Βεργίλλιου Mal.
24 Κλαυδίου Νέρωνος Mal. sed cum nostro convenit Anonym. Chronogr. ab Allatio cit. de Patr. Hom. p. 54.

τοῖς ν'. Σαμψὼν ὁ προειρημένος μετὰ τὴν κατάστασιν τοῦ Τρωϊκοῦ πολέμου κρατεῖ τῆς τῶν Ἑβραίων ἡγεμονίας ἔτη ἕτερα ζ'. ἐν τούτοις τοῖς ἔτεσιν Αἰνείας εἰς Ἰταλίαν ἐλθὼν, καὶ Λαουινίαν[25] τὴν τοῦ Λατίνου, τοῦ βασιλεύοντος τότε, θυγατέρα λαβὼν, ἧς ὀνόματι ἡ πόλις Λαουινία[26] ἐκτίσθη, διαδέχεται μετ' ἐκεῖνον τὴν ἀρχὴν τῶν Λατίνων. πολέμου γάρ ποτε συστάντος τῶν λεγομένων Ῥουτίλων πρὸς Λατίνους, πίπτει κατὰ τὴν μάχην ὁ βασιλεὺς Λατῖνος, καὶ τελευτᾷ, τρίτου ἔτους διαγινομένου μετὰ τὴν Ἰλίου ἅλωσιν· τὴν δὲ ἀρχὴν Αἰνείας παραλαμβάνει. ὃς βασιλεύσας ἔτη γ' θνήσκει τῷ ϛ' ἔτει τῆς Ἰλίου ἁλώσεως· ἐφ' οὗ οἱ περὶ Ὀδυσσέως ἀνιστοροῦνται κίνδυνοι. μετὰ δὲ τὴν τελευτὴν Αἰνείου Ἀσκάνιος ὁ υἱὸς τὴν βασιλείαν λαμβάνει, ἐπὶ ἐνιαυτοὺς η' καὶ λ. ἐν δὲ τοῖς Ἰουδαίοις μετὰ Σαμψὼν ἀναρχίαν ἐσημειωσάμεθα γεγονέναι ἐπὶ χρόνους μ'. ἐν τοῖσδε τοῖς ἔτεσιν Ἀσκάνιος ὁ Ἰταλίας βασιλεὺς, εἰς ὄνομα τῆς γυναικὸς κτίζει πόλιν Ἀλβανίαν.

Ἀγαμέμνων δὲ ὁ τῶν Μυκηναίων βασιλεὺς, φονεύεται ὑπὸ τῆς ἰδίας γυναικὸς Κλυταιμνήστρας· πρόφασις δὲ ἦν αὕτη. πρὸ τοῦ τὸν Ἀγαμέμνονα ἐλθεῖν ἐν Μυκήναις, ἀκούσασα ἦν ὅτι Κασάνδραν κόρην τινὰ τῶν αἰχμαλώτων Τρωάδος πόλεως ποθεῖ Ἀγαμέμνων ὁ ταύτης ἀνήρ. καὶ ἀφορμὴν εὑροῦσα, δέδωκεν ἑαυτὴν εἰς μειχείαν τῷ Αἰγίσθῳ συγκλητικῷ, υἱῷ τοῦ Θυέστου. καὶ μετὰ τὴν παρουσίαν Ἀγαμέμνονος μελέτης ἀρτυθείσης πονηρᾶς, καιρὸν ἐπιτήδειον εὑρόντες τὸν μὲν βασιλέα νεκρὸν ἀπέδειξε, τὸν δὲ αὐτῆς ἐραστὴν καὶ φονέα βασιλέα ἀνέδειξεν. οὗτος ἐμισεῖτο παρὰ παντὸς τοῦ λαοῦ. σκοπὸς δὲ ἦν τῷ Αἰγίσθῳ ἀνελεῖν καὶ Ὀρέστην τὸν Ἀγαμέμνονος υἱόν· ὃν οὐκ εἴασεν ἡ πρόνοια κατὰ τὸν καιρὸν ἐκεῖνον εὑρεθῆναι. μετὰ οὖν ἕβδομον ἔτος παραγίνεται ὁ Στρόφιος ἐκ Κρήτης, ἐκ γένους τοῦ Ἀγαμέμνονος ὑπάρχων, καὶ μαθὼν τὰ συμβάντα, συνεβούλευε τῷ Ὀρέστῃ πόλεμον ἄρασθαι πρὸς τὸν Αἴγισθον· καὶ λαβὼν τοῦτον σὺν τῷ Πυλάδῃ υἱῷ τοῦ αὐτοῦ Στροφίου, φέρει εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον, πευσόμενος περὶ Ὀρέστου. καὶ λαμβάνει χρησμὸν, ὅτι δεῖ τὸν Ὀρέστην φονεῦσαι τὴν μητέρα καὶ τὸν Αἴγισθον· εἶτα ἐζήτει μαθεῖν εἰ περισώζεται

25 λαυινίαν Cod. 26 λαυινία Cod.

κτείνας αὐτούς· καὶ ἐλαλήθη αὐτῷ ὅτι κρατήσει τῶν πατρώων σκήπτρων. μετὰ δὲ ταῦτα ὁ Ὀρέστης παραγίνεται ἐν Μυκήναις σὺν Πυλάδῃ τῷ συνανατραφέντι αὐτῷ· καὶ λάθρα εἰσελθὼν πρὸς Ἠλέκτραν τὴν ἀδελφὴν αὐτοῦ, παρακαλεῖ πεῖσαι τὴν μητέρα αὐτοῦ Κλυταιμνήστραν δέξασθαι αὐτόν· ἥτις παρ' αὐτῆς παρακληθεῖσα δέχεται τὸν υἱόν· μετὰ δὲ μικρὸν ἀποσυνοψίζεται καὶ τῷ Αἰγίσθῳ δυσωπηθέντι ὑπὸ Κλυταιμνήστρας. ὁ δὲ Ὀρέστης ἐπιτηρήσας ἡμέραν ἐπιτηδείαν, καὶ εἰσελθὼν εἰς τὰ βασίλεια, κτείνει τὸν Αἴγισθον καὶ Κλυταιμνήστραν τὴν ἑαυτοῦ μητέρα. ἐκ δὲ τῆς μανίας τῶν φρενῶν ἐξέστη· καὶ ποτὲ μὲν διῆγεν ἐν σωφροσύνῃ, ποτὲ δὲ ἐμαίνετο. πρὸς δὲ θεραπείαν τῶν πολιτῶν οἱ ἱερεῖς τοῦτον ἀγρεύσαντες[27], ἐβούλοντο βασιλεῦσαι ὡς αὐτὸν φιλοῦντες· καὶ λαβόντες φέρουσιν εἰς τὸ ἱερὸν Ἀπόλλωνος ἐν Δελφοῖς, παραμεῖναι, ἵνα τὴν μανίαν ἀποθέμενος βασιλεύσῃ. ὁ δὲ Ὀρέστης εἰσελθὼν ἐν τῷ ἱερῷ μετὰ Πυλάδου, ποιήσας δὲ θυσίαν ᾔτει τὴν Πυθίαν ἐκφυγεῖν τῆς μανιώδους νόσου· καὶ ἐδόθη αὐτῷ χρησμὸς ὧδε· "Ὀρέστα, οὐκ ἄλλως σὲ χρὴ ἀργαλέης νόσου[28] μανίην ἀποθέσθαι· εἰ μὴ περάσας Πόντου κύματα, Σκυθίης τε γαίην καταλάβοις Αὐλίδα χώραν· ἐν δ' ἱερῷ Ἀρτέμιδος ληφθεὶς, σωθήσῃ βωμῶν καὶ δεσμῶν· κἀκεῖθεν ἐκφυγὼν, ἀντολίης βαρβάρων χθόνα περήσας, καταλάβῃς Συρίης γαίην οἰωμένην[29], αὐλῶνος Σίλπιον[30] ὄρος· ἔνθα μέγας ἐστὶ ναὸς Ἑστίας· ἐκεῖ λυσσώδη μανίαν ἀποτίθει· θᾶττον ἴθι, ταῦτα ἔφην ἃ γίνεται.

Καὶ τοῦτο χρησμοδοθεὶς Ὀρέστης ἐσημειώσατο[31]. καὶ εὐθέως καταπλεύσας ἅμα τῷ Πυλάδῃ κατέφθασεν ἐπὶ τὴν Αὐλίδα τῆς Σκυθίης χώραν. καὶ ἀνελθόντων αὐτῶν ἐκ τοῦ πλοίου, προσέσχεν Ὀρέστης ἱερῷ ἑστῶτι ὡς ἀπὸ μιλίων δύο τῆς θαλάσσης· καὶ θανόντων ἀνθρώπων ἐρριμένοις ὀστέοις[32]. καὶ λέγει τῷ Πυλάδῃ· "δοκεῖ σοι θεᾶς εἶναι τάδε μέλαθρα ἔνθα ἥκομεν· ὁρῶ δὲ τῶν "θανόντων ξένων ἀνθρώπων ἀκροθίνια[33]." καὶ προσεσχηκὼς ὁ Πυλάδης τῷ Ὀρέστῃ λέγει· "φύγωμεν[34] ὅπως σωθῶμεν." ὁ δὲ

[27] ἀγνεύσαντες. [28] νόστου Cod. [29] σειομένην. [30] Cf. Jo. Antioch. περὶ Ἐπιβουλῶν p. 4, 29. qui omnia hæc, credo, similiter narravit in suis Chronicis. Malala autem auctore in ceteris longe præstantior fuit. [31] χρησμοδοτηθεὶς Mal. [32] ἐρριμμένα ὀστέα Mal. [33] τὰ ὀστέα Mal. [34] φύγομεν.

Ὀρέστης εἶπεν· “οὐ φύγωμεν, οὔτε δὲ φεύγειν εἰώθαμεν· οὔτε “δὲ τὸν χρησμὸν τοῦ θεοῦ κακιστεύσομεν[34].” τούτους δὲ ἑωρακότες βουκόλοι, ἔδραμον πρὸς τὴν Ἰφιγένειαν λέγοντες αὐτῇ· Ἀγαμέμνονος καὶ Κλυταιμνήστρας κοῦροι[35], ἥκασι δύο παρὰ τὴν Κυανέαν. ἡ δὲ πρὸς αὐτούς· ποταποί εἰσιν, ἢ ποίας γαίης; τί τοὔνομ᾽ ἔχουσιν οἱ ξένοι; ἐπηρώτα γὰρ πάντας τοὺς συλλαμβανομένους ἡ Ἰφιγένεια, καὶ πρὸς θυσίαν ἀγομένους, ποίας χώρας, καὶ οὕτως ἐσφάζοντο, βουλομένη μαθεῖν περὶ τοῦ ἰδίου πατρὸς Ἀγαμέμνονος καὶ περὶ τοῦ κατὰ Φρυγῶν πολέμου τί γέγονεν. οἱ δὲ βουκόλοι λέγουσιν αὐτῇ. ἕτερος εἶπε πρὸς τὸν ἕτερον, Πυλάδη· τοῦ δὲ σὺν αὐτῷ τοὔνομα οὐκ ἴσμεν· οὐδὲ γὰρ ἔφη. ἡ δὲ πρὸς αὐτούς· τί γὰρ κοινὸν βουκόλοι ἐν θαλάσσῃ; οἱ δὲ, βοῦς ἥκομεν νίψαι ἐν ἁλίᾳ δρόσῳ. τότε πέμψασα[36] Σκύθας συνέσχεν αὐτοὺς, καὶ ἤχθησαν εἰς θυσίαν δέσμιοι· καθὼς Εὐριπίδης ποιητικῶς δράμα ἐξέθετο. καὶ δεσμευθέντων αὐτῶν ἐκέλευσεν ἀφορισθῆναι τὸν ἕνα, καὶ τὸν ἄλλον ἀχθῆναι εἰς θυσίαν. τοῦ δὲ Πυλάδου ὑπὸ τῶν Σκυθῶν εἰς τὸν βωμὸν ἐνεχθέντος, ἐπηρώτα αὐτὸν ἡ Ἰφιγένεια; ποίας ἂν εἴη χώρας; ὁ δὲ ἔφη· χώρας μὲν Ἕλλαδος· πόλεως δὲ Μυκήνης, ὁ δυστυχὴς πάρειμι. ἡ δὲ ἀκούσασα τὴν χώραν καὶ τὴν πόλιν, ἔνθα ἐβασίλευσεν ὁ ταύτης πατὴρ, ἐδάκρυσε· νομίσασα δὲ ὡς ὑπὸ τῶν βουκόλων ἐδιδάχθησαν, εἰ ἐκ Μυκήνης παρεγένου, ἔφη· οἶδας καὶ τίς αὐτῆς βασιλεύει; ὁ δὲ, εἶπεν Ἀγαμέμνων ἦν πρώην. ἡ δὲ πάλιν πρὸς αὐτόν· εἰ τὸν Ἀγαμέμνονα ἠκριβώσω, τίς ἡ τούτου γυνή; καὶ τίνας ἔσχεν ἐκ ταύτης παῖδας; ὁ δὲ ἐκ Κλυταιμνήστρας, ἔφη, τῆς ἑαυτοῦ γυναικὸς, Ὀρέστην ἔσχεν, Ἠλέκτραν τε καὶ Ἰφιγένειαν, ἥτις, ὡς λέγουσι, προσήχθη θυσίαν[37] τῇ Ἀρτέμιδι, καὶ ἡ θεὸς ἐρύσατο αὐτὴν, καὶ οὐκ ἐγνώσθη ποῦ ὑπάρχει· ἔσχε δὲ καὶ Χρυσόθεμιν καὶ Λαοδίκην ἄλλας θυγατέρας· ὁ δὲ Ὀρέστης, ὁ σὺν ἐμοὶ ἐστὶν ἐνταῦθα ἀγρευθείς. ἡ δὲ ἀκούσασα ταῦτα, ἐκέλευσεν ἀπολυθῆναι τῶν δεσμῶν, καὶ γράψασα δίπτυχον ἐπέδωκεν αὐτῷ, εἰποῦσα, ἡ θεὸς ἰδοὺ τὸ ζῆν σοι παρέσχε δι᾽ ἐμοῦ· ἐπόμοσαί μοι, ὅτι τὸ δίπτυχον τοῦτο ἐπιδίδως Ὀρέστῃ· καὶ κομίζει μοι παρ᾽ αὐτοῦ γράμματα· ὁ δὲ

[34] τούτου Cod. [35] κόρη Mal. [36] πέμψας Cod. [37] θυσία leg. cum Mal.

ἐπωμόσατο αὐτὴν, "ὅτι καὶ εἰς τὰς αὐτοῦ χεῖρας ἐπιδίδωμι αὐτὸ, "καὶ πρὸς ἑαυτὸν ἄγω." καὶ λαβὼν τὸ δίπτυχον ἐξῆλθε πρὸ τοῦ ἱεροῦ, ὅπου Ὀρέστης ἐφυλάττετο· καὶ ἐπιδεδωκὼς αὐτῷ τὸ δίπτυχον, ἔφη, "ἔξελθε πρὸς τὴν σὴν ἀδελφήν." καὶ ἔμειναν οἱ Σκύθαι θαυμάζοντες τὸ συμβάν· καὶ εἰσήγαγον αὐτὸν[38] ἅμα τῷ Πυλάδῃ πρὸς Ἰφιγένειαν· καὶ λέγει αὐτῇ Πυλάδης· ἴδε Ὀρέστης· ἡ δὲ ἀτενίσασα, οὐκ ἐγνώρισε τὸν χαρακτῆρα· ἔφη δὲ, ὁ ἐμὸς ἀδελφὸς τὸ Πελόπειον τοῦ γένους σήμαντρον ἔχει ἐν τῷ ὤμῳ, ἐλαίαν. προσχοῦσα δὲ τῷ δεξιῷ ὠμοπλάτῃ τούτου, εἶδε τὸ Πελόπειον σύσσημον ἔχοντα αὐτόν· καὶ εὐθέως περιπτυξαμένη τὸν Ὀρέστην ἐκέλευσεν ἐκβάλλεσθαι τὰ πλοῖα πρὸς τὴν γῆν, καὶ τοὺς ἐν αὐτοῖς ναύτας· καὶ νεωλκήσαντες[39] αὐτὰ[40], ἔμειναν ἐκεῖσε τὸν χειμῶνα.

Τοῦ δὲ θέρους καταφθάσαντος, λαβόντες τὴν Ἰφιγένειαν καὶ τὸ χρυσοῦν ἄγαλμα τῆς Ἀρτέμιδος λάθρα, ὅ τε Ὀρέστης καὶ Πυλάδης, ἔφυγον δι' ὧν εἶχον πλοίων· καὶ διαπεράσαντες τὴν τῶν Ἀδιαβηνῶν χώραν, ἦλθον ἐπὶ τὴν ἀνατολὴν, εἰς χώραν τῆς Παλαιστίνης λεγομένην Τρικωμίαν· καὶ ἰδόντες οἱ τῆς Τρικωμίας τὸ ἱερὸν τῆς Ἰφιγενείας σχῆμα, ἐδέξαντο ταύτην ἐν τιμῇ, καὶ διέτριβον ἐκεῖ, διὰ τὸ τὸν Ὀρέστην ληφθῆναι τῇ μανιώδει νόσῳ. Κτίσαντες δὲ οἱ Τρικωμῖται ἱερὸν Ἀρτέμιδι μέγα, παρεκάλουν τὴν Ἰφιγένειαν θῦσαι τῇ Ἀρτέμιδι κόρην παρθένον, καὶ τὸ ὄνομα αὐτῆς τῇ κώμῃ ἐπιθεῖναι· ἥντινα κόρην Νύσσαν ὀνόματι αὐτῇ προσαγαγόντων, ἔθυσε τῇ Ἀρτέμιδι, καὶ ποιήσασα τῇ σφαγιασθείσῃ κόρῃ ὑπ' αὐτῆς στήλην χαλκῆν, τυχαίας ἐκάλεσε τὴν κώμην πόλιν Νύσσαν, εἰς ὄνομα τῆς παρ' αὐτῆς θυσιασθείσης κόρης· ποιήσασα καὶ βωμὸν, ἐν ᾧ ταυτὶ ἐπέγραψε[41]· "τοὺς ἐκ "Σκύθης φεύγοντας δέχου, ὦ θεά." ἅτινα ἕως τοῦ νῦν γέγραπται. τοῦ δὲ Ὀρέστου τὰς ἰδίας ἀναλαβόντος φρένας, ἡ Ἰφιγένεια εἶδεν ἐν ὁράματι ἔλαφον λέγουσαν αὐτῇ, ἐκ τῆς χώρας φυγεῖν ἐκείνης. ἀναστᾶσα δὲ πρωὶ ἅμα τῷ Ὀρέστῃ καὶ Πυλάδῃ, ᾤχετο ἐπὶ τὴν παραλίαν τῆς Παλαιστίνης. Κακεῖθεν ἀποπλεύσαντες, ἦλθον εἰς Συρίαν κατὰ τὸν χρησμόν. Ὁ δὲ βασιλεὺς τῆς Σκυθίας ὀνόματι

[38] αὐτὴν Cod. [39] νεολκήσαντες Cod. [40] αὐτὸν Cod. [41] ἐπέγρα Cod.

Θόας, ἀκούσας ὅτι τὸ χρυσοῦν ἄγαλμα τῆς Ἀρτέμιδος ἔλαβεν ἡ Ἰφιγένεια καὶ ἔφυγεν, ἐξέπεμψε Σκύθας καταδιώκοντας αὐτὴν, εἰρηκὼς αὐτοῖς μὴ ὑποστρέφειν εἰς Σκυθίαν εἰ μὴ τὸ ἄγαλμα τῆς Ἀρτέμιδος ἀγάγωσι μεθ' ἑαυτῶν. Οἱ δὲ καταδιώξαντες καὶ πανταχοῦ ἐπιζητήσαντες κατέφθασαν τὴν Παλαιστινῶν χώραν καὶ τὴν πρώην Τρίκωμιν[41] πόλιν Νύσσαν· καὶ μαθόντες τοὺς περὶ τὴν Ἰφιγένειαν καὶ Ὀρέστην ὡς ἐπὶ τὴν παράλιον ἀντέπλευσαν, ἔμειναν ἐκεῖ τριφθέντες[42] τῷ τόπῳ, μάλιστα διὰ φόβον τοῦ βασιλέως Σκυθίας, μετακαλέσαντες τὴν πόλιν εἰς τὸ ἴδιον ὄνομα Σκυθόπολιν.

Ὁ δὲ Ὀρέστης τοῖς σὺν αὐτῷ κατέλαβε τὴν Συρίαν, καὶ ἐξελθὼν ἐκ τοῦ πλοίου ἐπηρώτα, ποῦ τὸ Μελάντιον ὄρος ὑπάρχει, καὶ ὁ ναὸς τῆς Ἑστίας; καὶ εὑρηκὼς, εἰσῆλθεν εἰς τὸ ἱερὸν, καὶ θυσίαν ποιήσας, παρέμεινε τῷ ναῷ. ἀπαλλαγεὶς δὲ τῆς νόσου, ἀνεχώρησε τοῦ ἱεροῦ, κἀκεῖθεν ὁρμήσας καὶ περάσας τὸν Τύφωνα ποταμὸν, τὸν νῦν λεγόμενον Ὀρόντην, ἦλθεν ἐπὶ τὸ Σίλπιον ὄρος προσκυνῆσαι τοὺς Ἰωνίτας. οἵ τινες ἀκηκοότες τὴν πρὸς Ὀρέστην γενομένην ἴασιν, ἀπήντησαν αὐτῷ, ἐπειδὴ ἐκ τῆς χώρας αὐτῶν κατήγετο, καὶ ἐξ αἵματος βασιλικοῦ ὑπῆρχε. καὶ ἀσπασάμενοι ἠρώτων αὐτόν· "Ὀρέστα, που τὴν μανίαν ἀπέθου;" ὁ δὲ κουφίσας τὴν δεξιὰν αὐτοῦ χεῖρα, τῷ δακτύλῳ ὑπέδειξεν αὐτοῖς τὸ ἱερόν· οἱ δὲ Ἰωνῖται ποιήσαντες τῷ Ὀρέστῃ στήλην χαλκῆν τῷ σχήματι ᾧ ἔδειξεν αὐτοῖς, ὑπὲρ ἄνω κίονος μεγάλου ἔστησαν εἰς μνήμην αἰωνίαν καὶ δόξαν τῆς χώρας, καὶ τοῦ ἱεροῦ τῆς Ἑστίας· σημαίνοντες τοῖς μετὰ ταῦτα, που Ὀρέστης τὴν λυσσώδη ἀπέθετο μανίαν· ἥτις στήλη ἕως τοῦ παρόντος ἵσταται. ὁ δὲ Ὀρέστης συνταλαξάμενος[43] τοὺς Ἰωνίτας, κατῆλθεν εἰς τὴν παράλιον Σελευκείας· καὶ εὑρηκὼς ναῦς ἐκεῖ, ἀπέπλευσε μετὰ Ἰφιγενείας καὶ τοῦ Πυλάδου εἰς τὴν Ἑλλάδα· καὶ ζεύξας πρὸς γάμον τὴν ἑαυτοῦ ἀδελφὴν Ἠλέκτραν τῷ Πυλάδῃ, κατέσχε τῆς Μυκηναίων χώρας ἕως θανάτου.

Ἐν τοῖς χρόνοις τούτοις ἐθαυμάζετο παρ' Ἕλλησι Θέομις[44],

[41] Τρικωμιαν Mal. [42] τερφθέντες leg. cum Mal. [43] Sic. προσκύνησας Mal. [44] Θέμις Mal.

ὃς πρῶτος ἐξεῦρε τραγῳδικὰς μελῳδίας, καὶ ἐξέθετο πρῶτος δράματα· καὶ μετ' αὐτὸν Μίνων[45], καὶ μετὰ Μίνωα Αὐλέας τραγικοὺς χωροὺς[46] δραμάτων συνεστήσατο[47]· καὶ λοιπὸν εἰς τὸν μετὰ ταῦτα χρόνον, ἐξ αὐτῶν εὑρὼν Εὐριπίδης, πολλὰς ἱστορίας δραμάτων ἐξέθετο, ὡς Θεόφιλος συνεγράψατο.

Μετὰ δὲ ἀναρχίαν τῶν Ἑβραίων, Ἠλεὶ ὁ ἱερεὺς ἔκρινεν αὐτοὺς ἔτη κ', μὴ ἀποβαλὼν τὴν τῆς ἱερατείας τιμήν· ἐν οἷς χρόνοις ἡ τῶν Σικυωνίων[48] ἀρχὴ κατελύθη, διαρκέσασα ἐπὶ ἔτη ϡξα'. ἀρξαμένη μὲν κατὰ Ἰσαὰκ τὸν παῖδα Ἀβραὰμ, λήξασα δὲ κατὰ τὸ ια' τῆς κρίσεως ἔτος Ἠλεὶ τοῦ ἱερέως· ὃς ἐν γήρᾳ τὸν βίον τελευτᾷ, ἐτῶν ϟη'· τριάκοντα γὰρ καὶ ὀκτὼ ἔτεσι διαγενόμενος ἱερατεύει ἐπὶ τῆς ἀναρχίας ἔτη μ', καὶ κρίνει τὸν λαὸν ἔτη ἕτερα κ', μέχρι τῆς Σαοὺλ βασιλείας. τὴν δὲ ἱερατείαν ἐδέξατο Σαμουὴλ χρηστὸς ἀνὴρ, ὅστις χρίει τὸν Σαοὺλ εἰς βασιλέα· ἔτος δὲ τοῦτο καθ' ἡμᾶς ͵δτϟβ'.

## Ἑβραίων βασιλεῖς.

Μετὰ Ἠλεὶ τὸν ἱερέα κρατεῖ Σαμουὴλ χρηστὸς ἀνὴρ, ὅστις χρίει τὸν Σαοὺλ εἰς βασιλέα, καὶ συνάρχουσιν ἄμφω· ὁ μὲν ἱερατείαν, ὁ δὲ βασιλείαν ἐπισπασάμενοι. καὶ λοιπὸν βασιλεύει Σαοὺλ πρῶτος τῶν Ἰουδαίων, ἔτη μ'· οὗ τρισκαιδεκάτου ἔτους ἐνεστῶτος, γίνεται ἡ τῶν Ἡρακλειδῶν κάθοδος ἐν Πελοποννήσῳ, ληξάντων τῶν Πελοπιδῶν. ἐν τούτοις τοῖς χρόνοις καὶ Ὅμηρον τὸν ποιητὴν τὴν Ἰλιάδα καὶ Ὀδύσσειαν ἐκθέσθαι. οὐκ ἀγνοοῦμεν οὖν ὡς Ἔφορος καὶ τινὲς ἄλλοι τῶν συγγραφέων πολλαῖς γενεαῖς ὑστερεῖν αὐτὸν φασίν· οὐδ' ὡς ἔνιοι γεγράφασιν Ἡσιόδῳ τῷ ποιητῇ συνηκμακότα· οὐ μὴν ἡμεῖς γε τούτοις συγκατατιθέμεθα, καθὼς Διόδωρος ἀποδείκνυσι τοῦτον πρὸ τῆς Ἡρακλειδῶν καθόδου τετελευτηκότα. λέγουσι δὲ τοῦτον τεθνᾶναι ἐν Ἴῳ τῇ νήσῳ γηραιὸν ὡς ἐτῶν ϟ'. φασὶ γὰρ τοῦτον ἀνερχόμενον ἐν τῇ προειρημένῃ νήσῳ θεάσασθαι ἁλιεῖς παρερχομένους· πρὸς οὓς εἰπεῖν

[45] Μίνως Mal. [46] Sic. [47] συνεγράψατο Mal. qui Theophili testimonium non adducit; quod autem parum probabilem efficit Bentleii conjecturam de his perantiquis dramaticis auctoribus. Bentl. Ep. ad Mill. p. 44. [48] Σικυονίων Cod.

ἄνδρες ἀπ' Ἀρκαδίης ἁλίτορες[48]· ἦρ' ἔχομεν τι;

τοὺς δὲ ἀποκριθέντας εἰπεῖν, "οὓς ἕλομεν, λειπόμεθα· ὅσους δὲ "οὐχ εἵλομεν, φερόμεθα·" σκοπήσας δὲ τὸ λεχθὲν Ὅμηρος, ἀνεμνήσθη τοῦ πρώην λεχθέντος αὐτῷ χρησμοῦ, ἐν τοῖσι μοῖρ' ἐστὶ τελευτῆσαι βιότοιο. εἰσελθὼν δὲ ἐν τῇ νήσῳ, καὶ μικρὸν νοσήσας, ἐτελεύτησε. θάψαντες δὲ αὐτὸν οἱ Ἰωνῖται μεγαλοπρεπῶς, τοιόνδε ἐπέγραψαν αὐτοῦ τῷ τάφῳ·

ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

Κρατεῖ δὲ πόλεμος ὁ μεταξὺ τῶν Ἡρακλειδῶν καὶ Πελοποννησίων· τέλος τῶν Πελοπιδῶν ἡττηθέντων, γίνεται ἡ τῶν Ἡρακλειδῶν κάθοδος ἐν Πελοποννήσῳ, τὸ ὀγδοηκοστὸν ἔτος τῆς Ἰλίου ἁλώσεως. τότε καὶ Ῥόδος ἡ νῆσος παρὰ Πελοποννησίων οἰκίζεται μετοικισάντων ἐκ Πελοποννήσου, διὰ τὴν τῶν Ἡρακλειδῶν ἐπίθεσιν· καὶ λήγει ἡ τῶν Μυκηναίων βασιλεία τῷ ιγ' ἔτει τῆς Σαοὺλ βασιλείας· ἔνθα καὶ Ὅμηρον τεθνᾶναι. καὶ βασιλεύουσι Λακεδαιμόνιοι, μετὰ τὸ ὀγδοηκοστὸν ἔτος τῆς Ἰλίου ἁλώσεως· ὧν πρῶτος ἄρχει Ἐρεχθεὺς[49] ἐπὶ ἔτη μβ', καὶ παραπέμπει τὴν βασιλείαν μέχρις Ἀλκαμένους τοῦ ἐσχάτου· ἐφ' οὗ ἡ πρώτη Ὀλυμπιὰς ἤχθη. καὶ βασιλεῖς μὲν γεγόνασι τὸν ἀριθμὸν ἐννέα· ἔτη δὲ αὐτῶν τκϛ'. συνακμάζει δὲ καὶ ἡ τῶν Κορινθίων βασιλεία Λακεδαίμοσι κατὰ τοὺς αὐτοὺς χρόνους ἐπιφυεῖσα· ὧν πρῶτος ἐβασίλευσεν Ἀλήτης ἔτη λη'· καὶ ἀποπέμπει τὴν βασιλείαν μέχρις Αὐτομένους. καὶ γίνονται βασιλεῖς τὸν ἀριθμὸν δώδεκα· ἔτη δὲ αὐτῶν τκϛ'· ἴσα τοῖς Λακεδαίμοσι καὶ ἀρχὴν καὶ τέλος ἐνέγκαντες. ἐν δὲ τῇ Ἰουδαίᾳ ἀναιρεῖται Σαοὺλ ἐν πολέμῳ. Δαβὶδ δὲ μετ' ἐκεῖνον υἱὸς Ἰεσσαὶ, βασιλεύει ἔτη μ'· ἐφ' οὗ προεφήτευον Γὰδ, Νάθαν, Ἀσάφ· ὃν χρόνον κατὰ τὴν Ἀσίαν Ἀμαζονίδων ἔφοδον ἱστοροῦσι. Μαγνησία δὲ πόλις κτίζεται· ἐν δὲ τῇ Ἰταλίᾳ Μυκήνη. τότε καὶ Χαλκηδὼν πόλις κτίζεται ὑπὸ Χαλκηδόνος τοῦ Τυρίου, τὸ πρὶν καλουμένη Ἰωριγώ· ὕστερον τῶν Τρωϊκῶν ὡς ἔτεσί που ρμ'. τῷ δ' αὐτῷ ἔτει Νηλεὺς ἡγούμενος Ἀθηναίων καὶ Πελοποννησίων ἔρχεται εἰς Ἀσίαν, καὶ ἐκβαλὼν τοὺς Κάρας, τὰς Ἰωνίδας ᾤκισε πόλεις· αἵτινες εἰσὶν αὗται· Ἐφε-

48 Leg. ἀλιτήρες. 49 Leg. Εὐρισθεὺς.

σος, Μυοῦς, Πριήνη[50], Μίλητος, Κολοφὼν, Σάμος, Λέβεδος, Ἐρυθραὶ, Κλαζομεναὶ, Χίος, Σμύρνα, Φώκεα, πόλις[51] δώδεκα. αὗται εἰσὶν αἱ Ἰωνίδες. καὶ τελευτᾷ τὸν βίον Δαβὶδ, Σολομὼν δὲ μετ' αὐτὸν βασιλεύει· τὸν αὐτὸν τῷ πατρὶ τεσσαρακονταετῆ χρόνον. ὃς οἰκοδομεῖ τὸν ναὸν κατὰ τὸ δʹ τῆς αὐτοῦ βασιλείας ἔτος, ἣν ἀπὸ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἀναγράφουσιν Ἑβραῖοι ἔτη υπʹ· καθ' ἡμᾶς δὲ ἔτη ϡʹ. ἐφ' οὗ Τυρίων ἐβασίλευε Χηρὰμ, ὃς ἀπέστειλε τῷ βασιλεῖ Σολομῶντι εἰς βοήθειαν τῆς κατασκευῆς τοῦ ἱεροῦ, ὀκτὼ μυριάδας ἀνδρῶν. καὶ μετ' αὐτοῦ βασιλεύει Ἥραμος· οὗ τὴν θυγατέρα ἔγημε Σολομὼν, ὡς ἱστορεῖ Τατιανός· ἐν δὲ τῷ ὑπ' αὐτοῦ κτισθέντι ναῷ, ἔπηξε τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ αὐτόχαλκα.

Ῥοβοὰμ υἱὸς Σολομῶντος μετὰ τὸν πατέρα κρατεῖ τῆς ἀρχῆς ἐπὶ ἔτη ιζʹ· οὗ τὸ πρῶτον ἔτος δέκα φυλαὶ ἀπῆραν ἐξ Ἱερουσάλημ, καὶ κατέβησαν εἰς Σαμάρειαν. καὶ βασιλεύουσιν ἐφ' ἑαυτοῖς τὸν Ἱεροβοὰμ υἱὸν Νάβατ· ὃς ἁμαρτήσας εἰς τὸν λαὸν, Αἰγύπτιον Ἆπιν ἱδρύσας ἐν Σαμαρείᾳ, δεύτερον ὡς θεὸν προσκυνῆσαι ἐποίησεν· ὥσπερ καὶ πρότερον κατὰ τὸ Σινὰ ὄρος ἐν τῇ ἐρήμῳ. Ἀβιὰ δὲ μετὰ Ῥοβοὰμ βασιλεύει τῆς Ἱερουσάλημ ἔτη γʹ. Ἀσὰ[52] δὲ μετ' ἐκεῖνον κρατεῖ τῆς ἀρχῆς ἔτη μαʹ· ἐν οἷς προεφήτευον ἐν Σαμαρείᾳ Ἀζαρίας καὶ Ὠδὴκ, υἱὸς Σαδώκ. Ζαμβρὶ δὲ βασιλεύσας Ἰσραὴλ κτίζει τὴν Σαμάρειαν. Τῶν δὲ Ἰουδαίων, ἤτοι τῆς Ἱερουσάλημ βασιλείας, βασιλεύει Ἰωσαφὰτ ἔτη κεʹ· ἐφ' οὗ προεφήτευον Ὠσηὲ καὶ Ἄμως Ἀβδιοῦ, Ἠλίας, καὶ Μιχαίας. τῆς δὲ Σαμαρείας Ζαμβρὶ τελευτήσαντος Ἀχκὰβ βασιλεύει· ἐφ' οὗ Ἠλίας ὁ προφήτης πάντας τοὺς προφήτας τῆς Βαὰλ ἀπέκτεινεν ἐν ῥοφαίᾳ, καὶ τὴν Ἐζάβελ φυγὼν, εἰς τὸ ὄρος Χωρὴμ παρεγένετο. Ἀχαὰβ δὲ ὁ τῆς Σαμαρείας βασιλεὺς ἀναιρεῖται ὑπὸ Σύρων ἐν ἐρήμῳ τῆς Γαλαάδ. καὶ διαδέχεται τοῦτον Ὀχοζίας, εἰς ἔτη βʹ· οὗ τελευτήσαντος, Ἰωρὰμ βασιλεύει τῆς Ἱερουσαλὴμ μετὰ Ἰωσαφὰτ, Ἰωρὰμ ὁμώνυμος βασιλεύει ἔτη ηʹ· ἐφ' οὗ Ἠλίας ὁ Θεσβίτης εἰς ὄρος τὸ Καρμίλιον κάθητο· ὁπηνίκα τοὺς δύο πεντηκοντάρχας πρὸς αὐτὸν παραγενομένους, λόγῳ αὐτοῦ πῦρ οὐρανόθεν κατελθὼν κατέκαυσεν. ἐν τῇ Ἱερουσαλήμ βασιλεύει Ὀχο-

[50] πρίνη Cod. [51] Sic. [52] ἴσα Cod.

ζίας ἔτος α΄. Ἐλισσαῖος δὲ ὁ προφήτης χρίει τὸν Ἰοὺ βασιλέα Σαμαρείας· ὃς ἀναβὰς εἰς Ἱερουσαλὴμ ἀνεῖλεν Ὀχοζίαν βασιλέα Ἰούδα· σὺν αὐτῷ δὲ πάντας τοὺς προφήτας Βάαλ καὶ τοὺς ἱερεῖς κατέσφαξε· τήν τε Ἐζάβελ καὶ τοὺς ο΄ υἱοὺς τοῦ Ἀχαὰβ, οὓς ἔσχεν ἐκ διαφόρων παλλακῶν. εὑρὼν δὲ τὸν Ἰωνάδαμ υἱὸν Ῥίχαβ, καὶ ἐνδόξως αὐτὸν προσλαβόμενος, συνεκάθισεν ἐπὶ τοῦ ἅρματος. Ἡλίας δὲ ὁ προφήτης ἀνελήφθη. ἐν δὲ Ἱερουσαλὴμ μετὰ Ὀχοζίαν βασιλεύει Γοδολία μήτηρ Ὀχοζίου ἔτη ζ΄. Ἰοὺ δὲ ὁ βασιλεὺς Σαμαρείας ταύτην ἀποκτείνας, βασιλεύει ἀντ᾽ αὐτῆς τοῦ Ἰωνίας υἱὸν Ὀχοζίου τοῦ υἱοῦ αὐτῆς· ὃν ἡ τιθηνὸς λαβοῦσα, ἔκρυβεν ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας Γοδολίας τῆς μητρὸς τοῦ πατρὸς αὐτοῦ. ταύτην δὲ Ἰωδαὲ ὁ ἱερεὺς ἐποίησεν ἀναιρεθῆναι· ὃς μόνος μετὰ Μωσέα λέγεται βιῶσαι ἔτη λ΄ καὶ ρ΄.

Ἰωὰς δὲ ὁ εἰρημένος βασιλεύει ἔτη μ΄· ὃς τὸν οἶκον Κυρίου ἀνῳκοδόμησε τὸν ἐν Ἱεροσολύμοις, ἀμεληθέντα ἀπὸ τῆς Σολομῶντος κατασκευῆς. Ἀζαρίας δὲ ὁ προφήτης ἀναιρεῖται λίθοις ὑπὸ τοῦ λαοῦ· οὗ μετ᾽ ὀλίγον καὶ Ζαχαρίας ὑπὸ Ἰωά· ὅστις Ἰωᾶς ἀναιρεῖται ὑπὸ τῶν ἰδίων δούλων. Ἀμεσίας μετὰ τὸν Ἰωᾶ κρατεῖ τῆς ἀρχῆς ἐνιαυτοὺς κθ΄· καθ᾽ ὃν ἔτος ἀπὸ Ἰλίου ἀλώσεως ἠνύετο τ΄ καὶ λ΄. Ἀμεσίας δὲ τὸν Ἐδὼμ καταπολεμήσας ἀναιρεῖται εἰς Λαχεῖς, ὥσπερ καὶ ὁ πατὴρ αὐτοῦ, ὑπὸ τῶν ἰδίων δούλων. ἐπὶ τούτου προεφήτευεν Ἀμώς. Ὀζίας δὲ, ὁ καὶ Ἀζαρίας καλούμενος, διαδεξάμενος τὴν βασιλείαν κρατεῖ μέχρι θέσεως τῶν Ὀλυμπίων ἔτη μθ΄. οὗτος φασὶ παρὰ τὸ προσῆκον ποιήσας ἔλεος, ἐλεπρώθη παρὰ Κυρίου. ἐν τούτοις τοῖς χρόνοις Σαρδανάπαλος κατελθὼν ἀπὸ τῆς Ἀσσυρίων χώρας, εἰς Ταρσὸν ᾤκησε. συμβαλὼν δὲ εἰς μάχην Ἀρβάκῳ τῷ Μήδῳ, καὶ ἡττηθεὶς ὑπ᾽ αὐτοῦ, ἑαυτὸν εἰς πῦρ ἔρριψεν· ἐφ᾽ οὗ καταλήγει ἡ τῶν Ἀσσυρίων βασιλεία· ἀρξαμένη μὲν κατὰ τὸ ξθ΄ ἔτος Ἀβραὰμ, λήξασα δὲ τῷ ἑβδόμῳ ἔτει Ὀζίου τοῦ προειρημένου * * * * ᵋ/τ[53] * *

[53] fort. τέλος.

# ΕΤΕΡΑ ΧΡΟΝΙΚΑ.

## 1. Ἐκλογὴ τῶν Χρονικῶν ἀπὸ Ἰωάννου Ἱστορικοῦ ἀπὸ Ἀδὰμ ἕως βασιλείας Καίσαρος.

INTER varia Chronographica, quæ huc congessi, primum occupant locum hæc excerpta e Joanne Antiocheno dicto Malala, ut horum ope sarciatur defectus qui inest in Codice Oxoniensi, (Barocc. 182.) e quo unico hactenus vulgatum est Malalæ Chronicon. Primus enim Editor hanc lacunam supplere conatus erat e consimilis farinæ scriptore Georgio Hamartolo; et assutus hic pannus etiamnum servatus est in nova Ed. Corp. Byz. ex recensione Lud. Dindorf. Hoc posthac, si id tanti erit momenti, in meliorem ordinem redigetur, ita ut suum cuique reddatur, ope Cod. Paris. 1336, e quo Excerpta e Joannis Antiocheni Chronicis, quæ ad rem nostram faciunt, in præsenti vulganda curavi. Codex est membranaceus form. in fol. XI. Sæc. scriptus, et ea habet fol. 143. r. Ἐκλογὴ τῶν Χρονικῶν ἀπὸ Ἀδὰμ ἕως Μιχαὴλ γαμβροῦ Νικηφόρου βασιλέως, ἀπὸ Ἰωάννου ἱστορικοῦ, ἀπὸ Ἀδὰμ ἕως βασιλείας Καίσαρος, καὶ Γεωργίου Συγγέλλου, ἀπὸ Ἰουλίου Καίσαρος μέχρι βασιλείας Διοκλητιανοῦ, καὶ Θεοφάνους ἡγουμένου τοῦ Ἀγροῦ, ἀπὸ Διοκλητιανοῦ μέχρι Λέοντος τοῦ Ἀρμενίου.

Ὁ ΠΡΩΤΟΣ ἄνθρωπος ἐκ τῆς γῆς Ἀδὰμ, εἶχε μέτρον ἡλικίας πόδας ἓξ, μετὰ τῆς αὐτοῦ κεφαλῆς, ὡς εἶναι τὴν αὐτοῦ ἡλικίαν δακτύλων ϟς. ἡ δὲ σπιθαμὴ αὐτοῦ εἶχε δακτύλους ιδ. ὁ δὲ πῆχυς αὐτοῦ εἶχε δακτύλους κδ. ὁ δὲ ποῦς αὐτοῦ εἶχε δακτύλους ις. ἔζησε δὲ ἔτη ϡλ. ἡ δὲ τούτου γυνὴ Εὔα ἐγέννησεν υἱοὺς τρεῖς, τὸν Κάϊν, τὸν Ἄβελ, τὸν Σήθ· καὶ θυγατέρας δύο, τὴν Ἀζουρὰν, καὶ τὴν Ἀσουὰμ. καὶ ὁ μὲν Ἄβελ ἦν ποιμὴν προβάτων, ὁ δὲ Κάϊν ἐργαζόμενος τὴν γῆν, καὶ προσήνεγκεν ἕκαστος αὐτῶν θυσίαν τῷ Θεῷ. καὶ ἔπιδεν ὁ θεὸς ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Κάϊν οὐ προσέσχε, καὶ ἐλυπήθη Κάϊν, καὶ ἀπέκτεινε τὸν Ἄβελ.

ὀργίσθη δὲ Κύριος τῷ Κάϊν, καὶ εἶπεν αὐτῷ "στένων καὶ τρέμων "ἔσῃ ἐπὶ τῆς γῆς."

Ὁ δὲ Ἀδὰμ κατὰ κέλευσιν Θεοῦ ἔθηκεν ὀνόματα πᾶσι τοῖς τετραπόδοις καὶ ἑρπετοῖς καὶ ἰχθύσι καὶ ἀμφιβίοις, καὶ τοῖς ἑαυτοῦ τέκνοις. τὸ γὰρ ἑαυτοῦ ὄνομα καὶ τῆς γυναικὸς αὐτοῦ, ἄγγελος Κυρίου εἶπεν αὐτῷ. ὁ δὲ υἱὸς αὐτοῦ ὁ Σὴθ συνέταξε τὰ ὀνόματα τῶν ἑπτὰ ἀστέρων, σοφίαν λαβὼν παρὰ Θεοῦ· καὶ κατὰ κέλευσιν Θεοῦ ἔθηκεν ὀνόματα τοῖς ἄστροις πᾶσι, καὶ τοῖς πέντε πλανῖταις, εἰς τὸ γνωρίζεσθαι ὑπὸ τῶν ἀνθρώπων. καὶ τὸν πρῶτον πλανίτην ἀστέρα ἐκάλεσε Κρόνον, τὸν β̄ Δία[1], τὸν τρίτον Ἄρεα, τὸν δ̄ Ἀφροδίτην, τὸν ε̄ Ἑρμῆν· καὶ τὰ ζ̄ φωνήεντα ἐκ τῶν ε̄ ἀστέρων, καὶ τῶν δύο φωστήρων ἐξέθετο· ἐξέθετο δὲ καὶ γράμματα Ἑβραϊκά· πρῶτος γὰρ ταῦτα ἐξεῦρεν, καὶ ταῦτα συνεγράψατο. τῶν δὲ δύο φωστήρων τὰ ὀνόματα, αὐτὸς ὁ θεὸς ἐκάλεσε, ἥλιον καὶ σελήνην. ταῦτα ὁ σοφώτατος Φουρτῖνος ὁ Ῥωμαῖος χρονογράφος συνεγράψατο.

Ὁ δὲ Σὴθ ἔλαβε γυναῖκα τὴν Ἀσουὰμ ἑαυτοῦ ἀδελφὴν, καὶ ἐτεκνοποίησε, καὶ ἐγένετο γενναίᾳ πολλῇ, καὶ ἐπλήσθη ἡ γῆ ἐξ αὐτῶν, ἀνδρῶν καὶ γυναικῶν· ὁ δὲ Κάϊν ἔλαβε γυναῖκα Ἀζουρὰν τὴν ἑαυτοῦ ἀδελφὴν, καὶ ἐγένετο ἐξ αὐτοῦ γενέᾳ πολλῇ. ἐν τοῖς οὖν μέσοις χρόνοις, ἐτέχθη Ἐνὼχ δίκαιος υἱὸς Ἰαρὲδ, καὶ οὐκ ἀπέθανε. μετὰ δὲ τὸν Ἀδὰμ, μετὰ ͵ασ̄ ἔτη μετετέθη ὁ Ἐνὼχ, ἕβδομος ὢν ἀπὸ Ἀδάμ. "ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας "τῶν ἀνθρώπων, ὅτι καλαὶ ἦσαν, ἔλαβον αὐτὰς γυναῖκας, καὶ ἐγέν-"νησαν υἱοὺς, καὶ ἦσαν γίγαντες ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκεί-"ναις, οἱ ἀπ' αἰῶνος ὀνομαστοὶ ἄνθρωποι." ἐγένετο δὲ ἀπὸ Ἀδὰμ ἕως τοῦ ἐπιθυμῆσαι τοὺς υἱοὺς τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ἔτη ͵βρκβ.

Ὁ δὲ Πλούταρχος φησὶν ὅτι σφαίρα πυρὸς κατενέχθη εἰς τὴν Κελτικὴν χώραν ὑπὸ τοῦ Θεοῦ, κατέκαυσε τοὺς γίγαντας, καὶ εἰς τὸν Κρηδανὸν[2] ποταμὸν ἐνεχθεῖσα ἡ σφαίρα, ἐσβέσθη. τοῦτο τὸ πῦρ ἱστοροῦσιν οἱ Ἕλληνες, καὶ λέγουσι τὸν υἱὸν τοῦ ἡλίου εἶναι τὸν Φαέθοντα, πεπτωκότα ἐκ τοῦ ἅρματος τοῦ ἡλίου εἰς τὴν γῆν. οἱ δὲ λοιποὶ γίγαντες, ἰδόντες τοὺς ἐξ αὐτῶν κρανοθέντας[3],

[1] δίαν Cod. [2] Leg. Ἠριδανόν. [3] Leg. κεραυνωθέντας.

ἔμειναν ἀπειθεῖς· καὶ ὀργισθεὶς ὁ Θεὸς, εἶπε πρὸς αὐτοὺς, "ὅτι "οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου," καὶ τὰ ἑξῆς, ὡς ἐμφέρεται ἐν τοῖς Μωσαϊκοῖς συγγράμμασιν.

Καὶ ἐγένετο ἄνθρωπος ἀγαπώμενος ὑπὸ τοῦ Θεοῦ, ὀνόματι Νῶε, καὶ ἐποίησε Θεοῦ προστάξει κιβωτὸν, καὶ εἰσῆλθεν αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ πάντες, καὶ ἐκ τῶν θηρίων καὶ ἑρπετῶν καὶ πετεινῶν. καὶ ἐγένετο ὁ κατακλυσμὸς ἡμέρας ‾, καὶ ἀπέθανε πᾶσα σὰρξ ἔχουσα πνεῦμα ζωῆς. Ἐγένετο δὲ ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτει[3] ,βφηβ, καὶ γενεαὶ ῑ. μετὰ δὲ τὸ παῦσαι τὸν κατακλυσμὸν, εὑρέθη ἡ κιβωτὸς εἰς τὰ ὄρη Ἀραρὰτ τῆς Πισσιδίας, καὶ ἔστιν ἐν αὐτῷ ξύλα ἕως τοῦ νῦν.

Ἡ δὲ γενεὰ τοῦ Νῶε, ἐτεκνοποίησε, καὶ ἐγένετο πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν, καὶ ἐποίουν πυργοποιΐαν, οἵτινες καὶ τὴν κατασκευὴν τῆς κιβωτοῦ ἐπιστάμενοι, πρῶτοι ἐποίησαν πλοῖα. ἐγένετο δὲ ἀπὸ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιΐας ἔτη[4] ἐν δὲ τῷ μέσῳ χρόνῳ μετὰ τὸν κατακλυσμὸν, συνεγράψατο τὴν ἀστρονομίαν Ἀρφαξὰθ εὑρηκὼς τὴν τοῦ Σὴθ υἱοῦ Ἀδὰμ καὶ τῶν αὐτοῦ τέκνων τὴν ὀνομασίαν τῶν ἀστέρων, ἐν λιθίνῃ πλακὶ γεγραμμένην. οἱ γὰρ ἔγγονοι τοῦ Σὴθ, θεοσεβεῖς ὄντες, καὶ προεγνωκότες τὴν μέλλουσαν ἔσεσθαι φθορὰν τῶν ἀνθρώπων, ἤτοι ἐναλλαγὴν, ποιήσαντες στήλας δύο, μίαν λιθίνην καὶ μίαν πλινθίνην, ἔγραψαν τοῖς τὰ ἐκ τοῦ Σὴθ τοῦ πάππου αὐτῶν ἐκτεθέντα πάντα οὐράνια· λογισάμενοι ὅτι εἰ μὲν δι᾽ ὕδατος γένηται ἡ ἐναλλαγὴ, ἡ λιθίνη στήλη μενῇ καὶ τὰ ἐν αὐτῇ γεγραμμένα, εἰ δὲ διὰ πυρὸς, ἡ πλινθίνη, καὶ τὰ ἐν αὐτῇ γεγραμμένα τοῖς μετὰ ταῦτα ἀνθρώποις γινώσκεται· ἥ τι στήλη μετὰ τὸν κατακλυσμὸν εὑρέθη εἰς τὸ Σηριδὸς ὄρος, καὶ ἔστιν ἕως ἄρτι. καὶ λοιπὸν τὸ γένος τοῦ Ἀρφαξὰδ διέμεινεν ἕως τῆς πυργοποιΐας· ἔζησε δὴ Ἀρφαξὰδ ἔτη ρκε.

Γίνονται οὖν ἀπὸ Ἀδὰμ ἕως τῆς πυργοποιΐας ἔτη ,βϡκβ· καὶ λοιπὸν οἱ τὸν πύργον οἰκοδομοῦντες ἦσαν ἔθνη ο, οἳ καὶ εἰς γλώσσας διεμερίσθησαν ἐπὶ προσώπου πάσης τῆς γῆς· ὁ δὲ Χοῦς ὁ Αἰθίοψ ἐκ τῆς φυλῆς τοῦ Σὴμ ἐγέννησε τὸν Νεβρὼδ τὸν

[3] Leg. ἔτη. [4] Est vacuum spatium in Cod.

γίγαντα, τὸν τὴν Βαβυλῶνα κτίσαντα, ὃν λέγουσιν οἱ Πέρσαι, ἀποθεωθέντα καὶ γενόμενον ἐν τοῖς ἄστροις τοῦ οὐρανοῦ. τοῦτον καλοῦσιν Ὠρίωνα· αὐτὸς γὰρ πρῶτος κατέδειξε τὸ κυνηγεῖν, καὶ ἐχορήγει αὐτοῖς τὰ θηρία εἰς βρῶσιν, ὅθεν καὶ ἐπρώτευσεν.

Ἐν δὲ τοῖς ἀνωτέρω χρόνοις ἐκ τοῦ γένους τοῦ Ἀρφαξὰδ ἀνεφύει τίς Ἰνδὸς σοφὸς ἀνὴρ ἀστρονόμος, ὀνόματι Γανδουβάριος, ὅστις συνεγράψατο πρῶτος ἀστρονομίαν Ἰνδοῖς· ἐκ δὲ τῆς αὐτῆς φυλῆς τοῦ Σὴμ, τῆς κρατησάσης τὴν Ἀσσυρίαν καὶ τὴν Περσίδα, καὶ τὰ μέρη τῆς ἀνατολῆς, ἀνεφάνη ἄνθρωπος γίγας τὸ γένος, ὀνόματι Κρόνος, ἐπικληθεὶς ὑπὸ τοῦ ἰδίου πατρὸς Δόμνος, εἰς τὴν ἐπωνυμίαν τοῦ πλανήτου ἀστέρος Κρόνου. ἐγένετο δὲ δυνατὸς, ὅστις πρῶτος κατέδειξε τὸ βασιλεύειν καὶ ἄρχειν καὶ κρατεῖν τῶν πολλῶν ἀνθρώπων. καὶ ἐβασίλευσεν αὐτὸς τῶν Ἀσσυρίων ἔτη πολλὰ, καὶ ὑπέταξε πᾶσαν τὴν γῆν Περσίδος· ἦν δὲ φοβερὸς πρὸς πάντας, εἶχε δὲ γυναῖκα τὴν Σεμίραμιν, τὴν καὶ Ῥαίαν καλουμένην παρὰ Ἀσσυρίοις, διὰ τὸ εἶναι αὐτὴν ἀλαζόνα καὶ ὑπερήφανον. ἦν δὲ καὶ αὐτὴ ἐκ τῆς φυλῆς τοῦ Σὴμ υἱοῦ Νῶε.

Ἔσχε δὲ υἱὸν ὁ Κρόνος Πῖκον, ὅστις ἐκλήθη ὑπὸ τοῦ ἰδίου πατρὸς Ζεὺς, εἰς ὄνομα καὶ αὐτὸς τῆς ἐπωνυμίας τοῦ πλανήτου ἀστέρος. ἔσχε δὲ καὶ ἄλλον υἱὸν ὁ αὐτὸς Κρόνος, ὀνόματι Νῖνον, καὶ θυγατέρα ὀνόματι Ἥραν. ἔλαβε δὲ Πῖκος, ὁ καὶ Ζεὺς, γυναῖκα, τὴν ἰδίαν αὐτοῦ ἀδελφὴν Ἥραν, ἐξ ἧς ἔσχεν υἱὸν ὀνόματι Σένβελον. ὁ δὲ προπάτωρ Κρόνος, ἐάσας τὸν ἑαυτοῦ υἱὸν Πῖκον ἐν τῇ Ἀσσυρίᾳ, καὶ τὴν ἑαυτοῦ γυναῖκα Ῥαίαν, τὴν καὶ Σεμίραμιν, μετὰ τοῦ υἱοῦ αὐτοῦ Πίκου βασιλεύειν τῶν Ἀσσυρίων, αὐτὸς λαβὼν βοήθειαν ἀνθρώπων γενναίων, κατῆλθεν εἰς δύσιν μὴ κρατουμένην παρά τινος, καὶ ἐβασίλευσε τῶν δυτικῶν μερῶν, ἀφανὴς γενόμενος ἐκ τῆς Ἀσσυρίας, καὶ ἐβασίλευσε τῶν δυτικῶν ἔτη πολλά.

Ἔσχε δὲ καὶ ἐκεῖ γυναῖκα ὀνόματι Φυλλάραν, ἐξ ἧς ἔσχεν υἱὸν ὀνόματι Ἀφρὸν, ᾧ τινι δέδωκε τὴν πρὸς Λιβύην γῆν βασιλεύειν. ὁ δὲ Ἀφρὸς ἔλαβε τὴν Ἀστυμόνην, καὶ ἐγέννησε θυγατέρα, ἣν ἐκάλεσεν Ἀφροδίτην, εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος. ἔσχε δὲ ὁ Κρόνος ἐκ τῆς Φυλλάρας καὶ ἄλλον υἱὸν, τὸν λεγόμενον Χείρωνα φιλόσοφον. ὁ δὲ Πῖκος καὶ Ζεὺς βασιλεύσας τῶν

Ἀσσυρίων ἔτη λ̅, ἐάσας καὶ αὐτὸς τὴν ἑαυτοῦ μητέρα Ῥαίαν, τὴν καὶ Σεμίραμιν, καὶ τὴν ἑαυτοῦ ἀδελφήν τε καὶ γυναῖκα Ἥραν, καὶ ποιήσας τὸν ἑαυτοῦ υἱὸν Βῆλον βασιλέα τῶν Ἀσσυρίων, κατῆλθε πρὸς τὸν ἴδιον πατέρα Κρόνον.

Ὁ δὲ Βῆλος ἐβασίλευσε τῶν Ἀσσυρίων ἔτη β̅, καὶ ἐτελεύτησεν· ὅν τινα οἱ Πέρσαι ἀπεθέωσαν. Ὁ δὲ Κρόνος ἐλθόντα τὸν ἑαυτοῦ υἱὸν Πῖκον πρὸς ἑαυτὸν εἰς τὴν δύσιν, παρεχώρησεν αὐτῷ τὴν βασιλείαν τῆς δύσεως. ἦν γὰρ ἀδυνατήσας, καὶ ἐβασίλευσε Πῖκος τῆς δύσεως ὁ καὶ Ζεὺς, ἤτοι τῆς Ἰταλίας, ἔτη ξβ̅.

Τῆς δὲ Ἀσσυρίας μετὰ τὸν Βῆλον ἐβασίλευσε Νῖνος ὁ ἄλλος υἱὸς Κρόνου, ὅστις καὶ τὴν ἑαυτοῦ μητέρα Ῥαίαν, τὴν καὶ Σεμίραμιν, ἔλαβε γυναῖκα, ἐξ οὗ μόνοις τοῖς Πέρσαις γαμεῖν τὰς ἑαυτῶν μητέρας καὶ ἀδελφὰς, διὰ τὸ καὶ Πῖκον λαβεῖν τὴν ἀδελφὴν ἑαυτοῦ Ἥραν. ὁ δὲ Νῖνος ἐπικρατὴς γενόμενος, κτίζει τὴν Νινευῒ πόλιν Ἀσσυρίων, πρῶτος βασιλεύσας ἐν αὐτῇ, ἔχων τὴν ἑαυτοῦ μητέρα γυναῖκα.

Ἐξ αὐτοῦ οὖν τοῦ γένους ἐγεννήθη ὁϊοζορᾶς[5] ἀστρονόμος Περσῶν περιβόητος· ὅστις μέλλων τελευτᾷν, ηὔξατο ὑπὸ πυρὸς ἀναλωθῆναι οὐρανίου, εἰπὼν τοῖς Πέρσαις, "ὅτι ἐὰν καύσῃ με τὸ "πῦρ, ἐκ τῶν κεκαυμένων μου ὀστέων φυλάξατε, καὶ οὐ μὴ ἐκλεί"ψῃ ἡ βασιλεία ἀφ' ὑμῶν." Καὶ εὐξάμενος τὸν Ὠρίονα, ὑπὸ πυρὸς ἀνῃρέθη, καὶ φυλάττουσι τὸ λείψανον αὐτοῦ οἱ Πέρσαι τεφρωθὲν ἕως τῆς νῦν.

Μετὰ δὲ τὸν Νῖνον ἐβασίλευσε τῶν Ἀσσυρίων ὀνόματι Θύρας, ὅν τινα μετεκάλεσεν ὁ τούτου πατὴρ Ζάμης, ὁ τῆς Ἥρας ἀδελφὸς, εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος Ἄρεα[6]. οὗτος ἐγένετο πικρὸς πολεμιστὴς, ὅστις ἐπῆλθε Καυκασίῳ τινὶ καὶ αὐτῷ δυνατῷ, ἐκ τῆς τοῦ Ἰάφεθ καταγόμενος, ἐπὶ τὰ ἀρκτῷα μέρη· ὅν τινα ἐφόνευσεν, καὶ παρέλαβε τὴν χώραν αὐτοῦ, καὶ ἐλθὼν ἐν τῇ Θράκῃ, ἐκεῖ τελευτήσας κεῖται. ᾧ τινι Ἄρειαν[7] ἐστήλωσαν στήλην οἱ Αἰγύπτιοι, Ἀσσύριοι, καὶ ὡς Θεὸν προσεκύνουν, καὶ ἕως τοῦ νῦν καλοῦσι Βάαλ θεὸν, ὅ ἐστιν ἑρμηνευόμενον, Ἄρης πολέμου θεός. τούτου μνημονεύει καὶ ὁ προφήτης Δανιήλ.

Μετὰ δὲ τὴν τελευτὴν Ἄρεος, ἐβασίλευσεν Ἀσσυρίων Ἐλά-

[5] Leg. Ζορόαστρος vid. [6] ἄρενα Cod. [7] Leg. vid. Ἄρει ἀνεστήλ.

μης, καὶ μετὰ Λάμην, Σαρδανάπαλος ὁ μέγας, ὅν τινα ἐφόνευσε Περσεὺς ὁ Δανάης, καὶ ἀφείλετο τὴν βασιλείαν ἀπὸ Ἀσσυρίων· καὶ βασιλεύσας αὐτῶν, εἰς τὸ ἴδιον ὄνομα ἐκάλεσαν αὐτοὺς Πέρσας. ὁ δὲ Περσεὺς ἦν υἱὸς Πίκου, τοῦ καὶ Διὸς, καὶ ἐξ αὐτοῦ ἔμαθε μαγίας καὶ τελετὰς τοῦ μυσαροῦ σκύφους, ὅθεν καὶ κόρην παρθένον κρατήσας, ἔκοψεν αὐτῆς τὴν κεφαλὴν, καὶ τελέσας αὐτὴν, εἶχεν αὐτὴν εἰς ὄλεθρον παντὸς τοῦ ἀνθισταμένου αὐτῷ, ἣν ἐκάλει Γοργῶ, διὰ τὸ ὀξὺν ἐπάγειν θάνατον τοὺς ὁρῶντας αὐτήν.

Ὁ δὲ ἀδελφὸς Νίνου, Πῖκος, ὁ καὶ Ζεὺς, ἐβασίλευσε τῆς Ἰταλίας, ἔτη ρκ κρατῶν τῆς δύσεως· ἔσχε δὲ υἱοὺς καὶ θυγατέρας πολλὰς ἀπὸ τῶν εὐπρεπεστάτων γυναικῶν. καὶ γὰρ καὶ μυστικὰς φαντασίας ποιῶν τινὰς, καὶ ὑπονοθεύων αὐτὰς, αἵτινες γυναῖκες καὶ ὡς θεὸν αὐτὸν εἶχον, φθειρόμεναι ὑπ' αὐτοῦ. ἔσχε δὲ ὁ αὐτὸς Πῖκος, ὁ καὶ Ζεὺς, υἱὸν ὀνόματι Φαῦνον, ὃν καὶ Ἑρμῆν ἐκάλεσεν, εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος. μέλλων δὲ τελευτᾷν ὁ Ζεὺς, ἐκέλευσε τὸ λείψανον αὐτοῦ τεθῆναι ἐν τῇ Κρήτῃ νήσῳ, καὶ κτίσαντες αὐτῷ ναὸν οἱ αὐτοῦ παῖδες ἔθηκαν αὐτὸν ἐκεῖ, ὅπερ μνῆμά ἐστι μέχρι τῆς σήμερον, ᾧ καὶ ἐπιγέγραπται, "ἐνθάδε κατάκει- "ται Πῖκος ὁ καὶ Ζεὺς, ὃν καὶ Δία καλοῦσι," περὶ οὗ συνεγράψατο Διόδωρος ὁ σοφώτατος χρονογράφος.

Μετὰ δὲ τὴν τελευτὴν Πίκου τοῦ καὶ Διὸς, ἐβασίλευσε Φαῦνος ὁ υἱὸς αὐτοῦ, ὁ καὶ Ἑρμῆς, τῆς Ἰταλίας ἔτη λε. ἀνὴρ πανουργὸς καὶ μαθηματικὸς, ὅστις ἐξεῦρε τὸν μετάλλον τὸ χρυσοῦν ἐν τῇ δύσει πρῶτος, καὶ τὸ χωνεύειν. γνοὺς δὲ τὴν τῶν ἀδελφῶν αὐτοῦ κατ' αὐτοῦ ἐπιβουλὴν, ἦσαν γὰρ περὶ τοὺς ο, οὓς ἔσχεν ἐκ διαφόρων γυναικῶν ὁ πατὴρ αὐτοῦ Πίκος, ὁ καὶ Ζεὺς, ἀνεχώρησε, πολὺν χρυσοῦν ἐπιφερόμενος εἰς ὑπερβολὴν, καὶ ἀπῆλθεν εἰς Αἴγυπτον πρὸς τὴν φυλὴν τοῦ Χάμ· οἵ τινες μετὰ τιμῆς πολλῆς ἐδέξαντο αὐτὸν φορῶν στολὴν χρυσῆν, καὶ ὑπερηφανῶν ἅπαντας. ἦν γὰρ καὶ φυσιολόγος καὶ ἐφιλοσόφει παρὰ τοῖς Αἰγυπτίοις, λέγων αὐτοῖς καὶ μαντικά τινα, καὶ προσεκύνουν αὐτὸν λέγοντες θεὸν Ἑρμῆν, ὡς προλέγοντα αὐτοῖς τὰ μέλλοντα· παρεῖχε δὲ αὐτοῖς καὶ χρήματα, ὅν τινα καὶ πλουτοδότην ἐκάλουν.

Τελευτήσαντος δὲ τοῦ βασιλέως τῶν Αἰγυπτίων Στρεμουντίνου, ὄντος ἐκ τοῦ γένος τοῦ Χὰμ, ἐποίησαν οἱ Αἰγύπτιοι τὸν Ἑρμῆν

βασιλέα, καὶ ἐβασίλευσεν αὐτῶν ἔτη λθ ἐν ὑπερηφανίᾳ πολλῇ. καὶ μετ' αὐτὸν ἐβασίλευσεν ὁ Ἥφαιστος, ὅστις ἦν πολεμιστὴς καὶ μαντικός. ἐκάλουν δὲ αὐτὸν Ἥφαιστον θεὸν, ὅστις ἐξελθὼν εἰς πόλεμον, συνέπεσε σὺν τῷ ἵππῳ αὐτοῦ, καὶ πληγεὶς τὸν πόδα ἔμεινε χωλεύων. ἐδέξατο δὲ, ὥς φασιν, ἐκ μαντείας τινὸς, τουτέστιν ἐκ τοῦ ἰδίου νοὸς ἐκ τοῦ ἀστέρος τὴν ὀξυλάβην εἰς τὸ κατασκευάζειν ἐκ σιδήρου ὅπλα· ὅθεν καὶ ἐπικρατὴς ἐγένετο εἰς τοὺς πολέμους, ὅν τινα καὶ ἀπεθεώσαν. πρὸ γὰρ τούτου ῥοπάλοις καὶ λίθοις ἐχρῶντο καὶ ἐπολέμουν.

Μετὰ δὲ τὸν Ἥφαιστον, ἐβασίλευσεν Ἥλιος ὁ υἱὸς αὐτοῦ. μετὰ δὲ τοῦτον Σέσωστρις, καὶ μετὰ τοῦτον Ὄσιρις, καὶ μετὰ τὸν Ὄσιριν, Ὅρος· καὶ μετ' αὐτὸν Θοῦλος, ὅστις πολλὰ κατορθώματα ποιήσας, ἀπῆλθεν εἰς τὸ μαντεῖον ἐρωτῆσαι, λέγων, "Προφήτευσον ἡμῖν πυρισθενὲς ἀψευδὲς μακαριστὸν αἰθέριον πόλον· μετεγκλήνον τῆς πρώτης ἐμῆς βασιλείας ἠδυνήθη ὑποτάξαι τὰ πάντα, ἢ τίς μετεμέ." καὶ ἐδόθη αὐτῷ χρησμὸς οὕτως· "πρῶτα θεὸς, μετέπειτα λόγος, καὶ πνεῦμα σὺν αὐτοῖς· σύμφυτα δὲ ταῦτα πάντα καὶ ἓν καὶ εἰς ἓν ἰόντα, οὗ κράτος αἰώνιον· ὠκέσι δὲ ποσὶ βαδίζε θνητὲ, ἄδηλον διανύων βίον."

Αἱ δὲ ἐπωνυμίαι τῶν ζ ἀστέρων τῶν πλανητῶν εἰσὶν οὗτοι. ὁ γὰρ λεγόμενος Κρόνος καλεῖται λάμπον, ὁ δὲ Διὸς, Φαέθων, ὁ δὲ Ἄρεως, πυρώης, ὁ δὲ Ἀφροδίτης, κάλλιστος, ὁ δὲ Ἑρμοῦ, ὁ στέμων[8]. καὶ ταῦ ταπερὶ τῶν ἑπτὰ ἀστέρων τῶν πλανήτων, ὧν τινων ὁ Σὴθ τὰς ὀνομασίας ἐξέθετο, παρὰ θεοῦ λαβὼν σοφίαν. ἄνθρωποι δὲ εἰς τὰς ὀνομασίας αὐτῶν τοὺς παῖδας αὐτῶν ἐπονομάσαντες, θεοὶ ψευδώνυμοι ἀνηγορεύθησαν. μετὰ πολλοὺς δὲ βασιλεῖς τῶν Αἰγυπτίων, ἐβασίλευσε Σώστρις, ὅστις ὑπέταξεν Ἀσσυρίους καὶ Χαλδαίους καὶ Πέρσας ἕως Βαβυλῶνος, καὶ τὴν Ἀσίαν πᾶσαν καὶ Εὐρώπην καὶ Σκυθίαν καὶ Μυσίαν. καὶ ἐν τῷ ὑποστρέφειν αὐτὸν, ἐξελέξατο ἄνδρας γενναίους Σύθας[9], χιλιάδας ιε, καὶ ἀπέστειλεν αὐτοὺς οἰκεῖν ἐν Περσίδι, καὶ ἔμειναν οἱ αὐτοὶ Σκύθαι ἐν Περσίδι, μέχρι τῆς νῦν, οἵτινες μετεβλήθησαν ὑπὸ τῶν Περσῶν Πάρθοι· οἳ καὶ τὴν φορεσίαν καὶ τὴν λαλιὰν καὶ τὰ ἔθη Σκυθῶν ἔχουσιν.

[8] Leg. ὁ στίλβων. [9] Sic.

Ἐπὶ δὲ τούτου τοῦ Σώστρι βασιλέως Αἰγύπτου ἦν Ἑρμῆς ὁ Τρισμέγιστος, ὃς ἔφρασε τρεῖς μεγίστας εἶναι δυνάμεις τὸ τοῦ ἀρρήτου καὶ δημιουργοῦ ὄνομα, μίαν δὲ θεότητα εἶναι εἶπεν, διὸ ἐκλήθη ἀπὸ τῶν Αἰγυπτίων τρεῖς μέγιστος. ἐμφέρεται γὰρ ἐν διαφόροις αὐτοῦ λόγοις, πρὸς Ἀσκληπιὸν περὶ θεοῦ εἰρηκὼς φύσεως ταῦτα. "εἰ μὴ πρόνοιά τις ἦν τοῦ πάντων Κυρίου ὥστε "μοι τὸν λόγον τοῦτον ἀποκαλύψαι, οὐδὲ ὑμᾶς τοιοῦτος ἔρως "κατεῖχεν, ἵνα περὶ τούτου ζητήσητε. οὐ γὰρ ἐφικτόν ἐστι εἰς "ἀμυήτους τοιαῦτα μυστήρια παρέχεσθαι, ἀλλὰ τῷ νοῒ ἀκού-"σατε. ἓν μόνον φῶς ἦν νοερὸν, καὶ ἦν ἀεὶ νοῦς νοὸς φωτεινὸς, "καὶ οὐδὲν ἕτερον ἦν ἡ τούτου ἑνότης ἀεὶ ἐν ἑαυτῷ, ὢν ἀεὶ τῷ "ἑαυτοῦ νοῒ καὶ φωτὶ καὶ πνεύματι πάντα παρέχει. ἐκτὸς τού-"του, οὐ θεὸς, οὐκ ἄγγελος, οὐ δαίμων, οὐκ οὐσία τις ἄλλη. "πάντων γὰρ κύριος καὶ πατὴρ καὶ θεὸς πάντων, ὑπ' αὐτῶν καὶ "ἐν αὐτῷ ἐστί· ὁ γὰρ λόγος αὐτοῦ προελθὼν, παντέλειος ὢν καὶ "δημιουργὸς, ἐν γονίμῳ φύσει πεσὼν ἐπὶ γονίμῳ ὕδατι, ἔγκυον "τὸ ὕδωρ ἐποίησεν," καὶ ταῦτα εἰρηκὼς ἤρξατο λέγειν· "ὁρκίζω "σε οὐρανὲ Θεοῦ μεγάλου σοφὸν ἔργον, ἵλαος ἔσο, ὁρκίζω σε "φωνὴν πατρὸς, ἣν ἐφθέγξατο πρώτην πρὸς τὸν μονογενῆ λόγον "αὐτοῦ, ἡνίκα κόσμον ἅπαντα ἐστηρίξατο, ἵλαος ἔσο Κύριε."

Ὅτι Λιβύη ἡ θυγάτηρ τῆς Ἰὼ καὶ Διός· ἡ δὲ Ἰὼ ἦν θυγάτηρ Ἰνάχου βασιλέως τῆς δύσεως, ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ, ἣν καὶ ἥρπασε Πῖκος ὁ καὶ Ζεὺς, ἐγαμήθη τινὶ Ποσειδῶνι, ἐξ οὗ ἐτέχθη ὁ Ἀγήνωρ, καὶ ἐλθὼν ὁ Ἀγήνωρ ἐπὶ τὴν Φοινίκην, ἔλαβε γυναῖκα ὀνόματι Τύρων, καὶ κτίζει πόλιν, εἰς ὄνομα τῆς γυναικὸς αὐτοῦ, ἣν ἐκάλουν Τύρον, καὶ ἐβασίλευσεν ἐκεῖ.

Ἔσχε δὲ υἱὸν ἐκ τῆς Τύρου Κάδμον τὸν Φοίνικα, τὸν Σύρον καὶ τὸν Κίλικα. τελευτῶν δὲ ὁ Ἀγήνωρ, πᾶσαν ἣν ὑπέταξε γῆν, ἐμέρισε τοῖς τρισὶν αὐτοῦ υἱοῖς, καὶ ἔλαβεν ὁ Φοίνιξ Τύρον καὶ τὴν ἐνορίαν αὐτῆς, καλέσας τὴν ὑπ' αὐτοῦ χώραν Φοινίκην εἰς τὸ ἴδιον ὄνομα, ὁμοίως καὶ ὁ Σύρος τὴν ἐπιλαχοῦσαν αὐτῷ χώραν, εἰς τὸ ἴδιον ὄνομα ἐκάλεσε Συρίαν· καὶ ὁ Κήληξ [10] τὸ ἐπιλαχὸν αὐτῷ κλῖμα [11], ἐκάλεσε Κιλικίαν.

10 Leg. Κίλιξ. 11 κλῆμα Cod.

Ὅτι Κάδμος ὁ τοῦ Ἀγήνορος υἱὸς, ἐκ τῆς ἐξορίας ἀνακαλέσατο Τιρεσίαν[12] τὸν φιλόσοφον καὶ θηρολέτην, περὶ οὗ φησι Σοφοκλῆς, ὅτι τὴν Παλλάδα εἶδε λουομένην ὁ Τηρεσίας, καὶ γυνὴ ἐγένετο· φησὶ δὲ ὅτι τὴν σοφίαν τοῦ Θεοῦ ἐζήτησε γνῶναι, καὶ οὐκ ἠδυνήθη· οὕτως δὲ ὁ Σοφοκλῆς ἐρέθετο ἐν τοῖς συγγράμμασιν αὐτοῦ ταῦτα. "ὡς ἕνα τῆς ἀληθείας εἶναι· εἷ ἔστι Θεὸς ὃς οὐρανὸν ἔτευξε καὶ γαῖαν μακρὰν, πόντου τε χαροπὸν οἶδμα καὶ ἀνέμων βίας· θνητοὶ δὲ πολλοὶ καρδίαν πεπλανημένοι, ἱδρυσάμεθα πεμμάτων παραψυχὰς, θεῶν ἀγάλματα ἐκ λίθων καὶ ξύλων χρυσοτεύκτων ἐλεφαντίνων τύπων, θυσίας τε τούτοις καὶ κοινὰς πανηγύρεις τεύχοντες, εὐσεβεῖν νομίζομεν." μοναρχίαν γὰρ ἐδόκει δοξάζειν Σοφοκλῆς.

Ἐν δὲ τοῖς χρόνοις τοῦ υἱοῦ αὐτοῦ Φοίνικος ἦν Ἡρακλῆς ὁ φιλόσοφος Σύρος, ὅστις ἐφεῦρε τὴν κογχύλην. διερχόμενος γὰρ περὶ τὸ παράλιον μέρος τῆς πόλεως Τύρου, εἶδεν κύνα ποιμένος ἐσθίοντα τὴν λεγομένην κογχύλην, καὶ τὸν ποιμένα λαβόντα πόκον ἐρίου ἀπὸ τῶν προβάτων, νομίζοντα αἱμάττειν τὸν κύνα τὸ καταφερόμενον αἷμα ἐκ τοῦ στόματος αὐτοῦ τοῦ κυνὸς, κατέβαψε τὸν πόκον. ὁ δὲ Ἡρακλῆς προσεσχηκὼς μὴ εἶναι αὐτῷ αἷμα, ἀλλὰ βάμματος παραξένου ἀρετὴν, ἐθαύμασε, καὶ ἄρας ἐκ τοῦ ποιμένος τὸν πόκον, καὶ γνοὺς ὅτι ἐκ τῆς κογχύλης ἐστὶ τὸ καταρέον αἷμα, ὡς μέγα τί δῶρον προσήγαγε τῷ βασιλεῖ τῆς Τύρου Φοίνικι, ὅστις θαυμάσας, ἐκέλευσε ἐξ αὐτοῦ τοῦ βάματος τῆς κογχύλης βαφῆναι ἔριον, καὶ γενέσθαι αὐτὸ περιβόλαιον βα[13] * * * * θυσίαν καὶ ἑορτὴν αὐτοῖς ἐπετέλουν, λέγοντες εἰς τὰς τῶν μακάρων νήσους εἶναι τὰς ψυχὰς αὐτῶν καὶ μὴ κρίνεσθαι.

Ἦν γὰρ Θάρρας ὁ πατὴρ Ἀβραὰμ, καὶ τῶν ἄλλων ὑλῶν, καὶ ποιῶν θεοὺς καὶ πιπράσκων, πλάνην ἀγαλμάτων καὶ εἰδωλολατρείας εἰσάγων τοῖς ἀνθρώποις διὰ τῶν εἰ[14] σμάτων τῶν προγόνων αὐτῶν· μάλιστα τῶν εὑρισκόντων τὰ συγγράμματα καὶ τὰς τέχνας, οἷς καὶ συνέτρεχε σπουδαίως οἱ Αἰγύπτιοι, καὶ οἱ Βαβυλώνιοι, καὶ οἱ Φρύγες, καὶ οἱ ἐκ τῆς Ἑλλάδος. ταύτης γὰρ τῆς θρησκείας ὑπῆρχον ἀγαλματοποιοὶ, καὶ μυστηρίων ἐξη-

12 Τηρεσίαν Cod. 13 Hic desunt quædam. 14 Sic.

γηταὶ καὶ τελεταὶ, ὑφ' ὧν μάλιστα εἰς Ἕλληνας ἤχθη ἡ τοιαύτη θρησκεία, καὶ ἀπό τινος Ἕλληνος ὀνόματι, υἱοῦ καὶ αὐτοῦ Πίκου, τοῦ καὶ Διὸς, μυστικά τινα ποιοῦντος. ὅστις Ἕλλην ἐδίδαξε τοὺς ἐν Ἑλλάδι οἰκοῦντας, ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ υἱοῦ Νῶε· οὕστινας μεμφόμενος ὁ Χερρονήσιος[15] Πλούταρχος τῇ παλαιᾷ φιλοσοφίᾳ, παρ' Ἕλλησι καὶ βαρβάροις ἐπαινουμένῃ ἐξέθετο, ὡς πλάνην ἀγαλμάτων τινὲς εἰσάγουσιν, αὐτὸς δέ φησι τοὺς κατ' οὐρανὸν φωστῆρας θεοποιεῖν ἔδοξεν, ἥλιον καὶ σελήνην, παρεισάγων ὡς τρέφοντας καὶ αὔξοντας πάντα τῇ τρίτῃ μερικῇ κινήσει τῶν πέντε πλανητῶν, καὶ τῆς λοιπῆς ἀστροθεσίας. καὶ τὰ κατὰ γένεσιν καὶ ἀέρα διοικοῦντας.

Ἀβραὰμ δὲ ἐπιγνοὺς τὴν ὄντος θεογνωσίαν, καὶ λογισάμενος ὅτι τὰ ἀγάλματα ἃ ἐποίει ὁ πατὴρ αὐτοῦ, ἀνθρώπων τεθνηκότων εἰσὶ, καὶ οὐκ ἐχρῆν αὐτοὺς τιμᾶσθαι, ὡς μὴ γενομένους θεοὺς ἐν τῷ οὐρανῷ, ἀλλὰ γῆν καὶ κόνιν, καὶ κατεγίνωσκε τοῦ ἰδίου πατρὸς Θάρρα, λέγων, "τί πλανᾷς τοὺς ἀνθρώπους διὰ κέρδος, οὐ γάρ "ἐστιν ἄλλος θεὸς, εἰ μὴ ὁ ἐν τοῖς οὐρανοῖς, ὁ δημιουργήσας "τὰ ὁρώμενα ταῦτα πάντα;" καὶ ἀνεχώρησεν εἰς τὴν Μεσοποταμίαν.

Εἰσὶ δὲ ἀπὸ Ἀδὰμ ἕως Ἀβραὰμ ἔτη ,γυκγ· ἐν δὲ τοῖς χρόνοις Ἀβραὰμ ἦν καὶ ὁ Μελχισεδὲκ, ἀνὴρ θεοσεβὴς, καταγόμενος ἐκ τοῦ γένους τοῦ Σίδου υἱοῦ Αἰγύπτου βασιλέως τῆς Λιβύης χώρας, ἐξ οὗ καὶ Αἰγύπτιοι καλοῦνται· ὅστις Σῖδος ἐκ τῆς[16] ἐπελθὼν παρέλαβε τὴν χώραν τῶν λεγομένων Χαναναίων, τὴν νῦν λεγομένην Παλαιστίνην· καὶ ὑποτάξας αὐτὴν, ὡς ᾤκησεν ἐν αὐτῇ, καὶ κτίζει πόλιν, ἣν ἐκάλεσε Σιδῶνα εἰς ἴδιον ὄνομα. καὶ λοιπὸν ἐκ τοῦ γένους τοῦ Σίδου υἱοῦ Αἰγύπτου βασιλέως τῆς Λιβύης χώρας κατήχθη Μελχισεδὲκ· ὅστις Μελχισεδὲκ γενόμενος ἱερεὺς καὶ βασιλεὺς τῶν Χαναναίων, κτίζει πόλιν ἐν τῷ ὄρει Σιὼν λεγομένῳ, ἥν τινα ἐκάλεσε Σαλὴμ, ὅ ἐστιν ἑρμηνευόμενον πόλις εἰρήνης, καὶ ἐβασίλευσεν ἐν αὐτῇ ἔτη ριγ, καὶ τελευτᾷ δίκαιος καὶ παρθένος, καθὼς Ἰώσηπος ἐξέθετο. ἀπὸ οὖν τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιΐας ἕως Ἀβραὰμ ἔτη ρκγ, καὶ ἐγένετο θεογνωσία ἀπὸ

15 Leg. Χαιρωνεύς. 16 τῆς Λιβύης vid. leg.

Ἀβραὰμ καὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ, καὶ Ἰακὼβ ἐγγόνου αὐτοῦ, καὶ τοῦ σπέρματος αὐτῶν, ἐξ ὧν εἰσὶν Ἑβραῖοι ἀπὸ τοῦ χρόνου Ἀβραὰμ τὸν χαρακτῆρα τοῦ ἔθνους διὰ περιτομῆς εἰληφότες· ἡ δὲ τοῦ Ἰούδα φυλὴ τοῦ τετάρτου ω Ἰακὼβ, ἐκράτει τῶν Ἰουδαίων καὶ ἐδιοίκει, ὅθεν καὶ τὸ ὄνομα εἶχον.

Ἐν δὲ τοῖς χρόνοις τούτοις ἀνεφάνη τίς ἐκ φυλῆς τοῦ Ἰάφεθ, ὀνόματι Ἡσίοδος, ὅστις ἐφεῦρε τὰ Ἑλληνικὰ γράμματα, ὁ καὶ θεολόγος τῶν Ἑλλήνων.

Ὅτι ἐν τοῖς χρόνοις Φαραὼ τοῦ καὶ Ἀχὼρ βασιλέως Αἰγύπτου, ἀνεφάνη τις ἐκ τῆς φυλῆς Ἰάφεθ γιγαντοειδὴς φιλόσοφος, ὀνόματι Ἐνδυμίων, ἐν τῇ Καρίᾳ χώρᾳ, ὅστις μυστικὰς εὐχὰς ἔχων καὶ λέγων εἰς τὴν σελήνην, ἠτεῖτο μαθεῖν παρ' αὐτῆς τὸ θεῖον ὄνομα ἐν ὁράματι. ἐν τῷ οὖν εὔχεσθαι αὐτὸν ἦλθεν εἰς ὕπνον, καὶ ἤκουσεν ἐν ὁράματι, καὶ οὐκ ἀνέστη, ἀλλ' ἔστη τὸ λείψανον αὐτοῦ ἐν Καρίᾳ χώρᾳ δωνούμενον. περὶ οὗ φασι τὴν σελήνην φιλεῖν αὐτόν.

Ἐβασίλευσε δὲ τῶν Αἰγυπτίων Περσώνιος, ὅτε γέγονεν ἡ ἔξοδος τῶν υἱῶν Ἰσραὴλ, καὶ ὅτι θεωρῶν τὰ τέρατα τὰ ὑπὸ Θεοῦ διὰ Μωσέως γινόμενα, ἀπελθὼν εἰς Μέμφιν εἰς τὸ περιβόητον μαντεῖον, καὶ ποιήσας θυσίαν, ἠρώτα τὴν Πυθίαν λέγων, "σαφήνι-" σόν μοι τίς ἐστι πρῶτος ὑμῶν, καὶ εἰ μέγας ὁ Θεὸς τοῦ Ἰσ-" ραὴλ," καὶ ἐδόθη αὐτῷ χρησμὸς οὕτως· "Ἔσται κατ' οὐρανοῖο " μεγάλοιο βεβηκὼς φλογὸς ὑπερβάλλον αἰθέριον ἀέναον ἀθάνα-" τον πῦρ, ὃν τρέμει πᾶς οὐρανὸς, γαῖά τε καὶ θάλασσα, τάρταρος " βυθὸς, δαίμονες ἐρράγησαν. οὗτο οι[16] Θεὸς αὐτοπάτωρ πατὴρ, " υἱὸς αὐτὸς ἑαυτοῦ τρισόλβιος, εἰς μικρὸν δὲ μέρος ἀγγέλων " ἡμεῖς, μαθὼν ἄπειθι σιγῶν."

Ἐν τοῖς χρόνοις Γεδαιὼν τοῦ Κριτῶν, ἦν Ὀρφεὺς ὁ Θρὰξ, ὁ λυρικὸς, ὁ σοφώτατος καὶ περιβόητος ποιητὴς, ὅστις ἐξέθετο θεογνωσίαν καὶ κόσμου κτίσιν καὶ ἀνθρώπων πλαστουργίαν, εἰρηκὼς ἐν τῇ ἀρχῇ τοῦ συγγράμματος αὐτοῦ, "ὅτι ἐκ τῆς ἰδίας αὐτοῦ " ἐνθυμήσεως, οὐκ ἐξέθετο τί περὶ θεοῦ, ἢ τῆς κοσμικῆς κτίσεως, " ἀλλ' αἰτησάμενος μαθεῖν περὶ τοῦ ἡλίου καὶ τῆς κτίσεως, καὶ " τίς ποιητὴς αὐτῶν."

Καὶ πολλοὺς περὶ τούτου εἰπὼν στίχους, ὁ αὐτὸς Ὀρφεὺς περὶ

16 Sic.

θεογνωσίας καὶ κτίσεως κόσμου, καὶ συνεγράψατο διὰ στίχων πολλῶν ποιητικῶς. ἔστι δὲ ἅπερ ἐξέθετο ταῦτα, "ὅτι ἐξ ἀρχῆς "ἀνεδείχθη τῷ κόσμῳ ὁ αἰθὴρ ἀπὸ Θεοῦ δημιουργηθεὶς, καὶ ἔνθεν "κακεῖθεν τοῦ αἰθέρος ἦν χάος, καὶ νὺξ ζοφερὰ πάντα κατεῖχε "καὶ ἐκάλυπτε τὰ ὑπὸ τὸν αἰθέρα, τὴν νύκτα προτερεύειν τῆς "ἡμέρας." εἰρηκὼς ἐν τῇ αὐτοῦ ἐκθέσει, "ἀκατάληπτον τινὰ "εἶναι καὶ προγενέστερον καὶ δημιουργὸν πάντων, καὶ τοῦ αἰθέρος "αὐτοῦ καὶ τῆς νυκτὸς, καὶ τῆς ὑπὸ τὸν αἰθέρα οὔσης καὶ κα- "λυπτομένης κτίσεως· τὴν δὲ γῆν εἶπεν ὑπὸ τοῦ σκότους ἀόρατον "οὖσαν, καὶ ὅτι τὸ φῶς ῥήξαν τὸν αἰθέρα, ἐφώτισε τὴν γῆν καὶ "πᾶσαν τὴν κτίσιν, εἰπὼν ἐκεῖνο εἶναι τὸ φῶς τὸ ῥήξαν τὸν αἰθέ- "ρα, τὸ προειρημένον, τὸ ὑπέρπαντα τῶν πάντων." οὗ τὸ ὄνομα Ὀρφεὺς ἀκούσας ἐκ τῆς μαντείας, "βουλὴ, φῶς, ζωοδοτὴρ," εἰπὼν τὰς αὐτὰς τρεῖς τῶν ὀνομάτων θείας δυνάμεις ἐν τῇ αὐτοῦ ἐκθέσει. "μίαν δύναμιν εἶναι καὶ κράτος οὐρανίου θεοῦ, ὃν οὐδεὶς "ὁρᾷν ἢ δύναται γνῶναι ἰδέαν ἢ φύσιν. ἐξ αὐτῆς δὲ τῆς δυνά- "μεως τὰ πάντα γενέσθαι κατ' ἀρχὰς ἀσωμάτους, ἥλιον καὶ "σελήνην καὶ ἄστρα πάντα, γῆν καὶ θάλασσαν, καὶ τὰ ὁρώμενα "ἐν αὐτοῖς καὶ τὰ ἀόρατα πάντα. τὸ δὲ τῶν ἀνθρώπων γένος, εἶπεν "ὑπὸ αὐτοῦ τοῦ Θεοῦ πλασθὲν ἐκ τῆς γῆς, καὶ ψυχὴν ὑπ' αὐτοῦ "λαβόντα λογικὴν," καθὼς καὶ Μωϋσῆς ὁ σοφώτατος ἐξέθετο.

Ὁ δὲ αὐτὸς Ὀρφεὺς ἐξέθετο, ὅτι διὰ τῶν τριῶν ὀνομάτων μιᾶς θεότητος τὰ πάντα ἐγένετο. ταῦτα δὲ ὁ σοφώτατος Τιμόθεος χρονογράφος ἐξέθετο λέγων, πρὸ πόσων χρόνων τὸν Ὀρφέα εἰπόντα Τριάδα ὁμοούσιον.

# ΕΚΛΟΓΑΙ ΙΣΤΟΡΙΩΝ.

HANC Anonymi Chronographiam, quam e Cod. 854. f. 328, r. deprompsi, Leoni Grammatico tribuit Catalogi confector, sed perperam credo, nam ea parte tantum operis nomen Leonis comparet, quæ sequitur tempora quorum annales confecit Theophanes, et hæc satis congruunt cum iis quæ sub ejus Leonis nomine in Corp. Byzant. Script. vulgata sunt. Hoc Chronicon mihi videtur esse confectum ex variis Scriptoribus, Cedreno, Joanne Antiocheno, Chronico Paschali, et aliis forsan qui interciderunt. Scholia quædam adjecta sunt in margine eadem manu, quæ est decimi tertii sæculi. Hæc plerumque ad calcem relegavimus.

## Λείπει τὰ ἐξ ἀρχῆς τῆς ἱστορίας ταύτης.

. . . . ΤΟΙΝΥΝ ἐκ τῶν εἰρημένων ἐννοεῖν, ὅτι ἠδύνατο ὁ ἄνθρωπος καὶ μετὰ τὴν παράβασιν εἰς αἰῶνας ζῆν, εἰ ἐγεύσατο τὰ τῆς ζωῆς ξύλου· διὸ ἵνα μὴ κακὸν ἀθάνατον ᾖ ὁ ἄνθρωπος, τοῦ παραδείσου ἐξωστρακίζεται· ὅπως μὴ γεύσηται τοῦ τῆς ζωῆς ξύλου, καὶ ἀθάνατος διαμείνῃ· θνητὸν δὲ αὐτὸν ἀπεφήνατο ὁ Θεὸς νεκρότητι περιβαλών· τοῦτο γὰρ οἱ δερμάτινοι χιτῶνες σημαίνουσιν, ἀπὸ τοῦ λόγου τῆς τῶν ζώων νεκρώσεως, ὅπως διὰ τῆς λύσεως τοῦ σώματος καὶ τῆς δέσεως, ἡ ἁμαρτία πᾶσα αὐτόπρεμνος διαφθαρῇ.

### Εἰς τὸ ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν.

Εἴρηται δὲ ὑπὸ τοῦ Θεοῦ τὸ "ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ "ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν." οὐχ ὡς προκόψαντος αὐτοῦ διὰ τῆς ἀπειθείας ἐπὶ τὴν τῆς ἀρετῆς τε καὶ κακίας γνῶσιν, ἀλλ' ὡς τοιούτου ἐξ ἀρχῆς πλασθέντος. φθάσασα γὰρ εἶπεν ἡ γραφὴ, "ὅτι ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ "ἐποίησεν αὐτόν." ὁ δὲ πλασθεὶς κατ' εἰκόνα Θεοῦ, δῆλον ὡς προκαταβεβλημένην εἶχεν ἐν τῇ φύσει τὴν γνῶσιν τοῦ καλοῦ τε

καὶ τοῦ πονηροῦ. διὸ ἵνα μὴ τῇ αὐτεξουσιότητι κεχρημένος μεταλάβῃ τοῦ τῆς ζωῆς ξύλου, καὶ γένηται κακὸς ἀθάνατος, ἐξεβλήθη σὺν τῇ Εὔᾳ, εἰς τὴν γῆν τῆς κτίσεως αὐτοῦ· τί γὰρ μετὰ ταῦτα πάντα ἡ θεία γραφή; "καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ "τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη· "καὶ ἐξέβαλε τὸν Ἀδὰμ, καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τῆς "τρυφῆς τοῦ παραδείσου, καὶ ἔταξε τὰ χερουβὶμ καὶ τὴν φλο"γίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου "τῆς ζωῆς."

### Περὶ τῶν χερουβὶμ καὶ τῆς φλογίνης ῥομφαίας.

Μετὰ τὸ ἐκβληθῆναι τὸν ἄνθρωπον ἔξω τοῦ μακαρίου χωρίου, ἀκαταμάχητοι φρουροὶ καὶ λίαν ὑπέροπτοι φυλάττειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς ἐτάχθησαν· ὡς μηδένα τοῦ λοιποῦ ἰσχύειν παρελθεῖν ποσὶ βεβήλοις ἐκεῖνον τὸν τόπον. καὶ γὰρ μάχαιρα φλογίνη ἐτέθη ἐκεῖ, ἐπὶ τὸ τὸν πλησιάζοντα ἐξ ὕλης ὑπάρχοντα, πυρὶ φλεγόμενον ἀναλίσκεσθαι παρ' αὐτὰ καὶ ἀπόλλυσθαι. στρέφεται δὲ ἡ ῥομφαία, ἵνα ἐν τῇ παλιγγενεσίᾳ, ὅτε καὶ ὁ ἄνθρωπος αὖθις οἰκήτωρ γένηται τοῦ παραδείσου, τοὺς μὲν δικαίους φωτίσῃ παρερχομένους ἐπὶ τὸν θεῖον τῆς ἀθανασίας χῶρον· τοὺς δὲ ἀδίκους, εἴ γε προσεγγίσειε, καταφλέξῃ. αὐτόματα δὲ πάντα ἡ γῆ ἔφερε πρὸ τῆς παραβάσεως τοῦ Ἀδὰμ, καὶ μετὰ τοῦτο, μηδὲν φέρειν χωρὶς πόνου ἐκελεύσθη.

Ἐπελθὼν τοίνυν ὁ Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐκ τοῦ παραδείσου, καὶ συνελθὼν αὐτῇ, ἐγέννησε τὸν Κάϊν· εἶτα μετ' αὐτὸν τὸν Ἄβελ. ἦν δὲ Κάϊν μὲν γεωργὸς γῆς, ποιμὴν δὲ προβάτων Ἄβελ. τοῦ δὲ Ἄβελ ἐκ τῶν πρωτοτόκων προβάτων δῶρα θύσαντος τῷ Θεῷ, καὶ τοῦ Θεοῦ δεξαμένου, καὶ τοῦ Κάϊν οὐκ ἐκ τῶν πρωτογενημάτων, ἀλλὰ μετὰ τὴν ἰδίαν καὶ κοινὴν τῶν καρπῶν ἀπόχρησιν Θεῷ προσκομίσαντος, καὶ τοῦ Θεοῦ μὴ δεξαμένου, οὐ μόνον ταῦτα, ἀλλὰ καὶ ὅσα ἐφεξῆς ἐκ τῆς λεπτῆς γενέσεως ἔχουσι τὰ μακρὰ ἐπὶ κακίᾳ τοῦ Κάϊν· τοῦτο δὲ ἐγένετο φανερὸν διὰ τοῦ ἐξαποσταλέντος οὐρανόθεν πυρὸς εἰς τὴν τῶν προσενεχθέντων ἐξανάλωσιν. ἐζήλωσεν ὁ Κάϊν τὸν Ἄβελ. ζητητέον ἐν πρώτοις διατί τοῦ Κάϊν οὐ προσήκατο τὴν προσφοράν. λύει τοίνυν τὸ ἀπορούμενον αὐτὴ

ἡ γραφὴ φήσασα· "καὶ ἐγένετο μεθ' ἡμέρας, προσήνεγκε Κάϊν "ἀπὸ τῶν καρπῶν τῆς γῆς." ὥστε διὰ τοῦτο ἐλέγχεσθαι τὸν Κάϊν, ὅτι μὴ τὰ ἀκροθίνια τῶν γενημάτων μήτε τὰ πρωτογενήματα προσήνεγκε τῶν καρπῶν τῷ Θεῷ· ἀλλὰ ταῦτα μὲν ἑαυτῷ· Θεὸν δὲ ἀσεβῶς τοῖς δευτέροις ἐτίμα. ἔπειτα διατί τὴν μὲν ἐκ θυμάτων τοῦ Ἄβελ προσφορὰν, δῶρα ἡ γραφὴ προσαγορεύει, τὰ δὲ τῶν καρπῶν τοῦ Κάϊν δῶρα, θυσία ὀνομάζει; ἔστι πάλιν εἰς τὸ ζητούμενον εἰπεῖν, ὀρθῷ χρησάμενοι στοχασμῷ· δῶρον ἡ τοῦ Ἄβελ ὠνομάσθη θυσία, ἐπειδὴ τοὺς δωρουμένους μιμησάμενος Θεῷ προσκομίζει τὸ θῦμα· ὃν γὰρ τρόπον οἱ δωρούμενοι πρὸς ἀρέσκειαν τῶν κομιζομένων, καὶ τὸ μάλιστα κάλλιστον ἐπιλέγονται, καὶ πᾶν ὁλόκληρον, καὶ μηδὲν ἐξ αὐτοῦ τὸ σύνολον ἀποτεμόμενοι προσκομίζουσι τοῖς φίλοις τὸ δῶρον, οὕτως καὶ ὁ Ἄβελ τῶν ζώων θύει τὰ πρωτότοκα, καὶ τῶν κρεῶν προσφέρει τὰ πιότατα. ἔοικε γὰρ ἐπιδιαιρεῖν ὁ θύων, καὶ τὸ μὲν αἷμα τῷ θυσιαστηρίῳ προχέειν, τὰ δὲ κρέα οἴκαδε ἀποκομίζειν, ὁ δὲ δωρούμενος, παντὶ τῷ λαμβάνοντι παραχωρεῖ τὸ δῶρον. οὕτως οἶμαι τὰ πρωτότοκα καθιεροῦντα τὸν Ἄβελ φιλόθεον μᾶλλον ἢ φίλαυτον, τὴν ἑαυτοῦ συνίστησι προαίρεσιν· ἑαυτῷ δὲ ὁ Κάϊν ἀπονέμων τὰ γενήματα, καὶ τῶν δευτεριῶν ἀσεβῶς τὸν Θεὸν ἀξιῶν, τῷ καὶ μεθ' ἡμέρας, ἀλλὰ μὴ εὐθέως προσενεγκεῖν· φίλαυτος μᾶλλον ἢ φιλόθεος ἐξελέγχεται· καὶ αὐτὸς μὲν εἰκότως προσκρούει· τὸ δὲ δωρὸν ὡς ἀδόκιμον αὐτῷ προσρίπτεται.

Ὁ Κάϊν πρῶτος ἄροτρον ἐπενόησε, καὶ πλεονεξίαν· Ἄβελ δὲ δικαιοσύνης ἐπεμελεῖτο. κτείνας δὲ τὸν Ἄβελ ὁ Κάϊν ἔκρυψε τὸν νεκρὸν, λαθεῖν ἐντεῦθεν οἰόμενος· βοῶντος δὲ πρὸς τὸν Θεὸν τοῦ αἵματος, ἐπακούει ὁ Θεός· δικαίων γὰρ ἐπακούει, κἂν τελευτήσαντες ὦσιν· ἀδίκων δὲ καὶ αὐτὰς ἀποστρέφεται τὰς εὐχάς. τοὺς μὲν γὰρ καὶ τεθνεῶτας νενόμικε ζῆν, τοὺς δὲ καὶ ζῶντας τὴν ἀληθῆ κέκρικε τεθνηκέναι ζωήν. τιμωρεῖ τὸν Κάϊν οὐκ ἀνελὼν αὐτίκα, ἀλλὰ τρόμον αὐτῷ καὶ στεναγμὸν ἐπὶ πάντα τὸν βίον ἐπαρασάμενος· διόπερ ἐκεῖνοι θάνατον ὡς φονέως ὑφορωμένου, φησὶν ὁ Θεός· "οὐχ οὕτως, ἀλλὰ πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ "ἐκδικούμενα παραλύσει." ὡς ἄντις εἴποι, μὴ δὲ μικρὰν μὴ δὲ παρατρέχουσαν εἶναι τὴν κατὰ σαυτοῦ δίκην ὑπολάβῃς· μὴ δὲ

μεγάλα προσδοκήσῃς τῇ κατὰ τὸν θάνατον συντομίᾳ τὰ ἐπὶ τοῦ ζῆν διαδιδράσκειν κακὰ, ἀλλὰ χρήσεως τοῦ ἁμαρτήματος ἰσόρροπον ὑφίστασθαι τὴν ἐπιτιμίαν. τοιγαροῦν ὁ τοῦ μεγίστου τῶν ἀδικημάτων τοῖς ἄλλοις ὑφηγητὴς ἑπταπλασίως τιμωρηθήσῃ, διὰ τοῦτο τοίνυν οὐ φονευθήσῃ, ὅτι πᾶς ὁ νῦν τὸν κατὰ σοῦ φόνον ἀποτολμήσας, κακῶν σε τῶν βίον ἀπαλλάξας, ἑπτὰ πλῆν τὴν κατὰ σοῦ παραλύσει τιμωρίαν. ἄλλως οὐχ οὕτως, ἀλλὰ πᾶς ὁ ἀποκτείνας Κάϊν, τουτέστιν ἀποκτείνας μὲν ἕκαστος, τῷ ἑαυτοῦ ἁμαρτήματι ἀποθανεῖται· σὲ δὲ φόνου κατάρξαντα καὶ τοῖς ἄλλοις ὑφηγετὴν[1] τοῦ ἁμαρτήματος γενόμενον ὁ ἀποκτείνας ἑπτὰ ἐκδικούμενα παραλύσει, τουτέστι ἑπταπλασίως τιμωρηθῆναί σε δεῖ. τὸ μὲν γὰρ τελευτῆσαι τῶν ἐν τῷ βίῳ πονηρῶν ἐπάγει τὴν κατάπαυσιν· τὸ δὲ ζῆν ἐν φόβῳ καὶ λύπῃ μυρίους ἐπάγει τοὺς συναισθήσει θανάτους. τρέμων οὖν καὶ στένων ὁ Κάϊν, καθάπερ δαίμονι κάτοχος, ἐν ἐπιληψίᾳ πάντα τὸν ἐξ αὐτοῦ διῆγε βίον· τοῦτο τοῦ μὴ ἀναιρεθῆναι παρὰ Θεοῦ λαβόντος σημεῖον· μετὰ γοῦν τὴν καταδίκην χειρόνως ἐβίω, ἅρπαξ, καὶ πλεονέκτης γενόμενος, καὶ πρῶτος μέτρα καὶ στάθμα καὶ γῆς ὅρους ἐπενόησε· καὶ πόλιν κτίσας εἰς ἓν συνελθεῖν οἰκείους ἠνάγκασε, καὶ εἰς πολέμους ἀπασχολεῖσθαι.

Σάβαν δὲ τὴν ἀδελφὴν αὐτοῦ λαβὼν ὁ Κάϊν εἰς γυναῖκα, ἐκτήσατο υἱὸν τὸν Ἐνώς. ἐκ τούτου γίνεται Γαιδάδ· ἐξ οὗ Μαουήλ· ἐξ οὗ Μαθουσάλα· ὁ δὲ Μαθουσάλας γεννᾷ τὸν Λάμεχ· οὗτος δύο γυναῖκας ἀγόμενος Ἀδδὰν καὶ Σελλὰν, Ἰουβὰλ μὲν καθαρῳδὸν, Ἰωβὴλ δὲ κτηνοτρόφον, ἐκ τῆς Ἀδδᾶς παιδας ἐκτήσατο. Θοβὲλ δὲ σφυροκόπον χαλκοῦ καὶ σιδήρου, καὶ Νοεμᾶν θυγατέρα ἐκ τῆς Σελλᾶς· καὶ τὸ μὲν ἐκ Κάϊν γένος μεχρὶ τούτου μνήμης ἠξίωται ἐν τοῖς βίβλοις, τοῦ δὲ ἀριθμοῦ τῶν πρώτων ἀποκεκήρυκται, ἵνα μὴ δὲ τοῖς πρώτοις ᾖ συνταττόμενος, μὴ δὲ τῶν ἐφεξῆς ἀφηγούμενος· διὰ δὲ τῆς προαιρέσεως ἄγριον, ὥσπερ ἐπὶ τὴν ἄλογον ἐκ τῆς λογικῆς φύσεως ἐξώρισται Κάϊν, ὡς λέγει Μωυσῆς, τῆς οἰκίας πεσούσης ἐπ' αὐτὸν ἐτελεύτησεν. ὁ δὲ Ἀδὰμ γενόμενος ἐτῶν σλ', ἐγέννησε τὸν Σήθ· καὶ τούτοις ἑπτακόσια ἐπιζήσας ἔτη, [ἑπτακόσια] θνήσκει κατ' αὐτὴν τῆς παραβάσεως ἡμέραν·

[1] ὑφεγετὴν Cod.

χιλιονταετίας γὰρ τῆς τοῦ Θεοῦ ἡμέρας ἐχούσης τὸ διάστημα, ἐννακόσια μόνον ἔτη ζήσας τελευτᾷ. τοῦτον λέγεται πρῶτον εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, ταφῆναι, καὶ τὸ μνῆμα αὐτοῦ κατὰ τὴν τῶν Ἱεροσολυμῶν γεγονέναι γῆν, Ἑβραϊκή τις ἱστορεῖ παράδοσις. ἦν δὲ ἄρα πρὸ πάντων ἀκόλουθον, εἰς τὴν γῆν ταφῆναι· ὅτι πρῶτος ἀκούει παρὰ Θεοῦ, "γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ·" ἀφανὲς γάρ φησι τὸ τοῦ Ἄβελ γεγενῆσθαι σῶμα· τοῖς μετ᾽ ἔπειτα δικαίοις ἀγαθὰς ὑποφαίνων ἐλπίδας.

Σὴθ Ἀζουρὰν ἀγόμενος τὴν ἀδελφικὴν διακοσίων πέντε ὑπάρχων ἐτῶν, ἐγέννησε τὸν Ἐνώς. "πρῶτος οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ" τουτέστιν, ἐν Θεοῦ ὀνόματι προσαγορεύειν τὸν Θεόν· οὗτος ὁ Σὴθ ἔθηκεν ὀνόματα τοῖς πέντε πλανήταις, Κρόνου, Δία, Ἄρεα, Ἀφροδίτην, Ἑρμῆν. τοὺς γὰρ δύο φωστῆρας ἥλιον καὶ σελήνην θεοὺς ἐκάλεσε, πρῶτος γὰρ τὴν τῶν οὐρανίων κινήσεων σοφίαν ἐπονόησε. τοῦ δὲ Ἀδὰμ προειπόντος φθορὰν ἔσεσθαι τοῦ παντὸς κόσμου ἢ δι᾽ ὕδατος ἢ διὰ πυρός, στήλας δύο ἐπινοήσαντες οἱ ἐκ τοῦ Σὲθ, μίαν ἐκ πλίνθου καὶ ἄλλην ἐκ λίθου, τὰ τῆς ἐπιστήμης ἐνεκόλαψαν. οὗτος ὁ Σὴθ πρῶτος τὰ Ἑβραϊκὰ γράμματα ἐξευρὼν συνεγράψατο. Ἐνὼς ἐγήματο Ἐμμὰν τὴν ἀδελφὴν αὐτοῦ, ρϛʹ ἐτῶν γενόμενος, γεννᾷ τὸν Καϊνᾶν. Καϊνᾶν ἑκατὸν ἑβδομήκοντα ἐτῶν ὑπάρχων, ἐγέννησε τὸν Μαλελεήλ. Μαλελεὴλ ἐτῶν ἑκατὸν ἑξήκοντα πέντε γενόμενος, ἐγέννησε τὸν Ἰάρεδ. Ἰάρεδ γενόμενος διακοσίων ἑξήκοντα δύο ἐτῶν, ἐγέννησε τὸν Ἐνώχ. οὗτος πρῶτος γράμματα μανθάνει καὶ διδάσκει, καὶ θείων μυστηρίων ἀξιοῦται ἀποκαλύψεις.

Ἐνὼχ ἑκατὸν ἑξήκοντα πέντε ἐτῶν γενόμενος, ἐγέννησε τὸν Μαθουσάλαν, καὶ διακόσια πρὸς τούτοις ἐπιβιώσας ἔτη, καὶ τοῖς Ἐγρηγόροις τὴν ἐκ παραβάσεως ἐπιμαρτυρούμενος τιμωρίαν, μετατίθεται εἰς Ἐδὲμ, ἔνθα ὁ παράδεισος. σημειωτέον ὅπως ἡνίκα ἄγγελοι τὴν ἐπὶ τὸ φαῦλον διολισθάνουσι τροπὴν, τηνικαῦτα ἄνθρωπος τῆς εἰς τὸ ἄμεινον καταξιοῦται μεταβολῆς. ἐν γὰρ ταῖς ἡμέραις τούτου καταβεβηκέναι λέγεται οἱ ἄγγελοι ἐπὶ τῆς γῆς· οἳ καὶ Ἐγρήγοροι ὠνομάσθησαν. Μαθουσάλα ἑκατὸν ὀγδοήκοντα ἐτῶν γενόμενος, ἐγέννησε τὸν Λάμεχ. Λάμεχ ἐτῶν ἑκατὸν ὀγδοήκοντα ὀκτὼ ὑπάρχων, ἐγέννησε τὸν Νῶε. Νῶε ἐτῶν πεντακοσίων

γενόμενος ἐγέννησε τὸν Σήμ· καὶ μετ' αὐτὸν ἐγέννησε τὸν Χάμ· καὶ μετ' αὐτὸν τὸν Ἰάφεθ.

Οἱ Ἐγρήγοροι πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων ἐπιμιξίαν ποιησάμενοι, γεννῶσι τοὺς γίγαντας, μαντείας τὲ αὖ καὶ γοητείας ἀνθρώποις εἰσηγηταὶ γενόμενοι. ἔστι δὲ ἀστρονομίας τε καὶ ἀστρολογίας καὶ πάσης ὑψηλῆς καὶ μετεώρου κινήσεως, καὶ ταῖς γυναιξὶ τούτων ἁπάντων παραδεδωκότες τὴν γνῶσιν, εἰς ἄκρον ἐλθεῖν πονηρίας τοὺς ἀνθρώπους παρεσκεύασαν. τέκνα τῶν Ἐγρηγόρων λέγει πνεύματα πονηρὰ, φιλήδονά τε καὶ φιλοσώματα ὑπάρχειν· ἐφ' οἷς εἰς τὴν καθ' ἑαυτῶν ἀγανάκτησιν παροργίσαντες τὸν Θεὸν, εἰς τοὺς τῆς γῆς καταταρταροῦνται πυθμένας. κατακλυσμῷ δὲ τοὺς πάντας διαφθεῖραι βουληθεὶς ὁ Θεὸς, προστάσσει τῷ Νῶε μόνῳ διὰ δικαιοσύνην εὐαρεστήσαντι, κιβωτὸν κατασκευᾶσαι, πρὸς τὴν αὐτοῦ τὲ καὶ τοῦ γένους διατήρησιν. καὶ ἡ μὲν κιβωτὸς ἐφ' ὅλοις ἑκατὸν ὑπ' αὐτοῦ κατασκευάζεται ἔτεσι· μηκύνονται δὲ οἱ χρόνοι τῆς κατασκευῆς, διὰ τὴν πολλὴν αὐτοῦ ἀγαθότητα· τὴν γὰρ τῆς φθορᾶς ἐπαγωγὴν διὰ μακροθυμίαν ἀναβαλλόμενος οὐκ ἐποιεῖτο, τοῖς εἰς μετάνοιαν τοῖς συνιοῦσιν ἐπιμετρῶν καιρόν.

Εἰσελθόντος δὲ εἰς τὴν κιβωτὸν Νῶε καὶ τῶν τριῶν αὐτοῦ υἱῶν, καὶ εἰσαγαγόντος κατὰ θείαν ἐπιτροπὴν, ἀπὸ μὲν τῶν καθαρῶν ζώων ἑπτὰ ἑπτὰ, ἀπὸ δὲ τῶν ἀκαθάρτων δύο δύο, ὡς περιφυλαχθῆναι ἀπαρχὴν εἰς τὴν ἑκάστου γένους διαμονὴν, ἐπῆλθεν ὁ κατακλυσμὸς ἐπὶ τὴν γήν· ἑξακοσιοστὸν ἔτος ἄγοντος τοῦ Νῶε. καὶ ἐγένετο ἐφ' ὅλας τεσσαράκοντα ἡμέρας καὶ νύκτας ἴσας τῶν ὑδάτων ἡ καταφορά. κεκοπακότος δὲ ἤδη τοῦ ὕδατος, καὶ τῆς κιβωτοῦ τῶν τῆς Ἀρμενίας ἐπικλυσάσης ὀρῶν, ἐξέρχεται Νῶε καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ μετὰ τῶν γυναικῶν αὐτῶν καὶ πάντων, καὶ ἐξ αὐτῆς ἐκβάλλει τὰ ζῶα. Νῶε δὲ θυσίαν προσαγαγὼν τῷ Θεῷ ἱκετεύει μηκέτι ποιῆσαι κατακλυσμόν. ἀποδεξάμενος οὖν ὁ Θεὸς τὴν τοῦ ἄνδρος ἀρετὴν, ὑπέσχετο, σημεῖον ἐπιθεὶς τὸ τόξον τῆς ἴριδος. ἐγένετο ὁ κατακλυσμὸς τῷ ἑξακοσιοστῷ ἔτει τοῦ Νῶε. γίνονται ἀπὸ Ἀδὰμ μέχρι Νῶε καὶ τοῦ κατακλυσμοῦ, ἔτη δισχίλια διακόσια τεσσαράκοντα δύο.

Ἐν δὲ τῷ δευτέρῳ ἔτει μετὰ τὸν κατακλυσμὸν, Σὴμ γενόμενος ἑκατὸν ἐτῶν ἐγέννησε τὸν Καϊνᾶν. Καϊνᾶν γενόμενος ἑκατὸν τριά-

κοντα ἐτῶν, ἐγέννησε τὸν Σάλα· τοῦτον ὁ πατὴρ αὐξηθέντα, γράμμασιν ἐξεπαίδευσε. καὶ δήποτε ὁ Σάλα ἑαυτῷ πορευθεὶς ἀποικίαν κατασκέψασθαι ἐλθὼν κατὰ τὴν Χαλδαίων, γράμματα ἐπὶ τίνων εὑρίσκει διακεχαραγμένα πετρῶν· τὰ δὲ ἦν ἄρα τῶν Ἐγρηγόρων αἱ παραδόσεις· ταῦτα δὲ ἐγραψάμενος ὁ Σάλα, αὐτὸς τε ἐν αὐτοῖς ἐξημάρτανε, καὶ τοὺς ἄλλους τὴν ἐν αὐτοῖς ἀτοπίαν ἐξεπαίδευε. Σάλα γενόμενος ἑκατὸν τριάκοντα ἐτῶν, ἐγέννησε τὸν Ἔβερ. ἐπὶ τούτου πάλιν οἱ ἄνθρωποι εἰς ἄπειρον πληθύνονται ἀριθμὸν, καὶ εἰς ἄκρον[2] αὐξηθέντες πονηρίας, πύργον ἐννοοῦσι κατασκευᾶσαι οὐρανομήκη· τὴν εἰς οὐρανὸν ἑαυτοῖς ἄνοδον διὰ τούτου προμυθούμενοι.

Τὸν δὲ πύργον ᾠκοδόμουν προστάξει Νεβρὼδ πρὸς ἀποφυγὴν τῶν ἐπομβρίων ὑδάτων, ὡς ἐπιβουλεύοντος αὐτοῖς τοῦ Θεοῦ διὰ τοῦ ὕδατος. ἦσαν δὲ τὰ πάντα τῶν οἰκοδομούντων ἔθνη ἑβδομήκοντα. φωνὴ δὲ αὐτοῖς πᾶσιν ἐνυπῆρχε μία· Νεβρωδ δὲ αὐτοῖς ὁ γίγας, Χουσὲ τοῦ Ἀθίοπος υἱὸς, εἰς βρῶσιν ἀ͡γα[3] ἐχορήγει ζῶα. ὁ δὲ Ἔβερ, ὁ τοῦ Σάλα υἱὸς, ἐπείγειν ἐκεχείριστο τὴν οἰκοδομήν. δοκοῦντος δὲ αὐτοῖς ἤδη τοῦ ἔργου προκόπτειν· συγχέει τὰς γλώσσας ὁ Θεὸς εἰς εἴδη φωνῶν κατατεμών. φασὶ δὲ μόνον τὸν Ἔβερ τὴν ἀρχαίαν διατετηρηκέναι φωνήν· καὶ ταύτην οἱ τούτου διαδεξάμενοι ἀπόγονοι, ἑαυτοὺς μὲν πατρωνυμικῶς Ἑβραίους προσηγόρευσαν· Ἑβραΐδα[4] τὴν φωνὴν ἐκάλεσαν. τεκμήριον δὲ τοῦ ταύτην εἶναι τὴν τῆς συγχύσεως φωνὴν τὰ τῶν παλαιῶν ὀνόματα. ἐφ' ὧν γὰρ κατ' οὐδεμίαν ἔστι γλῶσσαν τὸ σημαινόμενον ἐπιλύσασθαι, κατ' αὐτὴν τὸ ζητούμενον ἑρμηνεύεται. οἷον τοῦ Ἀδὰμ καθ' ἑτέραν μὲν οὐδεμίαν φωνὴν τὸ δηλούμενον εὑρίσκεται, κατὰ δὲ ταύτην ἄνθρωπος νενόηται. καὶ ἡ τοῦ Νῶε προσηγορία, δι' ἑτέρας μὲν οὐδὲ μιᾶς διαλέκτου ἑρμηνεύεται, κατὰ δὲ ταύτην δικαιοσύνην σημαίνεται· καὶ Χοῦς Αἰθίοψ, καὶ Μεσραεὶμ Αἴγυπτος, καὶ Φαλὲκ διαμερισμός.

Ὁ μὲν οὖν πύργος ἐφ' ὅλα τεσσαράκοντα τρία οἰκοδομηθεὶς ἔτη, ὑπὸ τῆς κατὰ τὴν σύγχυσιν διαφωνίας ἔμεινεν ἡμιτελής· σύγχυσις δὲ ἀπὸ τοῦ συμβεβηκότος ἡ περὶ τὸν τόπον ὠνομάσθη πόλις, ἡ αὐτόθι κτισθεῖσα Βαβυλωνία· Βαβυλῶνα γὰρ Ἑβραῖοι

2 ἄρον Cod. 3 Sic. 4 ἐβαΐδη Cod.

τὴν σύγχυσιν ὀνομάζουσιν. ὑστέροθι δὲ ὁ Θεὸς, ἀνέμῳ τὸν πῦργον ὅλον ἀνατρέπει· καὶ ἔστι ἀνὰ μέσος Ἀσοὺρ καὶ Βαβυλῶνος εἰς ἔτι τοῦ πύργου φυλασσόμενα τὰ ἴχνη.

Ἔβερ γενόμενος ἑκατὸν τριακοντατεσσάρων ἐτῶν ἐγέννησε τὸν Φαλέκ. ἐν ἀρχῇ τῶν ἡμερῶν Φαλὲκ οἱ τοῦ Νῶε υἱοὶ διχονοήσαντες, τῆς γῆς εἰς ἑαυτοὺς ποιοῦνται τὴν διανέμησιν. Φαλὲκ γενόμενος ρλ ἐτῶν, ἐγέννησε τὸν Ῥαγαῦ, καὶ ἐπιβιώσας ἔτη σθ ἐτελεύτησε. συνάγεται τὰ πάντα ἔτη ἀπὸ Ἀδὰμ ἐπὶ τὴν τοῦ Φαλὲκ τελευτὴν, ἔτη τρισχίλια· ὥστε εἰκότως ταύτης ἔτυχε ὀνομασίας ὁ Φαλέκ. μερὶς γὰρ ἑρμηνεύεται ἑκατέρας προαναφωνῶν τὰς διαιρέσεις. τῆς τε γὰρ γῆς τὴν διακλήρωσιν οἱ τοῦ Νῶε παῖδες ἐπὶ τούτου ποιοῦνται, καὶ τοῦ ὑπονοουμένου τῶν ἑξακισχιλίων ἐτῶν χρόνου ἡ διαίρεσις ἐπὶ τῆς τελευτῆς τῶν ἡμέρων γίνεται τούτου. ὁ μὲν ἐν ἀρχῇ, ὁ δὲ ἐπὶ τῷ τέλει τῆς ζωῆς αὐτοῦ· τότε μεταστέλλονται οἱ τρεῖς υἱοὶ τοῦ Νῶε πάντας τοὺς ἐξ αὐτῶν, καὶ δίδουσιν αὐτοῖς ἔγγραφον τῶν τόπων τὴν κατανέμησιν. καὶ λαγχάνουσιν ἑκάστῳ, καὶ ταῖς ἑκάστου φυλαῖς καὶ πατριαῖς, τόποι καὶ κλίματα, καὶ χῶραι, καὶ νῆσοι, καὶ ποταμοὶ, κατὰ τὴν ὑποκειμένην ἔκθεσιν.

Τῷ μὲν οὖν Σὴμ τῷ πρωτοτόκῳ υἱῶν Νῶε, ἀπὸ Περσίδος καὶ Βάκτρων ἕως Ἰνδικῆς καὶ Ῥινοκορούρων. τῷ δὲ Χὰμ τῶν δευτέρῳ υἱῷ τοῦ Νῶε, ἀπὸ Ῥινοκορούρων ἕως Γαδείρων τὰ πρὸς νότον. τῷ δὲ Ἰάφεθ τῷ τρίτῳ υἱῷ Νῶε, ἀπὸ Μηδείας ἕως Γαδείρων, τὰ πρὸς βορράν. ἔστι δὲ αἱ λαχοῦσαι χῶραι κατ' ὄνομα τῷ Σὴμ, τῷ πρωτοτόκῳ υἱῷ τοῦ Νῶε, αἵδε· Περσὶς, Βακτριανὴ, Ὑρκανία, Βαβυλωνία, Κορδύνη, Ἀσυρία, Μεσοποταμία, Ἀραβία ἡ ἀρχαία, Ἐλυμαῒς, Ἰνδικὴ, Ἀραβία ἡ εὐδαίμων, Κοιλησυρία, Κομμαγήνη καὶ Φοινίκη πᾶσα· ἔστι δὲ ἐν τῷ μέρει αὐτοῦ ποταμὸς ὁ Εὐφράτης.

Ἐκ δὲ τῆς φυλῆς τοῦ Σὴμ ἀνεφάνη ἄνθρωπος γιγαντογενὴς, ὀνομασθεὶς ὑπὸ τοῦ πατρὸς Κρόνος, εἰς ἐπώνυμον τοῦ πλανήτου ἀστέρος· ὃς πρῶτος[4] κατέδειξεν ἄρχειν καὶ βασιλεύειν Ἀσυρίων. ἔσχε δὲ γυναῖκα Σεμίραμιν, τὴν καὶ Ῥέαν καλουμένην· ἐξ ἧς ἔσχε υἱὸν, ὃς ἐπεκλήθη Ζεὺς, ὁ καὶ Πῖκος, γήμας τὴν ἰδίαν ἀδελ-

[4] ὥς φησιν Ἀφρικανὸς ὁ σοφώτατος in marg.

φὴν Ἥραν. ἔσχε δὲ Κρόνος καὶ ἕτερον υἱὸν ὀνόματι Ἄφρων, ᾧ ἀπεκλήρωσε τὴν πρὸς Λιβύην γῆν· ὃς ἔγημε τὴν Ἀστυνόμην, γεννήσας ἐξ αὐτῆς θυγατέρα, ἣν ἐκάλεσεν Ἀφροδίτην. ὁ δὲ Κρόνος ἐξωσθεὶς τῆς βασιλείας ὑπὸ τοῦ ἰδίου υἱοῦ Διὸς, κατέλιπε Δία καὶ Νῖνον, υἱοὺς αὐτοῦ μετὰ τῆς μητρὸς αὐτῶν Ῥέας, βασιλεύειν Ἀσυρίων· αὐτὸς δὲ κατιὼν ἐν τῇ δύσει, κράτει καὶ βασιλεύει πάσης Ἰταλίας. Ζεὺς οὖν ὑποχωρήσας τῶν Ἀσυρίων παρεγένετο πρὸς τὸν πατέρα· ὁ δὲ παραχωρεῖ αὐτῷ βασιλεύειν πάσης Ἰταλίας, καὶ κρατήσας πολλοῖς ἔτεσι, καὶ τελευτήσας, κατατίθεται ἐν Κρήτῃ. μετὰ δὲ Νῖνον, ἐβασίλευσεν Ἀσυρίων Θούρρας, ὃν μετωνόμασαν Ἄρεα, ὡς πολεμικώτατον καὶ γενναῖον ὄντα· ὃν οἱ Ἀσύριοι Βάαλ θεὸν μετωνόμασαν· καὶ ἀναστηλώσαντες σέβονται. μετὰ δὲ τὴν τοῦ Διὸς τελευτὴν, Φαῦνος υἱὸς αὐτοῦ ἐβασίλευσεν· ὃς μετωνομάσθη Ἑρμῆς· ἦν γὰρ λογιώτατος πάνυ καὶ μαθηματικός· ὅστις καὶ τὴν τοῦ χρύσου ποίησιν ἐφεῦρεν ἐκ μετάλλων ἀνθρώποις.

Τῷ δὲ Χὰμ τῷ δευτέρῳ υἱῷ τοῦ Νῶε ἔλαχον χῶραι κατ' ὄνομα αἴδε· Αἴγυπτος, Αἰθιοπία ἡ βλέπουσα κατὰ Ἰνδοὺς, ἑτέρα Αἰθιοπία, ὅθεν ἐκπορεύεται ὁ τῶν Αἰθιόπων ποταμὸς, Ἐρυθρὰ ἡ βλέπουσα κατὰ ἀνατολὰς, Θηβαῒς, Λιβυὴ, ἡ παρεκτείνουσα μέχρι Κυρήνης, Μαρμαρὶς, Σύρτις, Λιβύη ἡ ἀπὸ ποταμέως παρεκτείνουσα, μέχρις ἄκρας Σύρτεως, Νουμηδία, Μασσυρὶς, Μαυριτανία παρεκτείνουσα μέχρις Ἡρακλεωτικῶν στηλῶν, κατέναντι Γαδείρων. ἔχει δὲ ἐν τοῖς κατέναντι βορρὰν τὰ παρὰ θάλασσαν, Κιλικίαν, Παμφυλίαν, Πισιδίαν, Μυσίαν, Λυκαονίαν, Φρυγίαν, Καβαλίαν, Λυκίαν, Καρίαν, Λυδίαν, Μυσίαν ἄλλην, Τρωάδα, Αἰολίδα, Βιθυνίαν, τὴν ἀρχαίαν Φρυγίαν[5]. ἔχει δὲ καὶ νήσους· Σαρδανίαν, Κρήτην, Κύπρον, καὶ ποταμὸν Γηὼν, τὸν καλούμενον Νεῖλον.

Τῷ δὲ Ἰάφεθ τῷ τρίτῳ υἱῷ τοῦ Νῶε, ἔλαχον χῶραι κατ' ὄνομα αἴδε· Μηδία, Ἀλβανία, Ἀμαζονὶς, Ἀρμενία, μικρά τε καὶ μεγάλη, Καππαδοκία, Παφλαγονία, Γαλατία, Κολχὶς, Βοσπόρη, Μαιῶτις, Δερβὶς, Σαρματὶς, Ταυριανὶς, Βαστρανὶς, Σκυθία, Θράκη, Μακεδονία, Δαλματία, Μολοσσὶς, Θεσσαλία, Λοκρὶς,

[5] ἡ Πισιδία in marg.

Βοιωτία, Αἰτωλία, Ἀττικὴ, Ἀχαΐα, Πελλήνη, ἡ καλουμένη Πελοπόνησος, Ἀρκαδία, Ἠπειρῶτις, Ἰλλυρὶς, Λυχνῖτις, Ἀδριακὴ, ἀφ' ἧς τὸ πέλαγος τὸ Ἀδραϊκόν. ἐπὶ δὲ αὐτῷ καὶ νῆσοι αἵδε· Βρεττανία, Σικελία, Εὔβοια, Ῥόδος, Χῖος, Λέσβος, Κύθηρα, Ζάκυνθος, Κεφαληνία, Ἰθάκη, Κέρκυρα, καὶ αἱ Κυκλάδες, καὶ μέρος τί τῆς Ἀσίας ἡ καλουμένη Ἰωνία· ποταμὸς δ' ἐστὶν ἐν τοῖς αὐτοῖς μέρεσι Τίγρις, ὁ διορίζων μεταξὺ Μηδίας καὶ Βαβυλῶνος. ἐκ δὲ τῶν τοῦ Ἰάφεθ υἱῶν, ἀπὸ μὲν τοῦ Γόμερ[6], Γομαρεῖς[7], οἱ νῦν Γαλάται. ἐκ δὲ τοῦ Μαγὼθ, οἱ νῦν Σκύθαι, καὶ ἀπὸ Μάδου, Μῆδοι. ἐκ δὲ Ἴωνος, Ἴωνες, καὶ οἱ λοιποὶ Ἕλληνες. ἐκ δὲ τοῦ Θόβελ Θοβηλοὶ, οἱ νῦν Ἴβηρες· ἀπὸ δὲ Μεσχὼ, Μεσχηνοὶ, οἱ νῦν Καππάδοκες· διὸ καὶ Μάζακα, ἡ παρ' αὐτοῖς μητρόπολις· ἀπὸ δὲ Θῆρα, Θρᾶκες· ἀπὸ δὲ Θάρρου, Θαρσεῖς, οἱ νῦν Κίλικες· ἀφ' οὗ καὶ Ταρσὸς ἡ παρὰ Κίλιξι πόλις ἀξιολογωτάτη.

Γινομένης δὲ τῆς δηλωθείσης διανεμήσεως, ὁ μὲν Σὴμ ἔνθα καὶ ὁ πατὴρ αὐτοῦ κατοικισθεὶς τὴν τῆς κληρονομίας αὐτοῦ μοῖραν εἰς τοὺς παῖδας κατατέμνει τοὺς ἑαυτοῦ. ὁ δὲ Χὰμ υἱὸς Χαναὰμ ἰδὼν τὴν πρὸς τῷ Λιβάνῳ γῆν, ὅτι ἀγαθή τέ ἐστι καὶ εὔφορος καὶ καταπολὺ τῆς ἑαυτοῦ διαλάττουσα, αὐτόθι κατασκηνοῖ, τῶν τοῦ Σὴμ ἐγγόνων ταύτην ἀποτεμόμενος τὴν μοῖραν. καίτοι τοῦ πατρὸς αὐτὸν καὶ τῶν ἀδελφῶν κωλυόντων, καὶ ὑπόμνησιν παρεχομένων, ὧν ὁ πατὴρ Νῶε τοῖς παραβαίνουσι αὐτοῦ τὴν κρίσιν ἐπηράσατο. ἐντεῦθεν πᾶσα ἡ γῆ ἐκείνη Χαναναία προσηγορεύθη[8]. τῶν τριῶν τοίνυν υἱῶν τοῦ Νῶε τριχῇ, καθὼς εἴρηται, τὸν κόσμον διανειμαμένων, ἀναγκαῖον ἐστὶ λοιπὸν ἀναδραμεῖν ἐπὶ τὸ προκείμενον· καταλήξαντες δὲ ἐπὶ τὴν ἐκ Φαλὲκ τοῦ Ῥαγαῦ γένεσιν, ἀρξώμεθα πάλιν ἀπ' αὐτοῦ.

Ῥαγαῦ γενόμενος ρλβ ἐτῶν, ἐγέννησε τὸν Σερούχ. ἐπὶ τούτου οἱ ἄνθρωποι τὸν κατ' ἀλλήλων αὐξήσαντες τύφον, στρατηγούς τε ἑαυτοὺς κατεστήσαντο καὶ βασιλεῖς. καὶ τότε πρῶτος πολεμικὰ κατασκευάσαντες ὄργανα, πολεμεῖν ἀλλήλους ἐνήρξαντο. καὶ εὐθὺς οἱ ἀπὸ Χαναὰμ ἡττῶνται, καὶ πρῶτοι τῆς δουλείας ὑποπίπτουσι τῷ ζυγῷ, κατὰ τὴν τοῦ Νῶε κατάραν. Σεροὺχ γενόμενος ρλ ἐτῶν, ἐγέννησε τὸν Ναχώρ· ᾤκει δὲ ὁ Σεροὺχ ἐν γῇ Χαλδαίων, καὶ

[6] γάμερ Cod. [7] γαμαρεῖς Cod. [8] προσηγορεύετο in marg.

Ἐνὼρ τῇ πόλει. αὐξηθέντα δὲ τὸν Ναχὼρ, ἐδίδαξεν ὁ πατὴρ παντὸς ἐπίλυσιν οἰωνῶν, τῶν τε ἐν οὐρανῷ καὶ σημείων διακρίσεις, καὶ τῶν ἐπὶ τῆς γῆς ἁπάντων, καὶ πᾶσαν Χαλδαϊκὴν μαντείαν. καὶ Ναχὼρ γενόμενος οθ ἐτῶν ἐγέννησε τὸν Θάρρα. Νίνου δὲ τοῦ πρώτου βασιλέως Ἀσυρίων τεσσαρακοστὸν ἕκτον ἄγοντος ἔτος τῆς βασιλείας, γεννᾶται Ἀβραάμ. οὗτος γήμας τὴν ἑαυτοῦ μητέρα Σεμίραμιν, τὴν καὶ Ῥέαν, κτίζει πόλιν Νινευΐ, ἐπονομάσας αὐτὴν Νῖνον· ἀφ' οὗ Πέρσαις νόμος τὰς ἑαυτῶν μητέρας γαμεῖν καὶ ἀδελφὰς, καθὼς καὶ Ζεὺς τὴν ἰδίαν ἀδελφὴν Ἥραν. μεθ' ὃν ἐβασίλευσεν Ἀσυρίων ἡ τούτου γυνὴ Σεμίραμις, ἥτις κατεσκεύασε τὰ χώματα διὰ τοὺς κατακλυσμούς. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, παρ' Αἰγυπτίους ἦν ἑξκαιδεκάτη δυναστεία, καθ' ἣν ἐβασίλευον Θηβαῖοι.

Θάρρα γενόμενος ἐτῶν ἑβδομήκοντα ἐγέννησεν ἐκ γυναικὸς Ἔδνας, θυγατρὸς Ἀβραὰμ, πατράδελφον αὐτοῦ τὸν Ἀβραὰμ, ὅντινα ἡ μήτηρ ἐκάλεσεν ἐπ' ὀνόματι τοῦ ἑαυτῆς πατρός. ἔφθη γὰρ ἐκεῖνος πρὸ τῆς τούτου γενέσεως τετελευτηκέναι. ἐγέννησε δὲ ἔτι ὁ Θάρρα τὸν Ἄρραν καὶ τὸν Ναχώρ. ὁ δὲ Ἀβραὰμ λαμβάνει παρὰ τοῦ πατρὸς γυναῖκα τὴν Σάρραν. οὗτος μόνος, τῶν πανταχῇ τὴν ἐπὶ τὰ εἴδωλα πλάνην νοσούντων, τὸν ἀληθῆ Θεὸν ἐπέγνω. καὶ ὁ Ἄρραν δὲ ἀγαγόμενος γυναῖκα, υἱὸν ἐκτήσατο τὸν Λὼτ, θυγατέρα δὲ Μελχάμ· ταύτην δὲ ἑαυτῷ ὁ Ναχὼρ λαμβάνει εἰς γυναῖκα. ἤδη δὲ ἑξηκοστὸν ἔτος ἄγων ὁ Ἀβραὰμ, ὡς οὐκ ἐδόκει τὸν πατέρα πείθειν, καὶ τοὺς ἄλλους οἰκείους τῆς πρὸς τὰ εἴδωλα δεισιδαιμονίας μεταθέσθαι, λανθάνει νυκτὸς τῶν εἰδώλων ἐμπρῆσαι τὸν οἶκον. ἤδη δὲ ἐξ αὐτῶν ἀναλωθέντων, οἱ ἀδελφοὶ περινοήσαντες ἀναπηδῶσι, βουλόμενοι ἐκ μέσου τοῦ πυρὸς ἐξελέσθαι τὰ εἴδωλα. φιλοτιμότερον δὲ ὁ Ἄρραν τῷ προστάγματι προσφερόμενος, ἐν μέσῳ διαφθείρεται τοῦ πυρός· καὶ θάψας αὐτὸν ὁ πατὴρ, ἐγγὺς ὢν τῇ πόλει τῶν Χαλδαίων, μετανίσταται πάντας ἀπεφερόμενος τοὺς οἰκείους εἰς Χαρρὰν τῆς Μεσοποταμίας. ἐνταῦθα δὲ Ἀβραὰμ δέκα τῷ πατρὶ καὶ πέντε συνοικήσας ἔτη, ἐννοεῖ ποτὲ νυκτὸς ἐκ τῆς τῶν ἄστρων κινήσεως, τοῦ ἐπιόντος καιροῦ κατασκέψασθαι τὴν πίοτητα· ἦν γὰρ οὐ μετρίως ὑπὸ τοῦ πατρὸς ἅπασαν τὴν τοιαύτην ἐξασκηθεὶς ἐπιστήμην· καὶ δὴ μετὰ τὴν ἑκάστου τῶν

ζητουμένων διάγνωσιν, συνίησι περιττὴν ἅπασαν εἶναι τὴν τοιαύτην περιεργίαν· δύνασθαι γὰρ αὖθις τὸν Θεὸν, εἰ βούλοιτο μετασκευᾶσαι πρὸς τὸ οἰκεῖον βούλημα τὰ προεγνωσμένα. πᾶσιν οὖν τούτοις καὶ τοῖς τοιούτοις ἐξ ὅλης ἀποταξάμενος ψυχῆς, καὶ τελείαν τῆς περὶ τὸ θεῖον εὐσεβείας δοὺς τὴν ἀποδειξιν, ἀκούει παρὰ Θεοῦ, "ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου·" καὶ ἐξελθὼν ἅμα τῇ γυναικὶ Σάρρᾳ, καὶ τῷ Λὼτ τῷ ἀδελφιδῷ, μετοικίζεται εἰς τὴν Ἀρφαξὰδ τοῦ πατρὸς αὐτοῦ μερίδα, ἣν οἱ Χαναναῖοι κατασχόντες, τὴν Χαναναίαν ἐκάλεσαν, ὢν ἐτῶν οε̄.

Ὁμοῦ τοίνυν γίνεται ἔτη μέχρι τῆς παροικεσίας Ἀβραὰμ τοσαῦτα. ὁ διαμερισμὸς τῆς γῆς γέγονε τῇ ἀρχῇ τῶν ἡμερῶν Φαλέκ. ἀπὸ δὲ τοῦ διαμερισμοῦ τῆς γῆς ἔτη αϛ.[5] ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἔτη χίλια δεκαπέντε. ἀπὸ δὲ Ἀδὰμ ἔτη τρισχίλια διακόσια ἑβδομήκοντα ἑπτά.

Διατρίψας δὲ ὁ Ἀβραὰμ μετὰ τὴν ἔξοδον ἐν τῇ γῇ τῶν Χαναναίων ἔτη εἰκοσιπέντε, γεννᾷ τὸν Ἰσαάκ. πρὸ δὲ τοῦ Ἰσαὰκ γεννᾶται ἐκ τοῦ Ἀβραὰμ ὁ Ἰσμαὴλ ἀπὸ τῆς Ἄγαρ, ἀφ' οὗ τὸ τῶν Ἰσμαηλιτῶν γένος, οἱ δὲ αὐτοὶ Ἀγαρηνοὶ, οἱ καὶ Σαρακηνοὶ καλούμενοι. κατὰ τοῦτον ὁ Θεὸς τὸν καιρὸν πῦρ κατὰ τῆς Πενταπόλεως ὑετίζει, καὶ ἀναλίσκει μὲν ἐξ αὐτῆς ἅπαν τὸ γένος τῶν ἀνθρώπων, διαφθείρει δὲ καὶ αὐτὸ ἀπὸ τῆς γῆς τὸ ἀνάστημα, καὶ τῆς προκειμένης θαλάσσης νεκροῦται τὰ ὕδατα. ὀλίγῳ δὲ ὕστερον ἀπὸ τῆς κατὰ Μαμβρὴν δρυὸς μεταναστὰς ὁ Ἀβραὰμ, ἐπὶ τὸ φρέαρ κατασκηνοῖ τοῦ ὅρκου, ἑαυτῷ τε ἰδίᾳ καὶ τοῖς οἰκέταις αὐτοῦ κατὰ συγγενείας πηξάμενος σκηνάς. τότε πρῶτον Ἀβραὰμ τῆς σκηνοπηγίας ἐφ' ἑπτὰ ἡμέραις ἐπιτελεῖ τὴν ἑορτὴν, εἰσέτι καὶ νῦν ὁ Ἰσραὴλ ἑορτάζει σκηνοπηγῶν. εἰκοσιπέντε ἐτῶν ἦν φησιν ὁ Ἰσαὰκ, ὅτε πρὸς θυσίαν ἀνήχθη. εἰς ἐκεῖνον δὲ τὸν τόπον τὸ θυσιαστήριον ᾠκοδόμησεν Ἀβραὰμ, ἔνθα ὕστερον Δαυὶδ τὸ ἱερὸν ἱδρύσατο.

Ἰσαὰκ δὲ γενόμενος ἐτῶν ἑξήκοντα γεννᾷ τὸν Ἡσαῦ καὶ τὸν Ἰακὼβ, ἑβδομηκοστὸν καὶ πέμπτον ἄγων ἔτος φεύγει μὲν Ἡσαῦ τὸν ἀδελφὸν αὐτοῦ, καταντᾷ δὲ πρὸς Λάβαν εἰς Χαρρὰν τῆς Μεσοποταμίας. ἀδελφὸς δὲ ἦν ὁ Λάβαν τῆς Ῥεβέκας τῆς μη-

[5] Sic.

πρὸς Ἰακώβ· τούτου νέμει τὰ πρόβατα ἐφ' ὅλοις ἔτεσιν εἴκοσι, δεκατέσσαρα μὲν Λίαν λαβὼν καὶ Ῥαχὴλ τὰς τοῦ Λάβαν θυγατέρας πρὸς γάμον, ἐπὶ δὲ τῆς ἕξ, ῥητὸν μισθὸν ποιησάμενος σύμφωνον. ὑστέρωθι δὲ κομίζεται παρὰ τῶν γυναικῶν Βάλλαν καὶ Δελφᾶν τὰς παιδίσκας, καὶ παιδοποιεῖται ἐκ τῶν τεσσάρων γυναικῶν ἐν τοῖς δεκατέσσαροιν[6] ἔτεσιν, οἷς ἐπὶ τῆς Μεσοποταμίας μετὰ τὴν πρώτην διέτριψεν ἑπταετίαν, υἱοὺς μὲν ἕνδεκα, καὶ θυγατέρα μίαν. ἐκ μὲν τῆς Λίας γεννήσας τὸν Ῥουβὴμ, καὶ τὸν Συμεὼν, καὶ τὸν Λευΐ, καὶ τὸν Ἰούδαν, καὶ τὸν Ἰσάχαρ, καὶ τὸν Ζαβουλὼμ, καὶ τὴν Δίναν. ἐκ δὲ τῆς Ῥαχὴλ τὸν Ἰωσὴφ, ἐκ δὲ τῆς Βάλλας τὸν Δᾶν καὶ τὸν Νεφθαλείμ· ἐκ δὲ τῆς Δελφᾶς τὸν Γὰδ καὶ τὸν Ἀσήρ. τῷ εἰκοστῷ δὲ ἔτει διαφυγὼν τὸν Λάβαν ὁ Ἰακὼβ, ἑβδόμῃ ὑπ' αὐτοῦ καταλαμβάνεται ἡμέρᾳ ἐν τῷ ὄρει Γαλαὰδ, ἐνταῦθα ἐνωμότως ποιησάμενοι συνθήκας χωρίζονται, ὁ μὲν Λάβαν εἰς Χαρρὰν, ὁ δὲ πλησίον Σικήμων εἰς πόλιν Σαλήμ. ἐνταῦθα ὑφίσταται ὑπὸ Συχὲμ τὴν βίαν ἡ Δίνα. ἔτι δὲ τίκτει ἡ Ῥαχὴλ τῷ Ἰακὼβ τὸν Βενιαμὶν, καὶ τελευτήσασα, θάπτεται ἐν γῇ Ἐφραθᾶ[7], ἔνθα νῦν ἐστιν ἡ Βηθλεέμ. Συμεὼν δὲ καὶ Λευῒ τῆς ἀδελφῆς ἐκδικοῦσι τὴν ὕβριν, παντὶ δόλῳ χρησάμενοι τοὺς περὶ τὸν Συχέμ. ὁ δὲ Ἰακὼβ τῆς ὁράσεως ὑπομνησθεὶς, ἧς ἐθεάσατο κατὰ τὴν ἄφιξιν τῆς εἰς Μεσοποταμίαν, ἀνέρχεται εἰς Βαιθὴλ, τοῦτο γὰρ ἦν ὄνομα τῷ τόπῳ, ἐφ' ᾧ κατοικηθεὶς εἶδε τὸ ὅραμα· καὶ πάντα ἀποδεκατώσας ἃ ἐκέκτητο, τελευταίους ὑποβάλλει κλήρῳ τοὺς παῖδας· λαχόντα δὲ τὸν Λευῒ τῷ Θεῷ ἀφιεροῖ, καὶ καθίστησιν ἱερέα τοῦ Θεοῦ, καὶ προσκομίζει πρῶτον τῷ Θεῷ θυσίαν τὴν τοῦ παιδὸς ἀποδεκάτωσιν.

Ἐπειδὴ τοίνυν τὸ Λευϊτικὸν γένος ἐπὶ Ἀαρὼν κατατρέχει καὶ Μωϋσῆν, ὧν ὁ μὲν ἱερατεύει, ὁ δὲ στρατηγεῖ τῷ Ἰσραὴλ, ἐγκότως ἐξ αὐτοῦ λαμβάνεται ἡ ἐκ τοῦ Ἰακὼβ γενεαλογία. Ἰακώβ γενόμενος ὀγδοηκονταεπτὰ ἐτῶν, ἐγέννησε τὸν Λευΐ. Ῥεβέκκα ἠξίωσε τὸν Ἰσαὰκ ἀγαγεῖν Ἡσαῦ καὶ Ἰακώβ, καὶ διαλλάξαι αὐτοὺς, παρακαλέσαι τε ἅμα καὶ ἐνορκῆσαι εἰρήνην ἄγειν εἰς ἀλλήλους, καὶ τῆς ἀδελφικῆς οἰκειότητος ἀσπάζεσθαι τὴν διάθεσιν· ὃ δὴ καὶ ποιήσας προεῖπε τῷ Ἡσαῦ, ὅτι ἐὰν ἐπαναστῇς τῷ Ἰακὼβ ἐμπέσῃ

[6] δεκακαιτέσσαρσιν. [7] Ἐφραθᾶ Cod..

εἰς χεῖρας αὐτοῦ. τελευτῶσι δὲ, προτέρα μὲν ἡ Ῥεβέκκα, μετ' οὐ πολὺ δὲ καὶ ὁ Ἰσαὰκ, τῷ Ἰακὼβ τῆς πρωτοτοκίας καταλιπόντες τὰ γέρα.

Οἱ δὲ υἱοὶ τοῦ Ἡσαῦ παρώξυναν τὸν πατέρα αὐτῶν κατὰ Ἰακὼβ καὶ τῶν υἱῶν αὐτοῦ, καὶ καθοπλισθέντες μετὰ ἐθνῶν ἦλθον πρὸς πόλεμον· ὁ δὲ ἀποκλείσας τὰς θύρας τῆς πόλεως, παρακάλει τὸν Ἡσαῦ μνησθῆναι τῶν γονικῶν ἐντολῶν καὶ παραινέσεων· τοῦ δὲ μὴ ἀνεχομένου, ἀλλὰ μᾶλλον ὑβρίζοντος, τοῦ Ἰούδα παρακαλέσαντος, ἐνέτεινε τόξον Ἰακὼβ, καὶ πλήξας κατὰ τοῦ δεξιοῦ μαζοῦ τὸν Ἡσαῦ, κατέβαλε· καὶ τούτου τελευτήσαντος, ἐπεξῆλθον υἱοὶ Ἰακὼβ τὰς πύλας ἀνοίξαντες καὶ πάντας σχεδὸν ἀνεῖλον.

Τῷ δευτέρῳ ἔτει τῆς τοῦ Ἰσραὴλ ἐν Αἰγύπτῳ παροικίας, ἱερογραμματέα δεινὸν προσειπεῖν φησὶν, ὅτι τὸ τικτόμενον παιδίον ἐν τῷδε τῷ χρόνῳ τοῖς Ἑβραίοις τὴν Αἰγυπτίων καταλύσει βασιλείαν· καὶ διὰ τοῦτο Φαραὼ προσέταξε κτείνειν τὰ τικτόμενα βρέφη τῶν Ἑβραίων. ἐν δὲ τῷ αὐτῷ δευτέρῳ ἔτει, Λευὶ γενόμενος τεσσαράκοντα πέντε ἐτῶν γεννᾷ τὸν Καάθ· Καὰθ γενόμενος ἑξήκοντα τριῶν ἐτῶν γεννᾷ τὸν Ἀβραάμ· Ἀβραὰμ γενόμενος ἑβδομήκοντα ἐτῶν γεννᾷ τὸν Μωϋσῆν. τὸν δὲ Ἀβραὰμ φασὶ τὸν πατέρα Μωϋσέως, εὔξασθαι τῷ Θεῷ μὴ περιϊδεῖν ἀπολλύμενον τὸ γένος τῶν Ἑβραίων· χρηματισθῆναι δὲ κατ' ὄναρ περὶ τῆς γενέσεως καὶ δυνάμεως τοῦ παιδίου Μωϋσέως· οὗ τεχθέντος καὶ ἐκθέτου γενομένου, Θέρμουθις ἡ τοῦ Φαραὼ θυγάτηρ ἀνείλετο. τοσοῦτον δὲ ἦν κάλλει ἀστεῖον τὸ παιδίον, ὡς τοὺς ὁρῶντας αὐτὸ ἀμεταστρεπτὶ θαυμάζοντας ἐνορᾶν.

Ἐκ τοῦ Ἀβραὰμ καὶ τῆς Χεττούρας γεννᾶται Ἰεξὰν, ἐκ δὲ τοῦ Ἰεξὰν Δαδὰμ, ἐκ δὲ τοῦ Δαδὰμ, Ῥαγουὴλ καὶ Ἰοθὸρ, ὁ καὶ Ἰωβάβ· ἐκ δὲ τοῦ Ἰοθὸρ, Σεπφώρα, ἣν ἔγημε Μωσῆς, καθὼς ἱστορεῖ Δημήτριος, ὡς φάσκει Εὐσέβιος ἐν τῷ Χρονικῷ. Μωσῆς μὲν ἀπὸ Ἀβραὰμ ἕβδομος, ἡ δὲ Σεπφώρα ἕκτη. Μωϋσῆς ὢν ἐτῶν ὀγδοήκοντα, ἀφηγεῖται τῆς ἐξόδου τῆς ἐξ Αἰγύπτου τῶν τετρακοσίων τριάκοντα ἐτῶν τῆς παροικίας τῆς τε Χαναὰν καὶ τῆς Αἰγύπτου. σημειωτέον ὅτι δεῖ τὰ τετρακόσια τριάκοντα ἔτη τῆς τοῦ λαοῦ παροικίας ἀριθμεῖσθαι οὕτως.

Τριακοστὸν ἄγων ἔτος ὁ Ἰωσὴφ ἐγχειρίζεται τὴν τῶν Αἰγυπτίων ἀρχήν. ἑπτὰ τοίνυν ἐνιαυτῶν τῆς εὐθηνίας καὶ δύο τοῦ λιμοῦ

διελθόντων, κατῆλθεν Ἰακὼβ σὺν τοῖς τέκνοις εἰς Αἴγυπτον. τὸν Νεῖλον δέ φησι μὴ ἀνελθεῖν ἐν ὅλοις ἑπτὰ ἔτεσι τοῦ λιμοῦ τοῦ ἐν Αἰγύπτῳ. ἦν οὖν τότε Ἰωσὴφ ἐτῶν τριάκοντα ἐννέα, ἔζησε δὲ τὰ πάντα ἔτη ἑκατὸν δέκα. μετὰ γοῦν τὸν θάνατον Ἰωσὴφ δουλεύουσιν Ἑβραῖοι τοῖς Αἰγυπτίοις ἔτη ἑκατὸν τεσσαράκοντα τέσσαρα. τὰ δὲ πάντα ἔτη τῆς τῶν Ἑβραίων ἐν Αἰγύπτῳ διατριβῆς, διακόσια δεκαπέντε· ἐξ οὗ δῆλον ὅτι ἀπὸ Χαναὰμ εἰς τὴν Αἴγυπτον τὴν μετοίκησιν ἐποιήσαντο μέχρι τῆς ἐξόδου τοῦ λαοῦ, ἧς δείκνυται ἡγησάμενος κατὰ τὸ ὀγδοηκοστὸν ἔτος Μωϋσῆς. οὐ γὰρ ἐν Αἰγύπτῳ μόνῃ γίνεται ἡ παροίκησις τῶν τετρακοσίων τριάκοντα ἐτῶν, ἀλλὰ καὶ ἐν γῇ Χαναὰμ πρὸ τοῦ εἰς Αἴγυπτον κατελθεῖν τὸν Ἰακώβ· ὅπερ ἡμῖν καὶ αὐτὴ παρίστησιν ἡ γραφὴ λέγουσα· “ ἡ δὲ παροίκησις τῶν υἱῶν Ἰσραὴλ, ἣν παρῴκησαν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χαναὰμ ἔτη τετρακόσια τριάκοντα[8].”

Ἐν δὲ τοῖς χρόνοις Ἀβραὰμ, ἦν ὁ Μελχισεδὲκ ἀνὴρ θεοσεβὴς, υἱὸς Σίδου βασιλέως υἱοῦ Αἰγύπτου, ὃς κτίζει πόλιν Σιδόνα. καὶ ἔστι τοῦ μὲν Ἀβραὰμ ἀπὸ τῆς ἐκ Χαῤῥὰν εἰς Χαναὰν ἀναβάσεως μέχρι τῆς Ἰσαὰκ γενέσεως, ἔτη εἰκοσιπέντε· τοῦ δὲ Ἰσαὰκ τὰ μέχρις Ἰακὼβ ἔτη ἑξήκοντα, τοῦ δὲ Ἰακὼβ τὰ μέχρι Λευῒ, ἔτη ὀγδοήκοντα ἑπτά· ὄντος τοῦ Λευῒ ἐτῶν τεσσαράκοντα τριῶν, κατῆλθεν ὁ Ἰακὼβ σὺν τῇ πανοικεσίᾳ εἰς Αἴγυπτον, ὢν ἐτῶν ἑκατὸν τριάκοντα. τοῦ δὲ Λευῒ τὰ μέχρι Καὰθ, ἔτη τεσσαράκοντα πέντε. τοῦ δὲ Καὰθ τὰ μέχρις Ἀβραὰμ, ἔτη ἑξήκοντα τρία. τοῦ δὲ Ἀβραὰμ τὰ μέχρι Μωϋσέως, ἔτη ἑβδομήκοντα. τοῦ δὲ Μωσέως τὰ μέχρι τῆς ἐξόδου, ἔτη ὀγδοήκοντα. ὡς εἶναι ἀπὸ τῆς τοῦ Ἀβραὰμ ἐν γῇ Χαναὰν παροικίας μέχρι τῆς εἰς Αἴγυπτον καθόδου, ἔτη διακόσια δεκαπέντε, καὶ ἀπὸ τῆς εἰς Αἴγυπτον καθόδου μέχρι τῆς ἐκεῖθεν ἐξόδου τοῦ λαοῦ, ἕτερα διακόσια δεκαπέντε· ὁμοῦ τετρακόσια τριάκοντα.

Κατὰ τούτους τοὺς χρόνους Ἴναχος πρῶτος Ἄργους ἐβασίλευσε, καὶ ἐπὶ τούτοις ὁ λαὸς διατρίβει ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα. Φορωνεὺς Ἀργείων ἐβασίλευσε, καθ' ὃν ὁ ἐπὶ Ὠγύγου κατακλυσμὸς ὑπὸ Ἑλλήνων ἱστορεῖται. καὶ Ἀσσυρίων, μετὰ Πῖκον

8 In marg. ὥς φησιν Εὐσέβιος ὁ Παμφίλου.

τὸν βασιλέα τὸν πρῶτον, ὃς ἐν Κρήτῃ ἀπέθανεν, ὃς καὶ τοῖς τότε καιροῖς Ζεὺς μετωνομάσθη, Σεμίραμις δὲ Νίνου ἐβασίλευσεν.

Ἰησοῦς ὁ τοῦ Ναυῆ παραλαβὼν τὴν ἡγεμονίαν, καὶ διαπεράσας τὸν Ἰορδάνην, ἄρχει τοῦ λαοῦ ἔτη εἰκοσιπέντε. οὗτος ἐπόρθησεν ἐπαρχίας ἑπτὰ, καὶ καθεῖλε βασιλεῖς εἰκοσιεννέα. γίνονται τοίνυν ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτη δισχίλια διακόσια ἑξηκοντατρία. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τοῦ διαμερισμοῦ τῆς γῆς, ἔτη τῑθ, ἀπὸ δὲ τοῦ διαμερισμοῦ ἕως τῆς παροικίας Ἀβραὰμ ἔτη χιϛ. ἀπὸ δὲ τῆς παροικεσίας Ἀβραὰμ ἕως τῆς τελευτῆς Ἰησοῦ τοῦ Ναυῆ, ἔτη υῑε. ὁμοῦ γίνονται ἀπὸ Ἀδὰμ ἔτη ͵γψοδ.

Μετὰ Ἰησοῦν πρεσβύτεροι ἐκ τῆς Ἰούδα καὶ Συμεὼν φυλῆς, τοῖς ἀλλήλων σχοινίσμασιν ἀνὰ μέρος βοηθοῦντες, ἐπάρξαι τοῦ λαοῦ λέγονται ἔτη λ· μετὰ τοῦτο ὁ λαὸς εἰδώλοις λατρεύσας ἐκδίδοται τῷ Χασαρσαθὼν βασιλεῖ Μεσοποταμίας, ὃς ἐβασίλευσεν αὐτῶν ἔτη ὀκτώ. κατὰ τούτους τοὺς χρόνους Προμηθεὺς μυθεύεται σοφὸς ὢν ἐν παιδείᾳ, ἐν ᾗ τοὺς ἀνθρώπους ἀπὸ ἰδιωτείας μετέπλασεν.

Ἐπιστρέψαντος τοίνυν τοῦ λαοῦ πρὸς Θεὸν, ἀνίστησι τὸν Γοθονιὴλ, ὃς ἔκρινε τὸν λαὸν ἔτη ν̄. ἀδελφὸς δὲ ἦν ὁ Γοθονιὴλ τοῦ Χαλέβ. ἐν τούτοις τοῖς χρόνοις ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμὸς γεγονέναι λέγεται. τοῦτον τὸν κατακλυσμὸν δοκοῦσι καὶ Αἰγύπτιοι μεμνῆσθαι, φάσκοντες τὴν χώραν αὐτῶν μὴ κατακεκλῦσθαι, τοπικοῦ γενομένου. τὸν γὰρ πρότερον κατακλυσμὸν οὐδὲ γινώσκουσιν, οὔπω γὰρ ἦν αὐτοῖς ὁ Πατριάρχης γεννηθείς. Χὰμ γὰρ ὁ υἱὸς τοῦ Νῶε πατὴρ ἦν τοῦ Μεσραεὶμ, ἀφ᾽ οὗ οἱ Αἰγύπτιοι.

Αὖθις ἁμαρτήσαντες οἱ υἱοὶ παραδίδονται τῷ Αἰγλὼμ, βασιλεῖ Μωαβιτῶν, καὶ δουλεύουσιν αὐτῷ ἔτη ιη̄. πάλιν δὲ αὐτοὺς ἐπιστρέψαντας ἐξαιρεῖται διὰ τοῦ ἀμφοτεροδεξίου Ἀώδ. ἔσχε δὲ τοῦ ἀμφοτεροδεξίου τὸ ἐπώνυμον, διὰ τὸ ὁμοίως ἐν παντὶ πράγματι τῇ εὐωνύμῳ χρῆσθαι χειρὶ, καθάπερ καὶ τῇ δεξίᾳ. ὃς ἡγήσατο τοῦ λαοῦ ἔτη π̄. τούτου ἐν ἔτει εἰκοστῷ ἑβδόμῳ ἐβασίλευσε τῆς Ἀττικῆς Κέκροψ ὁ διφυὴς, διὰ τὸ δύο γλώσσαις λαλεῖν. ἐν δὲ τῷ οζ̄ ὁ κατακλυσμὸς ἐν Θεσσαλίᾳ καὶ Αἰθιοπίᾳ ὑπ᾽ αὐτῶν μνημονεύεται.

Προσπταίσας πάλιν ὁ λαὸς κυριεύεται ὑπὸ Ἰαβῆς βασιλέως

Χαναναίων ἔτη εἴκοσιν. ἐπὶ τούτου προφητεύει Δεβώρρα γυνὴ Λαφιδὼθ, ἐκ φυλῆς Νεφθαλεὶμ, ἔτη μ̄. κατὰ τούτοις τοὺς χρόνους Κάδμος ὁ ἐν Θήβαις ἐβασίλευσεν, ὃς Τειρεσίαν φιλόσοφον καὶ μάντιν ἐν Θήβαις ἤγαγε, περὶ οὗ φησι Σοφοκλῆς, ὅτι τὴν Παλλάδα ἰδὼν λουομένην ὁ Τειρεσίας, μετεβλήθη[9] ἐξ ἀνδρὸς εἰς γυναικείαν φύσιν.

Μετὰ δὲ τὴν Δεβώρρας τελευτὴν ἐξήμαρτε πάλιν ὁ λαὸς, καὶ κατεδουλοῦντο τοῖς Μαδιηναίοις ἑπτὰ ἔτη. Γεδεὼν δὲ αὐτοῖς, ἐκ φυλῆς Μανασσῆ, θείοις σημείοις τῆς νίκης κομισάμενος τὴν πίστιν, ἐπανίσταται, καὶ ἐν τριακοσίοις ἀνδράσι δώδεκα διαχειρισάμενος μυριάδας, ἦρξε τοῦ λαοῦ ἔτη μ. Ἀβιμέλεχ ὁ τούτου υἱὸς ἔτη τρία. Θώλα υἱὸς Φούα ἐκ φυλῆς Ἐφραὶμ ἔτη κ̄γ̄. Ἰαεὶρ ὁ Γαλααδίτης ἐκ φυλῆς Ἐφραὶμ Μανασσῆ ἔτη κβ. μετὰ τοῦτον ἐξήμαρτεν ὁ λαὸς, καὶ παρεδόθη τοῖς Ἀμανίταις ἔτη ιη. ἔπειτα τὴν πρὸς Θεὸν ποιησάμενος ἐπάνοδον, σώζει διὰ τοῦ Ἰεφθάε τοῦ Γαλααδίτου, μητρὸς μὲν ὄντος ἑταίρας, φυλῆς δὲ Μανασσῆ. οὗτος ἄρχει τοῦ λαοῦ ἔτη ἕξ. μετὰ δὲ τοῦτον ἦρξεν Εὐσεβὼν ἐκ τῆς Ἰούδα φυλῆς ὁ Βηθλεεμίτης, ἔτη ζ. κατὰ τούτους τοὺς χρόνους τὸ Ἴλιον ἐκτίσθη, καὶ Ἀσκληπιὸς τὴν ἰατρικὴν ἐπιστήμην μετῄει. Αἰγλὼμ ὁ Ζαβυλωνίτης ἔκρινε τὸν Ἰσραὴλ ἔτη δέκα. Ἀδὼμ υἱὸς Ἐλεὶμ ὁ Μαραθωνίτης, ἔτη ὀκτώ. κατὰ τούτους τοὺς χρόνους Ὀρφεὺς ὁ ποιητὴς ἐγνωρίζετο.

Προσπταίσας πάλιν ὁ λαὸς ἐκδίδοται ἀλλοφύλοις ἔτη μ̄. ἐπιστρέψαντας δὲ αὐτοὺς πρὸς Θεὸν ἀνίστησι τὸν Σαμψὼν, Μανωὲ μὲν υἱὸν, φυλῆς δὲ Δᾶν. ὅστις καταπολεμήσας τοὺς ἀλλοφύλους ἄρχει ἔτη κ̄. κατὰ τούτους τοὺς χρόνους Ἡρακλῆς ἐγνωρίζετο, ὁ τοὺς δώδεκα ἄθλους διανύσας. Σαμανὲς ἡγήσατο τοῦ λαοῦ ἔτος ἕν· ἀναρχίας γεγονυίας κατὰ τὰς Ἑβραϊκὰς παραδόσεις, ὅτε καὶ ἔπραττεν ἕκαστος ὅπερ ἐβούλετο, οἷα εἰκὸς ἐν ἀναρχίᾳ γίνεσθαι. ἔτη μ̄ εἰρήνην ἔσχε πρὸς τοὺς ἀλλοφύλους ὁ λαὸς, ἔτη λ̄ Σαμανεὶ αὐτοῦ ἡγουμένου. Ἡλεὶ ὁ ἱερεὺς, ἦρξε τοῦ λαοῦ ἔτη κ̄. κατὰ τούτους τοὺς χρόνους ὁ Ἰλιακὸς πόλεμος ἐγένετο ἔτεσι δέκα, καὶ τὸ Ἴλιον ἥλω. Σαμουὴλ διαδεξάμενος τοῦ Ἡλεὶ τὴν ἱερατείαν καὶ τὴν ἡγεμονίαν, κρατεῖ τοῦ λαοῦ. φασὶ δὲ αὐτὸν δώδεκα ἐτῶν εἶναι, ὅτε πρῶτον ἐφάνη αὐτῷ λαλήσας ὁ Θεὸς, σὺν οἷς ἡ κιβωτὸς ἐν τῷ

9 Cod. μετεκλήθη.

Ἀμιναδὰμ οἴκῳ διέτριψε, καὶ βασιλέων χρισθέντων ἦν ἀντιλαμβανόμενος ὁ Ἠλεὶ ἔτη ο̄.

Γίνεται τοίνυν ἀπὸ τῆς τελευτῆς Ἰησοῦ ἐπὶ τὴν τελευτὴν Σαμουὴλ ἔτη χ̄ι. ἀπὸ δὲ Νῶε καὶ τοῦ κατακλυσμοῦ ἔτη ͵βρκ. ἀπὸ δὲ Ἀδὰμ ἔτη ͵δτπβ. ὁ μὲν οὖν Σαμουὴλ αὐτός τε ἤδη γεγηρακὼς, καὶ τοῦ λαοῦ ὀκνηρότερον ποιούμενος τὴν ἐποψίαν, τῶν τε παίδων αὐτοῦ δώροις ἀεὶ τοῦ δικαίου προϊεμένων τὴν κρίσιν, χρίει βασιλέα, τοῦ λαοῦ μὲν καταναγκάζοντος, τοῦ Θεοῦ δὲ συγχωρήσαντος, τὸν Σαοὺλ υἱὸν Κὶς, ἐκ φυλῆς Βενιαμίν. Σαοὺλ γὰρ καὶ ὁ παῖς αὐτοῦ τὰς ὄνους ζητοῦντες, εἰσῆλθε πρὸς Σαμουήλ· εἶπε δὲ τῷ Σαοὺλ περὶ τῆς βασιλείας ὁ Σαμουὴλ καὶ περὶ ὧν ἐζήτει. Σαοὺλ ἐξελθὼν τῷ συγγενείᾳ αὐτοῦ καὶ προσφιλεῖ τὰ μὲν ἄλλα ἐξεῖπε, περὶ δὲ τῆς βασιλείας οὐκ ἀνήγγειλε· δηλῶν ὡς οὐ φίλοις οὐδὲ συγγένεσιν ἐπὶ τῶν μεγάλων πραγμάτων δεῖ θαρρεῖν, διὰ τὸ ἐπὶ βασκανίᾳ τῶν ἀνθρώπων εὐχερές. οὗτος ὁ Σαοὺλ, συνεπισχύοντος τοῦ Σαμουὴλ, βασιλεύει ἔτη εἴκοσιν· ἐπροεφήτευε καὶ ἐπ᾽ αὐτοῦ ἅμα καὶ ἱεράτευεν ὁ Σαμουήλ. Ἀβενὴρ δὲ αὐτῷ ὁ τοῦ Νὴρ[10] υἱὸς, τῆς στρατηγίας ἀφηγεῖτο· τοῦ δὲ Σαοὺλ προσπταίσαντος τῷ Θεῷ ἐπιχρίει πάλιν ὁ Σαμουὴλ[11] εἰς βασιλέα τὸν Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἐκ τῆς Ἰοῦδα φυλῆς· καὶ ὁ μὲν Σαμουὴλ τελευτᾷ, δύο φθάσας ἔτη τὸν Σαούλ.

Βασιλεύει δὲ ὁ Δαβὶδ ἑπτὰ μὲν ἔτη περιόντος Σαούλ· μετὰ δὲ τὴν τούτου τελευτὴν, λ̄γ. ἐπὶ τούτου μὲν Ἀβίαθα ἐτύγχανεν ἀρχιερεὺς, ὁ τοῦ Ἀβιμέλεχ, ἐκ τῆς συγγενείας Ἠλεί· ἐξ ἑτέρας δὲ πατριᾶς Σαδώκ· προεφήτευον δὲ αὐτός τε Δαβὶδ καὶ Γάδ, καὶ Νάθαν καὶ Ἀσὰφ καὶ Ἰδιθούμ· ἐστρατηλάτει δὲ αὐτῷ, Ἰωάβ. χρὴ τοίνυν ἐντετάχθαι τῷ παντὶ ἀριθμῷ, μ̄ μὲν τοῦ Σαοὺλ ἔτη, μ̄ δὲ καὶ τοῦ Δαβὶδ, διὰ τὸ ὡς εἴρηται τὰ ἑπτὰ ἔτη, ἔτι περϊόντος τοῦ Σαοὺλ, βεβασιλευκέναι αὐτόν. διὰ τὸν γάμον τῆς Μελχῶ, οὐχὶ ἑκατὸν ἀκροβυστίας, ἀλλὰ ἑξακοσίας κεφαλὰς τῶν ἀλλοφύλων τὸν Σαοὺλ φασὶν ἐζητηκέναι καὶ εἰληφέναι ὑπὸ τοῦ Δαβίδ. ἐπὶ τούτου Ἰωὰβ ὁ ἄρχων τῆς στρατείας ἠρίθμησε τὰς φυλὰς Ἰσραήλ, καὶ ἦν ὁ ἀριθμὸς, ὃν κατηρίθμησε, χιλιάδες ἑκατὸν καὶ ἑξακοσίαι δύο· οἱ δὲ υἱοὶ Ἰοῦδα τετρακοσίαι ἑβδομήκοντα· τὸν δὲ Λευὶ, καὶ τὸν

10 Cod. ἐτανὴρ.

11 Cod. Σαοὺλ.

Βενιαμὶν οὐ κατηρίθμησε. πεπτώκασι δὲ ἐκ τοῦ λαοῦ διὰ τοῦτο χιλιάδες ἑβδομήκοντα. ᾠδὰς φασὶ καὶ ὕμνους τὸν Δαβὶδ συντάξαι εἰς Θεὸν ἀμέτρους μετ' ὀργάνων πολλῶν μουσικῶν. ἀλλὰ καὶ πόλυν χρυσὸν συνταφῆναι τῷ Δαβὶδ ὑπὸ Σολομῶντος· ὃν ταῖς πολιορκίαις οἱ κατὰ καιροὺς βασιλεῖς τῶν Ἑβραίων ἀνοίγοντες, ἐλάμβανον ταλάντων χρήματα πολλά· ταῖς δὲ θήκαις τῶν βασιλέων οὐδεὶς ἐνεχείρισεν. ἦσαν γὰρ μεμηχανευμέναι ὑπὸ Σολομῶντος, ὡς μὴ ταύτας εὑρίσκεσθαι.

Σολομῶν ὁ τοῦ Δαβὶδ τὸν πατέρα διαδεξάμενος, βασιλεύει ἔτη μ̄. οὗτος τὸν ναὸν τοῦ Θεοῦ τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ θεμελίωσας, καὶ ἐν ἑπτὰ ἔτεσιν αὐτὸν κατασκευάσας, τῷ ἐνδεκάτῳ ἔτει τῆς ἀρχῆς αὐτοῦ ἀφιεροῖ. ἱεράτευε δὲ ἐπὶ τούτου Σαδὼκ, καὶ προσφήτευον Νάθαν, ὁ τὴν οἰκοδομὴν αὐτὸν τοῦ ἱεροῦ ποιήσασθαι παραθαρσύνας, καὶ Ἀχιὰμ ὁ Σιλωνίτης, καὶ Σαμέας υἱὸς Σαλαμῆ καὶ Ἀδδώ· τήν τε στρατιωτικὴν δύναμιν ἐγχειρίζεται Βανέας υἱὸς Ἰωδαέ. τούτῳ γίνεται μόνος ἐκ τοσούτου γυναικῶν πλήθους υἱὸς Ῥοβοάμ. πολλὰ πονήματα ἐγγράφως τέθεικεν, ἀλλὰ καὶ ἐπῳδὰς, καὶ ἐξορκισμοὺς κατὰ δαιμόνων ἐπενόησε· αἷς χρώμενοι τινὲς Ἰουδαῖοι, δακτύλιόν τινα ἔχοντα σφραγῖδα καὶ ῥίζαν ἐξ ὧν ὑπέδειξε Σολομῶν, ἐν τῇ ῥινὶ τιθέντες τοῦ πάσχοντος, ὀσφραινόμενον τὸ δαιμόνιον ἐξέλκεσθαι, σημείου τιθεμένου, ἢ ποτηρίου μεστοῦ ὕδατος, ἢ ἑτέρου τινὸς ἀγγείου· ὃ πάντως συνέτριβε φεῦγον τὸ δαιμόνιον. κατὰ [τού]τους τοὺς χρόνους, Ὅμηρος καὶ Ἡσίοδος ἐγνωρίζετο.

Ῥοβοὰμ υἱὸς Σολομῶντος βασιλεύει ἔτη ιη̄. ἐπὶ τούτου τὸ πᾶν τοῦ λαοῦ πλῆθος διαιρεῖται· καὶ αὐτῷ μὲν ἡ ἐξ Ἰοῦδα παραμένει φυλὴ, καὶ ἡ τοῦ Βενιαμίν. αἱ δὲ λοιπαὶ πᾶσαι αἱ δέκα φυλαὶ Ἱεροβοὰμ τὸν τοῦ Ναβὰτ ἐκ φυλῆς Ἐφραὶμ, ἕνα τῶν Σολομῶνος οἰκείων, ἑαυτῶν βασίλεα προεστήσαντο. ἦν μὲν οὖν τῷ Ῥοβοὰμ ὁ τῆς βασιλείας οἶκος ἐν Ἱερουσαλήμ· ἐκαλεῖτο δὲ ὑπ' αὐτοῦ ταττόμενον πλῆθος Ἰοῦδας καὶ ὁ οἶκος Δαβὶδ, ἐκ τῆς ἐπικρατεστέρας φυλῆς εἰληφὼς τὴν προσηγορίαν. τοῦ δὲ Ἱεροβοὰμ, Σαμάρεια μὲν ἡ μητρόπολις· ὁ δὲ τῆς βασιλείας οἶκος ἐν Θερσᾶ· θυσιαστήριά τε δύο· ἓν μὲν ἐν Βαιθὴλ, τὴν γὰρ μίαν τῶν δαμαλέων ἐνταῦθα καθιδρύει· θάτερον δὲ ἐν Σαμαρείᾳ, ἐν τῇ τοῦ Δᾶν φυλῇ· καὶ ἐνταῦθα γὰρ ἑτέραν ἀνιέρωσε δάμαλιν. ὄνομα δὲ τῷ

ὑπ' αὐτὸν λαῷ, Ἰσραὴλ, διὰ τὸ πλῆθος· καὶ Ἐφραὶμ διὰ τὴν τοῦ βασιλέως φύλην. ἐπροεφήτευον δὲ ἔτι καὶ τότε, Σαμέας ὁ τοῦ Σαλαμῆ, καὶ ὁ ἐξ Ἰοῦδα εἰς Σαμάρειαν ἀφικόμενος, καὶ προφητεύσας τῷ Ἱεροβοὰμ πρὸς τὸ θυσιαστήριον· ὃς καὶ ἀναιρεῖται τῷ τοῦ Θεοῦ παραβῆναι τὴν ἐντολὴν, ἀπαντηθεὶς ὑπὸ λέοντος καθ' ὁδὸν αὐτῷ ἐπανιόντι συγκυρήσαντος.

Ἀβιᾶ διαδεξάμενος τὴν τοῦ πατρὸς ἀρχὴν βασιλεύει ἔτη τρία. Ἀσᾶ μετὰ τοῦτον βασιλεύει ὁ υἱὸς, ἔτη μα· οὗτος ἤδη γηραιὸς ὢν, ἀρθριτικῷ τοὺς πόδας ἤλγησε πάθει· προφητεύει δὲ ἐπὶ τούτου Ἀνανίας. Ἰωσαφὰτ μετὰ τοῦτον ὁ υἱὸς βασιλεύει ἔτη κε· ἐπροεφήτευον δὲ ἐπ' αὐτοῦ Μιχαίας ὁ υἱὸς Ἐμβλᾶ· καὶ Ἀβδιοῦ υἱὸς Ἀνανίου, καὶ Ἐλέαζαρ καὶ Ἀνανίας· ἦν δὲ καὶ ψευδοπροφήτης Σεδεκίου υἱὸς Χαναάμ. κατὰ τούτους τοὺς χρόνους καὶ Ἠλίας ἐν τῷ Ἰσραὴλ προεφήτευσε, καὶ μετ' αὐτὸν Ἐλισσαῖος. Ἰωρὰμ τὸν πατέρα Ἰωσαφὰτ διαδεξάμενος βασιλεύει ἔτη ὀκτὼ, ἀνὴρ ἐπ' ἀσεβείᾳ, τοὺς πολλοὺς ὑπερβαλόμενος· γαμβρὸς δὲ ἦν Ἀχαὰβ τοῦ Ἰσραηλιτῶν βασιλέως, οὗ καὶ ζηλωτὴς ἐγένετο τοῦ βίου, καὶ ἐπὶ τούτου προφητεύουσι οἱ αὐτοί· ἱεράτευε δὲ Ἰωδαέ. Ὀχοζίας δὲ τοῦτον διαδεξάμενος βασιλεύει ἔτος ἕν· ἀνεῖλε αὐτὸν Ἰηοῦ βασιλεὺς Ἰσραήλ· ὅτε ἐξωλόθρευε τὸ γένος Ἀχαάβ.

Γοθολία μετὰ τοῦτον ἡ Ζαμβρῆ τοῦ Ἰσραηλιτῶν βασιλέως θυγάτηρ, γυνὴ δὲ τοῦ Ἰωρὰμ, μήτηρ δὲ τοῦ Ὀχοζίου, βασιλεύει ἐπὶ Ἰσραὴλ ἔτη ὀκτώ. αὐτὴ πασῶν ἀσεβεστάτη γενομένη γυναικῶν, πάντας ἀναιρεῖ τοὺς Ὀχοζίου παῖδας, Ἀχαὰβ τὸν Ἰσραηλιτῶν βασιλέα τιμωρουμένη· ἐδόκει γὰρ ἐκ τοῦ γένους εἶναι τούτου. Ἰωσαβὲδ ἡ τοῦ Ὀζίου ἀδελφὴ, γυνὴ τοῦ ἀρχιερέως Ἰωδαὲ, κλέψας Ἰωὰς τὸν Ὀχοζίου υἱὸν ἔτι βρέφος ὄντα, ἀνατρέφει· ἱεράτευε δὲ ἐπ' αὐτῆς Ἰωδαὲ, καὶ προεφήτευε Ζαχαρίας ὁ υἱὸς αὐτοῦ. Ἰωὰς τὸν Ὀχοζίου υἱὸν ὀκταέτη τυγχάνοντα, Ἰωδαὲ χρίσας ὁ ἀρχιερεὺς, ἀνέδειξε βασιλέα, Γοθολίαν ἀνελών. εὐσεβὴς δὲ κατ' ἀρχὰς γενόμενος πάντα καθαιρεῖ τὰ εἴδωλα, πλὴν τῶν εἰδώλων τῶν μετεώρων. ἐπὶ τούτου ὁ ἀρχιερεὺς ἐτελεύτησε Ἰωδαὲ, βιώσας ἔτη ρλ. σημειωτέον, ὅτι τοῦτον οὗτος φαίνεται μόνος βιώσας τὸν χρόνον μετὰ Μωυσῆν. εἰδωλατρεῖ δὲ ἐπὶ τέλει ὁ Ἰωὰς, καὶ Ζαχαρίαν τὸν τοῦ Ἰωδαὲ υἱὸν τὸν προφήτην αἰτιώμενον τὴν ἐκτροπὴν, καταλεύσας ἀναιρεῖ· βασιλεύει δὲ ἔτη μ. Ἀμεσίας

δὲ τοῦτον διαδέχεται ὁ υἱὸς, καὶ βασιλεύει ἔτη κθ· ἐπὶ τούτου Σιβύλλα ἡ Κυμαία ἐγνωρίζετο.

Ὀζίας καὶ Ζαχαρίας υἱὸς Ἀμεσίου ἐβασίλευσεν ἔτη νβ, ἀνὴρ εὐσεβής. ὕστερον δὲ τῶν ἁγίων ἐπιβῆναι πειραθεὶς, λεπροῦται, καὶ ἐδίκαζεν ἀντ' αὐτοῦ ὁ υἱὸς αὐτοῦ· ἦν δὲ ἀρχιερεὺς ἐπὶ αὐτοῦ Ἀζαρίας· ἐπροεφήτευον δὲ Ἀμὼς καὶ Ἡσαίας ὁ υἱὸς αὐτοῦ, καὶ Ὠσηὲ ὁ τοῦ Βεκρεὶ, καὶ Ἰωνᾶς ὁ τοῦ Ἀμαθὶ, ὁ ἐκ Γοφέρ. κατὰ τούτους τοὺς χρόνους Λυκοῦργος Λακεδαιμόνιος ἐνομοθέτει. Ἰωαθὰμ ὁ υἱὸς Ὀζίου ἐβασίλευσε μετὰ τὴν τελευτὴν τοῦ πατρὸς ἔτη ις. καὶ ἐπὶ τούτου προφητεύει Ἡσαίας καὶ Μιχαίας· ἀρχιερατεύει δὲ Οὐρίας. ἐν τῷ πρώτῳ ἔτει τῆς τούτου βασιλείας, Ἴφιτος[11] τὰς Ὀλυμπιάδας συνέστησεν. ἐν δὲ τῇ αὐτῇ πρώτῃ Ὀλυμπιάδι Ῥῶμος καὶ Ῥωμύλος ἐγεννήθησαν· οἵτινες ἐν τῇ ἑβδόμῃ Ὀλυμπιάδι τὴν Ῥώμην ἤρξαντο κτίζειν· ἡ δὲ ἀριστοκρατία ἀπὸ Ῥωμύλου καὶ τῶν ὑπάτων ἀρξαμένη κατέπαυσε μεχρὶ τῆς Ἰουλίου Καίσαρος τῆς μοναρχίας, διαρκέσασα ἐπὶ ἔτη σμε.

Τοῦ Ἰοῦδα δωδέκατος ἐβασίλευσε Ἄχαζ, ἔτη ις· τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψη. Ἄχαζ συντυχὼν τῷ Θετλαβαλασὰρ ἐν Δαμασκῷ θυσιαστήριόν τι εἰδωλικὸν εἶδε· τούτου λαβὼν τὰ μέτρα ἀπέστειλεν εἰς Ἰσραὴλ πρὸς Οὐρίαν τὸν ἀρχιέρεα, κελεύσας ὅμοια αὐτοῦ ποιῆσαι· ἐν ᾧ τοῖς θεοῖς Σύρων ἔθυεν ὑποστρέψας, τὸν δὲ ναὸν τοῦ Θεοῦ ἔκλεισεν. Ἐζεκίας τὸν Ἄχαζ διαδεξάμενος ὁ υἱὸς, βασιλεύει ἔτη κθ', ἀνὴρ εὐσεβέστατος. ἔτι καὶ ἐπὶ τούτου Ἡσαίας καὶ Ὠσηὲ καὶ Μιχαίας ἐπροεφήτευον. ἐπὶ τούτου Σαλμανασὰρ βασιλεὺς Ἀσυρίων μετῴκησε τοὺς ἐν Σαμαρείᾳ εἰς τὴν Μηδίαν καὶ Βαβυλωνίαν φυλάσσειν. βασιλεύοντος αὐτῶν κατ' ἐκεῖνο καιροῦ Ὠσηὲ προφήτου· ἔτος δὲ ἦν τῆς βασιλείας Ἐζεκίου ἕκτον. οὗτος ὁ Ἐζεκίας τὸν ὄφιν, ὃν ἐκρέμασε Μωυσῆς, καθεῖλεν, ὅτι αὐτῷ ἐθυμίαζεν ὁ λαὸς, ἀλλὰ καὶ βίβλον Σολομῶνος ἰάματα παντὸς πάθους ἐγκεκολαμμένην ἐξέκοψε. κατὰ τούτους τοὺς χρόνους Θαλῆς Μιλήσιος ἐν Τενέδῳ ἀπέθανε, καὶ Σίβυλλα Ἐρυθραία ἐγνωρίζετο.

Μανασσῆς υἱὸς Ἐζεκίου ἐβασίλευσιν ἔτη νε, ἀνὴρ μιαρώτατος, καὶ μηδὲν ἔλαττον Χαναναίων εἰδωλολατρήσας· λέγεται δὲ τὸν

[11] ἴφιστος Cod.

ἐπὶ τέλει χρόνον εὐσεβῶς βεβιωκέναι· ἐπὶ τούτου Ἡσαίας ὁ προφήτης μετήλλαξε τὸν βίον. κατὰ τούτους τοὺς χρόνους, Ῥωμύλος ἐν τῷ βουλευτηρίῳ μελιστὶ διαιρεθεὶς, ἐξεφορήθη· βασιλεύσας ἔτη λη̅, οὔσης Ὀλυμπιάδος ις̅. Αμὼς υἱὸς Μανασσῆ τὸν πατέρα διαδεξάμενος, βασιλεύει ἔτη β̅. κατὰ τούτους τοὺς χρόνους Μίδας τῆς Φρυγίας βασιλεὺς ἀπέθανεν· ὅντινα τοῖς τότε καιροῖς ὄνου ὦτα ἔχειν ἔλεγον. Ἰωσίαν τὸν πατέρα Ἀμὼς διαδεξάμενος, ὀκταετὴς ἀντιλαμβάνεται τῆς ἀρχῆς, καὶ βασιλεύει ἔτη λα̅. ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς τούτου βασιλείας εὑρὼν ὁ ἱερεὺς Χελκίας βιβλίον ἐν τῷ ἱερῷ, πατὴρ δὲ ἦν ὁ Χελκίας Ἱερεμίου τοῦ προφήτου, προσκομίζει τῷ βασιλεῖ· ὁ δὲ, εὐλαβὴς γὰρ ἦν, τότε Πάσχα Κυρίῳ ἐπετέλει· ἀπὸ τῶν χρόνων Ἰησοῦ υἱὸν τοῦ Ναυῆ τοιοῦτον μὴ γενόμενον· καὶ τῶν ἐν ἀσεβείᾳ τὸν βίον ἐξεληλυθότων τὰ ὀστὰ συναγαγὼν, ἐπὶ τῷ θυσιαστηρίῳ κατέκαυσε τῶν εἰδώλων, καὶ πάντα καταστρεψάμενος, εὐσεβείας τῷ λαῷ παρεῖχεν ὑποδείγματα. φασὶ δὲ τὸν Χελκίαν ἀναγνόντα τὸ βιβλίον παραυτίκα διαπεφωνηκέναι. προεφήτευον δὲ ἐπὶ τούτου Ἱερεμίας ὁ τοῦ Χελκίου, καὶ Σοφονίας, καὶ Ἡλιβὰ γυνὴ Σελεὶμ τοῦ ἱματιοφύλακος τοῦ ἱερέως· ἦν δὲ καὶ ψευδοπροφήτης Ἀνανίας. κατὰ τούτους τοὺς χρόνους Σίβυλλα ἐν Σάμῳ ἐγνωρίζετο, καὶ τὸ Βυζάντιον ἐκτίσθη ὑπὸ Μεγαρέων.

Ἰωάχαζ υἱὸς Ἰωσίου, τὸν πατέρα διαδεξάμενος, βασιλεύει μῆνας τρεῖς. Νεβὰδ δὲ βασιλεὺς Αἰγύπτου ἐπιστρατεύσας τῇ Ἱερουσαλὴμ, καὶ χειρωσάμενος τὸν Ἰωάχαζ, εἰς Αἴγυπτον αἰχμάλωτον ἀπάγει, καὶ καθίστησιν ἀντ' αὐτοῦ βασιλέα ἐπὶ Ἱερουσαλὴμ τὸν Ἰωαχεὶμ καὶ τὸν Ἐλιακείμ· ὁ ἀδελφὸς Ἰωάχαζ οὗτος, τὴν βασιλείαν διαδεξάμενος, βασιλεύει ἔτη ια̅. ἐπὶ τούτου Ναβουχοδονόσορ ἐξάρας ἀπὸ Βαβυλῶνος, πάσης Αἰγυπτίας ἐπικράτησε γῆς, καὶ τῶν Αἰγυπτίοις πλησιοχώρων οὐκ ὀλίγην ἀποσπάσας ἐκέκτητο· τουτέστιν ἀπὸ τοῦ χειμάρρου Αἰγυπτίου, ἕως τοῦ ποταμοῦ Εὐφράτου· καὶ τὴν Ἰουδαίαν ὑπόφορον ἅπασαν κατέστησε· καὶ ἐδούλευσεν Ἰωακεὶμ τῷ Ναβουχοδονόσορ ἔτη γ̅. ἐπὶ τούτου προφητεύουσιν Ἱερεμίας καὶ Βουζὶ, καὶ Οὐρίας ὁ τοῦ Σαμέου, ὃν καὶ φυγόντα εἰς Αἴγυπτον, Ἰωακεὶμ συλλαβόμενος ἀναιρεῖ. τοῦτον τὸν Ἰωακεὶμ δήσας χαλκείοις δεσμοῖς ὁ Ναβουχοδονόσορ εἰς

Βαβυλῶνα ἀπήγαγε· μεθ' οὗ ἀπῆλθον αἰχμάλωτοι Δανιὴλ καὶ Ἀνανίας, Μισαὴλ τε καὶ Ἀζαρίας. κατὰ τούτους τοὺς χρόνους Ἐπίδαμνος ἐκτίσθη, καὶ μετωνομάσθη Δυρράχιον. Ἰωακεὶμ ὁ καὶ Ἰεχονίας τὸν πατέρα Ἐλιακεὶμ διαδεξάμενος, βασιλεύει μῆνας τρεῖς. πολιορκοῦντος τὴν Ἱερουσαλὴμ τοῦ Ναβουχοδονόσορ ἐν ἔτει ὀγδόῳ τῆς αὐτοῦ βασιλείας, ὑπεξελθὼν Ἰωακεὶμ τῆς πόλεως σὺν Ἐσθᾷ τῇ μητρὶ καὶ πᾶσι τοῖς ἑαυτοῦ, προσπίπτει τῷ Ναβουχοδονόσορ· ὁ δὲ καὶ τὴν πόλιν ἐδαφίζει, καὶ τούτους αἰχμαλώτους ἀπάγει σὺν ἄλλοις πολλοῖς, μεθ' ὧν ἀπήχθη καὶ ὁ προφήτης Ἰεζεκιήλ. καθίστησι δὲ ἀντ' αὐτοῦ τῶν ὑπολοίπων ἡγεμόνα τὸν Μανθανίαν, πατράδελφον αὐτοῦ, Σεδεκίαν αὐτὸν μετονομάσας· ὅρκους παρ' αὐτοῦ κατὰ τοῦ Θεοῦ περὶ τοῦ μὴ ἀποστῆναι κομισάμενος.

Συνάγεται τοίνυν ἀπὸ πρώτου ἔτους Ἄχαζ καὶ πρώτης Ὀλυμπιάδος μέχρι τῆσδε τῆς μετοικεσίας ἔτη ρμα. ἀπὸ δὲ Σαοὺλ τοῦ πρώτου βασιλεύσαντος Ἑβραίων, ἔτη υς. ἀπὸ δὲ τῆς τελευτῆς Ἰησοῦ τοῦ Ναυῆ ἔτη ͵αρ. ἀπὸ δὲ Νῶε καὶ τοῦ κατακλυσμοῦ ἔτη ͵βχ. ἀπὸ δὲ Ἀδὰμ ἔτη ͵δωοβ.

Φυλαττομένης δὲ ἡμῖν τῆς τῶν χρόνων ἀκολουθίας διὰ τῆς τῶν ἐκ Δαυὶδ ἡγεμονίας, οὐκ ἄτοπον οἶμαι τῶν ἐπὶ Σαμάρειαν ἡγησαμένων ἐν παρεξόδῳ τοὺς χρόνους ἐπιδραμεῖν. τελευτήσαντος τοῦ βασιλέως Σολομῶντος, Ῥοβοὰμ, ὁ τούτου παῖς, ἀνέρχεται εἰς Σίκιμα, ἐκεῖ γὰρ ὁ λαὸς συνήθροιστο, ὥστε καταστῆναι ὑπ' αὐτῶν βασιλέα. μέλλοντι δὲ αὐτῷ χρίεσθαι, προσῆλθεν ὁ λαὸς παρακαλῶν ἀπὸ τοῦ πλήθους κουφισθῆναι τῶν τελεσμάτων, ὧν ὁ πατὴρ αὐτοῦ Σολομῶν ἐφορολόγει τὸν λαόν. ὁ δὲ τρεῖς ἡμέρας πρὸς διάσκεψιν καὶ τὴν τοῦ δέοντος ἀπόκρισιν λαβὼν, καὶ παρὰ μὲν τῶν πρεσβυτέρων ἀκούσας κουφισθῆναι τὸν λαὸν, παρὰ δὲ τῶν ὁμηλίκων ἐπιφορτίσαι μᾶλλον, τούτοις πεισθεὶς, κατὰ τὴν τρίτην ἡμέραν τὴν τῶν νεωλαίων συμβουλίαν πρὸς τὸν λαὸν ἀποκρίνεται. οἱ δὲ ἀναχωροῦσιν ἀποταξάμενοι τῇ ὑπ' αὐτῷ ἀρχῇ, καὶ αἱ μὲν δέκα φυλαὶ καθιστῶσιν ἐφ' ἑαυτῶν τὸν Ἱεροβοὰμ τὸν τοῦ Ναβὰτ καὶ Σαρίρας γυναικὸς ἑταίρας υἱὸν, ἐκ φυλῆς ὁρμώμενον τῆς Ἐφραὶμ βασιλέως[11]. παραμένουσι δὲ τῷ Ῥοβοὰμ ἡ τοῦ Ἰούδα

11 Leg. βασιλέα.

καὶ τοῦ Βενιαμὶν φυλή. ἐξ ἐκείνου διαγρευθεὶς ὁ λαὸς ἰδίᾳ ἕκαστον μέρος, καὶ τὸ ὄνομα καὶ τὸν τῆς βασιλείας οἶκον ἐκέκτητο, καθάπερ ἐν τοῖς ἀνωτέρω εἴρηται.

## Περὶ τῶν ἐν Σαμαρείαι βασιλευσάντων.

Ἱεροβοὰμ τοίνυν ὁ τοῦ Ναβὰτ βασιλεύει ἐν τῇ Σαμαρείᾳ ἔτη κβ· ἐπὶ τούτου προφητεύει ὁ Σιλωνίτης. ἐπὶ αὐτοῦ Σουλακεὶμ ὁ Αἰγύπτιος στρατεύσας ἐπὶ Ἱερουσαλὴμ, πάντας ἀφαιρεῖται τοῦ ναοῦ τοὺς θησαυροὺς, καὶ τοὺς τοῦ βασιλέως αὐτῶν Ἱεροβοάμ. Ναβὰτ τὸν Ἱεροβοὰν διαδεξάμενος ὁ υἱὸς βασιλεύει ἔτη β̄. Βαασὰ ὁ υἱὸς Ἐχεὶμ τὸν Ναβὰτ ἀποκτείνας, βασιλεύει ἐν Σαμαρείᾳ ἔτη κδ̄. προφητεύει ἐπὶ τούτοις Ἰοῦ υἱὸς Ἀνανίου. Ἴλα τὸν πατέρα διαδεξάμενος Βαασὰ βασιλεύει ἔτη δύο. Ζαμβρῆ ὁ τῶν ἁρμάτων τὴν ἡγεμονίαν ὑπὸ τοῦ Ἴλα ἐγχειρισθεὶς, ἀναιρεῖ τοῦτον, καὶ πάντα αὐτοῦ διαφθείρας τὸν οἶκον, βασιλεύει μῆνας ἑπτά. Ζαμβρῆ ὁ τῆς στρατείας ἡγεμὼν, τῷ Βαμβρῆ βασιλεύοντι ἐπανίσταται· ὡς δ' ἐν πολλοῖς ἐδόκει κατὰ κράτος νικᾶν, πυρὶ τὰ ἑαυτοῦ ὑφάψας ὁ Ζαμβρῆ τούτων συναπόλλυται. στασιάζοντος δὲ τοῦ Ἰσραὴλ περὶ βασιλέως, καὶ τοῦτον μὲν ἐνίων αἱρουμένων, ἑτέρων δὲ Θαμνῆ υἱὸν Γονὰθ, καὶ τῶν τοῦ Ζαμβρῆ κρατησάντων, βασιλεύει ἐπὶ Σαμάρειαν ἔτη δώδεκα. Ἀχαὰβ τὸν πατέρα Ζαμβρῆ διαδεξάμενος, βασιλεύει ἔτη εἰκοσιδύο. τοῦτον Ἰεζάβελ ἡ γυνὴ, θυγάτηρ δὲ ἦν αὕτη Εἰσβάαλ βασιλέως Σιδωνίων, τὴν θεοσέβειαν ἠπάτησεν ἐξορχήσασθαι.

Μιχαίας ὁ προφήτης ἦν ἐπὶ Ἀχαὰβ διαδησάμενος τὴν κεφαλὴν τελαμῶνι, καὶ ὀνειδίσας αὐτὸν διὰ τὸν Ἄδερ. κατὰ τοῦτον τὸν καιρὸν συμβαίνει κτισθῆναι τὴν Ἱεριχὼ, κτίζει δὲ ταύτην Ἄχαρ ἀπὸ Βαιθὴλ, ἐν τῇ θέσει τοῦ θεμελίου Ἀβειρὼν τὸν πρωτότοκον ἀποβαλὼν υἱὸν κατὰ τὴν τοῦ Ἰησοῦ χρησμῳδίαν Σεγοὺρ δὲ τὸν νεώτερον ἐπὶ συντελείᾳ τῆς πόλεως. ἐπὶ τούτου προφητεύουσιν Ἡλίας καὶ Ἀβδιοῦ. κρυπτόμενος δὲ ἀεὶ Ἀβδιοῦ διετέλει καὶ τοὺς ἄλλους ἀποκρύπτων προφήτας, τὴν ἐξ Ἰεζάβελ δεδιὼς ἐπιβουλήν. χρίει δὲ ἐπὶ τέλει ὁ Ἡλίας τὸν Ἐλισσαῖον εἰς προφήτην. προεφήτευε δὲ ἔτι καὶ Μιχαίας. Ὀχοζίας τὸν Ἀχαὰβ διαδεξάμενος ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη δύο,

καὶ ἐπὶ τούτου προφητεύουσιν Ἠλίας καὶ Ἐλισσαῖος. Ἰωρὰν ὁ τούτου ἀδελφὸς διαδεξάμενος τὴν ἀρχὴν, βασιλεύει ἔτη ιβ̄. ἐπ' αὐτοῦ Ἠλιας ἀνελήφθη ἀπὸ τῆς γῆς. ἐπὶ τούτου λιμώξαντες οἱ κατ' ἐκείνην τὴν περίχωρον, τὰ ἴδια σφάξαντες τέκνα, τῶν σαρκῶν ἀπεγεύσαντο, καὶ ἐν κόπρῳ περιστερᾶς ἀντὶ ἁλὸς ἀποβαπτόμενοι ἐχρῶντο. Ἰοῦ υἱὸς Σαφὰτ τοῦ Ναμεσῆ, ὑπὸ Ἐλισσαίου χρισθεὶς εἰς βασιλέα ἐπὶ Σαμαρείας, πάντα τοῦ Ἀχαὰβ ἐτιμωρήσατο τὸν οἶκον. αὐτὸν μὲν γὰρ τὸν βασιλέα Ἰωρὰν κατατοξεύσας ἀναιρεῖ, εὑρὼν θεραπευόμενον τὰ τραύματα. κρημνῷ δὲ Ἰεζάβελ τὴν τούτου διαχειρίζεται μητέρα, καὶ ἑβδομήκοντα τοῦ Ἀχαὰβ υἱοὺς διαχειρισάμενος, προὔθηκεν αὐτῶν ἐπὶ τὰς διεξόδους τὰς κεφαλάς. ἔπειτα συναγαγὼν ἅπαντας τοὺς τῆς Βάαλ προφήτας καὶ ἱερεῖς καὶ δήμους, δημοτελῆ[12] θυσίαν ἐπιτελεῖν προσποιησάμενος, πάντας ὑφ' ἓν ἀποσφάττει, καὶ τὸ εἰδωλεῖον κατασκάπτει, καὶ καθίστησιν αὐτὸ λύτρωμα· ἐβασίλευσε δὲ ἔτη κη̄. ἐπροεφήτευσε δὲ ἔτι καὶ ἐπὶ τούτου Ἐλισσαῖος.

Ἰώαχαζ τὸν πατέρα Ἰοῦδα διαδεξάμενος βασιλεύει ἔτη ιζ̄. ἔτι καὶ ἐπὶ τούτου Ἐλισσαῖος ἐπροφήτευε, καὶ ἐτελεύτησεν. Ἰωὰς υἱὸς Ἰάχαζ, βασιλεύει μετ' αὐτὸν ἔτη ις̄. Ἱεροβοὰμ τὸν Ἰωὰς διαδεξάμενος ὁ υἱὸς, ἐβασίλευσεν ἔτη μᾱ. ἐπροεφήτευον δὲ ἐπ' αὐτοῦ Ἰωνᾶς καὶ Ἀμώς. Ζαχαρίας τὸν πατέρα Ἱεροβοὰμ διαδεξάμενος ἐβασίλευσε μῆνας ἕξ. Σελὰμ τὸν Ζαχαρίαν ἀνελὼν ἐβασίλευσε μῆνα ᾱ. Μαναεὶμ ὁ τοῦ Γαδῆ τὸν Σελὰν ἐπαναστὰς, ἐβασίλευσεν ἔτη δέκα. οὗτος μὴ δεξάμενος αὐτὸν τοὺς ἐν Θεσσᾷ χειρωσάμενος ἀναιρεῖ, καὶ τὰς ἐν γαστρὶ ἐχούσας διαρρήσσει. Φαλκίας ὁ τοῦ Μαναεὶμ υἱὸς τὸν πατέρα διαδεξάμενος ἐβασίλευσεν ἔτη δύο. Φακεὲ ὁ τοῦ Ῥομελίου τὸν Φαλκίαν ἀνελὼν, ἐβασίλευσεν ἔτη εἴκοσι. ἐπὶ τούτου Θεγλαφαλασὰρ ὁ Ἀσσυρίων βασιλεὺς, εἰς τὴν Ἰουδαίαν ἐπιστρατεύσας τὰ πλεῖστα τῆς γῆς αὐτῶν σφετερίζεται. Ὡσηὲ μετὰ τὸν Φακεὲ ὁ τοῦ Ἴλα βασιλεύει ἔτη θ̄. ἐπὶ τούτου Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων ἐπιστὰς τῆς Σαμαρείας, αὐτόν τε ἀπάγει αἰχμάλωτον, καὶ πάντα σὺν αὐτῷ τὸν Ἰσραὴλ, καὶ κατοικίζει αὐτοὺς ἐν Ἀλαὲ, καὶ Ἀβὼρ Μηδικαῖς

[12] δημοτελεῖ Cod.

πόλεσι, καὶ ἐπὶ ποταμῷ Γοζᾶν, ἔνθα τῆς εἰς Θεὸν παραβάσεως δίκας ἐκτίνουσι κακουχούμενοι.

Ὁ δὲ Ἀσσύριος Βαβυλωνίους ἐν Σαμαρείᾳ πεμψάμενος ἄνδρας αἰσχρῶς καὶ ἀνόμως βεβιωκότας, οἰκεῖν αὐτόθι ἐκέλευσε. τούτους ὁ Θεὸς λέοντας ἐξαποστέλλων διέφθειρε. πυθόμενος δὲ ὁ βάρβαρος, καὶ συνεὶς ἐπὶ τῆς γῆς δέον ἐκείνης τὴν κατὰ νόμον Θεῷ λατρείαν ἐπιτελεῖσθαι, ἕνα τῶν ἱερέων ἐξαποστείλας, τὰ νομιζόμενα αὐτόθι ποιεῖν ἐκέλευσεν. ὁ δὲ καταμένων ἐν Βαθὴλ, τόν τε τὸν νόμον αὐτοὺς ἐξεπαίδευσε, καὶ τὸν Θεὸν σέβεσθαι ἐδίδασκε, καὶ οὕτως ἐξ ἐκείνου συμβαίνει τὴν γῆν ἐκ τῶν λεόντων ἠρεμῆσαι. τούτους εἰσέτι Σαμαρείτας ἀπὸ τῆς χώρας προσαγορεύουσι, διὸ καὶ ἀλλόκοτοι τὰς προαιρέσεις, διὰ δὲ τὴν τοῦ νόμου διδασκαλίαν βραχεῖαν ἔχουσι θεοσεβείας ἔμφασιν. καὶ γὰρ οὐδὲ τῆς δεκαλόγου πλεῖον παραλαβεῖν ἠξιώθησαν. ἐνταῦθα τῆς Ἰσραηλιτικῆς βασιλείας οἱ χρόνοι κατέληξαν εἰς ἔτη τριακόσια τρία, καὶ μῆνας ἑπτά· ἀρξάμενοι μὲν ἀπὸ Ἱεροβοὰμ τοῦ Ναβὰτ, καταλήξαντες δὲ εἰς Ὠσηὲ τὸν τοῦ Ἴλα, καὶ τὴν ὑπὸ Σαλμανασὰρ τοῦ Ἰσραὴλ μετοικεσίαν, ἀπὸ Σαμαρείας εἰς Μήδειαν. ἤκμαζε δὲ καὶ ἡ προκειμένη τοῖς ἐκ Δαβὶδ βασιλέως, τὴν μὲν ἀρχὴν ἀπὸ τοῦ δεκάτου τῆς τοῦ Σαοὺλ ἔχουσα μοναρχίας· καταλήξασα δὲ ἐπὶ τὸν τριμηναῖον Ἰωακείμ. τοῦτον γὰρ ὁ Ναβουχοδονόσορ Ἰοῦδα πορθήσας, μετῴκησεν εἰς Βαβυλῶνα.

### Ὅπως ἀριθμοῦνται τὰ ο̄ ἔτη τῆς αἰχμαλωσίας.

Ἀκόλουθον λοιπὸν ἐπιδραμεῖν τοῖς ἐν τοῖς ἑβδομήκοντα τῆς αἰχμαλωσίας ἔτεσιν ἡγησαμένοις. ἄχρι τούτου τοῦ τελευταίου Ἰωακεὶμ συνάγονται ἀπὸ Ἀδὰμ ἔτη ͵δωοβ. λοιπὸν οὖν τοὺς ἐφεξῆς χρόνους, ἀπὸ τοῦ ᾱ ἔτους Σεδεκίου δεῖ ψηφίζειν. ἐκπορθήσας ὁ Ναβουχοδονόσορ τὰ Ἱεροσόλυμα, καὶ τὸν Ἰωακεὶμ εἰς Βαβυλῶνα σὺν τοῖς ἄλλοις ἀπαγαγὼν, Μανθανίαν δὲ τὸν τούτου ἀδελφὸν τῶν ἐπιλοίπων βασιλέα καταστήσας, ὃν καὶ Σεδεκίαν κατωνόμασε, ἐπὶ τῆς οἰκείας γῆς μεθ' ἡσυχίας μένειν ἐδίδου, κομιζόμενος ἀπὸ τοῦ Σεδεκίου τὰς ἐτησίους ἀποφοράς. ἐπ' ἐννέα μὲν ἔτη τούτου τὰ τέλη παραπέμποντος, ἡσύχασεν ὁ Ἰσραήλ. κατὰ δὲ τοῦτον ὁ Σεδεκίας τὸν ἐνιαυτὸν ἀποστὰς, καὶ πάσῃ τὸν Θεὸν καὶ τὸν βασι-

λέα παραλογησάμενος ἀγνωμοσύνῃ, παρορμᾷ πάλιν κατὰ τῶν Ἱεροσολύμων τὸν Ναβουχοδονόσορ. ὁ δὲ τὴν πόλιν δευτέρῳ πολιορκῶν ἔτει, χειροῦται, καὶ τὸν ναὸν ἐμπιπρᾷ, καὶ τοῦ Σεδεκίου κατ' ὄψιν ἀνεῖλε τοὺς παῖδας. κακεῖνον ἐκτυφλώσας, καὶ πέδαις περιβαλὼν, ἅμα παντὶ τῷ λαῷ κατάγει εἰς Βαβυλῶνα, Γολίαν τῶν ἐπιλοίπων ἡγεμόνα καταστήσας, υἱὸν Ἀχικάν. καὶ τοῦτο μὲν οἱ δυνατοὶ τῶν αὐτόθι κατέλιπον, καὶ ἀνελόντες ἀναχωροῦσι δεδιότες τοὺς Χαλδαίους ἀπάραντες εἰς Αἴγυπτον, ἔνθα μετ' οὐ πολὺ διαφθείρονται, ζηλωταὶ τῆς Αἰγυπτιακῆς γενόμενοι δεισιδαιμονίας.

Σεδεκίας δὲ ἀπάγεται, τὰ πάντα βασιλεύσας ἔτη ια̅. ἦν ἀρχιερεὺς ἐπ' αὐτοῖς[13] Ἀρέας, καὶ προεφήτευον ἐν μὲν τῇ Ἰουδαίᾳ Ἱερεμίας, ἐν δὲ τῇ Βαβυλῶνι Δανιήλ· κατὰ δὲ τὸ δεύτερον τῆς αἰχμαλωσίας καὶ τῆς Σεδεκίου βασιλείας ἔτος, ἐμήνυσε δὲ καὶ διέκρινε τὸ ἐνύπνιον τῷ Ναβουχοδονόσορ. ὁ δὲ Ἰεζεκιὴλ κατὰ τὸ πέμπτον αὐτῶν ἔτος προεφήτευεν. ἔπειτα προφητεύει Ναοὺμ καὶ Μαλαχίας. τοῦ Σεδεκίου τελευτήσαντος ἐν Βαβυλῶνι εἰς τὸν ἐπίλοιπον τῆς ἑβδομηκονταετίας χρόνον, μετὰ ἕνδεκα ἔτη τῆς τοῦ Σεδεκίου βασιλείας ἤρξαντο οἱ ὑποτεταγμένοι. οὗτος ὁ Ναβουχοδονόσορ τρίτον ἐπόρθησε τὰ Ἱεροσόλυμα. πρῶτον μὲν ὅτε ἐν τῷ τρίτῳ ἔτει Ἐλιακεὶμ ἀνῆλθε, καὶ ἔλαβεν αὐτόν τε Ἰεχονίαν καὶ τὴν τούτου μητέρα, καὶ σὺν τῷ ἄλλῳ πλήθει τὸν προφήτην Ἰεζεκιὴλ, ἔτος ἄγων τῆς βασιλείας πρῶτον· δεύτερον δὲ, ὅτε ἐν τῷ τρίτῳ μηνὶ Ἰεχονίου, τοῦ καὶ Ἰωακεὶμ, ἀνῆλθε καὶ ἔλαβε σὺν ἑτέροις τὸν Δανιὴλ, καὶ Ἀνανίαν, καὶ Μισαὴλ, καὶ Ἀζαρίαν, ἔτος ἄγων αὐτὸς ὄγδοον τῆς βασιλείας· τὸ δὲ τρίτον, ὅτε ἐν τῷ ἑνδεκάτῳ ἔτει τοῦ Σεδεκίου ἀνῆλθε, καὶ τὸν μὲν ναὸν ἐνέπρησε, τὸν δὲ Σεδεκίαν ἐξετύφλωσε, καὶ τοὺς υἱοὺς αὐτοῦ σὺν ἑτέροις κατέσφαξε, καὶ τὸ λοιπὸν πλῆθος ἀπήγαγεν εἰς αἰχμαλωσίαν· ἔτος ἄγων αὐτὸς τῆς βασιλείας ἐννεακαιδέκατον.

Ναβουχοδονόσορ πρὸς τοῖς δεκαεννέα ἔτεσιν, οἷς πρότερον ἐκράτησε, βασιλεύει ἔτη εἴκοσι καὶ πέντε. προεφήτευον δὲ ἐπ' αὐτοῖς οἱ εἰρημένοι Δανιὴλ καὶ Ἰεζεκιήλ. Μαρωδὰχ τοῦτον διαδεξάμενος

13 ἀπ' αὐτοὺς Cod.

βασιλεύει ἔτη δώδεκα. Βαλτάσαρ ὁ τούτου ἀδελφὸς, υἱὸς Ναβουχοδονόσορ, ἐβασίλευσεν ἔτη τέσσαρα· ἔτι ἐπὶ τούτου Δανιὴλ προφητεύει, καὶ ἐπιλύεται αὐτῷ τὸ ὅραμα, ὃ δειπνῶν ἐθεάσατο καὶ πίνων εἰς τὰ ἱερατικὰ ἐκπώματα. τοῦτον ἀκολούθως τῇ τοῦ ὁράματος ἑρμηνείᾳ κατὰ τὴν ἐχομένην νύκτα Δαρεῖος ἀνελὼν, ὁ τοῦ Ἀσουήρου υἱὸς, ἐκράτησε τῆς ἀρχῆς. Δαρεῖος ὁ εἰρημένος τοῦ Ἀσουήρου υἱὸς, ἐπεκλήθη Ἀστυάγης, ἐβασίλευσεν ἔτη δεκαεπτά. ἐπὶ τούτου Δανιὴλ εἰς τὸν λάκκον ἐμβάλλεται τῶν λεόντων, καὶ μηδὲν ὑπ' αὐτῶν παθὼν, ἑβδομαῖος ὑπὸ τοῦ βασιλέως ἀνίμαται, καὶ τῶν ἑβδομάδων αὐτῷ τὸ μυστήριον ἀποκαλύπτεται. καὶ εἴ τις ἀκριβῶς τῶν ἑβδομάδων ἐξετάσαι βουληθείη τὸν λόγον, καὶ διαριθμήσασθαι τοὺς χρόνους, ἀρξάμενος ἀπὸ ἐξόδου λόγου κατὰ τὸν προφήτην τοῦ οἰκοδομηθῆναι Ἱερουσαλὴμ, τουτέστιν ἀπὸ Νεεμίου υἱοῦ Ἀχελῆ, τοῦ ἀρχιοινοχόου Ἀρταξέρξου, ὃς ἀξιώσας καὶ ἐπιτραπεὶς, ἄνεισιν οἰκοδομήσων τὰ Ἱεροσόλυμα, εὑρήσει τὰς ο̄ συμπεραιουμένας ἑβδομάδας· τουτέστι τετρακόσια ἐνενήκοντα ἐπὶ τὸν καιρὸν ἐκεῖνον, ὅτε παλαιοῦται τὸ παράπτωμα, καὶ συντελεῖται ἡ ἁμαρτία, καὶ σφραγίζεται ὅραμα, καὶ προφητεύει καὶ χρίεται ἅγια ἁγίων, τουτέστιν ἐπὶ τὴν τοῦ Χριστοῦ παρουσίαν, καὶ τὴν λοιπὴν πραγματείαν.

Κῦρος ὁ Πέρσης καταλύσας τὴν Μήδων καὶ Ἀσυρίων δυναστείαν, κρατήσας τε τῆς Ἀσίας ἁπάσης, ἐβασίλευσεν ἔτη λ̄ᾱ. τούτῳ τῷ πρώτῳ ἐνιαυτῷ ἑβδομηκονταετὴς χρόνος τῆς μετοικησίας συμπληροῦται. ἐν δὲ τῷ ἐρχομένῳ ἔτει συγχωρεῖ τοὺς δυναμένους τῶν Ἑβραίων οἰκίζειν, ἀνελθόντας τὰ Ἱεροσόλυμα, καὶ τὸν ναὸν ἀνοικοδομηθῆναι προσέταξε. τῆς δὲ ἐπανόδου ἡγεῖτο Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ μέγας ἱερεὺς, καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ, καὶ προεφήτευον Ἀγγαῖος καὶ Ζαχαρίας ὁ τοῦ Ἀδδώ. καταθέμενοι δὲ οἱ περὶ τὸν Ἰησοῦν τοῦ Ναοῦ τὴν ἕδραν, ἐφ' ὅλα μ̄β̄ ἔτη τὸ ἔργον ἐκωλύοντο συμπεραιῶσαι, μέχρις οὗ Δαρεῖος ὁ υἱὸς Ὑστάσπεω, δευτέρῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας τοὺς ἐμποδίζοντας ἀναστείλας, τελείαν ἐπιτρέπει τοῦ ναοῦ τὴν κατασκευὴν, καὶ συμπληροῦται ἐν ἄλλοις τέτρασιν ἔτεσιν· ὥστε συντελεσθῆναι αὐτὸν ἐν ὅλοις ἔτεσι τεσσαρακονταέξ. φανερὰ δέ ἐστι τῶν ὑποκειμένων ἀπόδειξις. Καμβύσης ὁ καὶ Ἀρταξέρξης, ὁ αὐτὸς δέ ἐστιν ὁ

*καὶ ἐν τῷ Ἔσδρα λεγόμενος Ἀρθασασθὰ, τὸν Κῦρον ὁ υἱὸς διαδεξάμενος, ἐβασίλευσεν ἔτη ὀκτώ. Σφενδάτις καὶ Κιμάρδιος ἀδελφοὶ μάγοι, Μῆδοι τῷ γένει, ἐπιθέμενοι, βασιλεύουσι μῆνας ἑπτά.*

*Δαρεῖος ὁ Κύρου μὲν ἀπόγονος, Ὑστάσπου δὲ υἱὸς, τοῖς Μάγοις ἐπιθέμενος, καὶ κρατήσας, ἐβασίλευσε μέχρι συμπληρώσεως Ἱερουσαλὴμ ἔτη ἕξ· καὶ πρὸς τούτοις ἄλλα τριάκοντα· ὥστε βεβασιλευκέναι ἔτη λ̄ϛ. κατὰ τούτους τοὺς χρόνους Πυθαγόρας ὁ φιλόσοφος ἐτελεύτησε, καὶ Ἱπποκράτης ὁ ἰατρὸς ἐγνωρίζετο. Ξέρξης ὁ Δαρείου υἱὸς ἐβασίλευσεν ἔτη κ̄. Ἀρτάβανος ἐβασίλευσε μῆνας ζ̄. Ἀρταξέρξης ὁ Ξέρξου, ὁ μακρόχειρ, καὶ οὗτος ἐν τῷ Ἔσδρα Ἀρπασασθὰ κέκληται, ἐβασίλευσεν ἔτη μ̄ᾱ· ἐπὶ τούτου τὰ κατὰ Ἐσθὴρ καὶ Μαρδοχαῖον καὶ Ἀμμᾶν ἐπράχθη· καθ᾽ ὃν καιρὸν καὶ Ἔσδρας προεφήτευε. συγχωρήσαντος Ἀρταξέρξου, Ἔσδρας ὁ ἱερεὺς τοὺς ὑπολοίπους ἀναγαγὼν εἰς Ἰσραὴλ, τὸν νόμον ἐξεπαίδευε. Νεεμίας τὲ ὁ ἀρχιοινοχόος Ἀρταξέρξου, ἀνὴρ ἐκ γένους ἂν ἱερατικοῦ, παρακαλέσας τὸν βασιλέα καὶ ἐπιτραπεὶς, ἄνεισιν εἰς τὴν Ἰουδαίαν καὶ τὴν Ἰσραήλ. τειχίζει δὲ αὐτὴν, τῶν ἐπιθεμένων ἕνεκα ὅπλοις τοὺς ἐνεργοῦντας περιτειχίσας, καὶ τὸν λαὸν σὺν τῷ Ἔσδρα τῷ Μωΰσεως ἐξεπαίδευε νόμῳ· πᾶσαν ἐξ αὐτῶν Ἑλληνικὴν ἀποκινήσας ἀγωγήν· καὶ ᾠκοδομήθη πλατεῖα καὶ περίτειχος ἡ πόλις· ὅθεν ἄρχονται ἀριθμεῖσθαι αἱ ο̄ ἑβδομάδες, αἱ ἐν τῷ Δανιήλ· εἰκοστῷ ἔτει τῆς βασιλείας Ἀρταξέρξου. ἐντεῦθε φασὶ τὰς ἑβδομάδας ἀριθμεῖσθαι, τὰς ἑβδομήκοντα τὰς ἐν τῇ τοῦ Δανιὴλ ὀπτασίᾳ μέχρι τοῦ Κυρίου παρουσίας καὶ τῶν ἑξῆς ἐπιβεβηκότων. φανερὸν δέ ἐστιν, ὅτι αἱ ἑβδομάδες ποιοῦσιν ἔτη ῡζ̄. κατὰ τούτους τοὺς χρόνους Σώκρατης ἐγένετο.*

*Ξέρξης ὁ Ἀρταξέρξου υἱὸς τὴν ἀρχὴν διαδεξάμενος, βασιλεύει μῆνας δύο. Σουγδιανὸς βασιλεύει μῆνας ἑπτά. Δαρεῖος ὁ Ξέρξου, ὁ ἐπικληθεὶς Νόθος, ἀνελὼν τὸν Σουγδιανὸν, ἐβασίλευσε Περσῶν ἔτη ιθ. Ἀρταξέρξης ὁ Δαρείου καὶ Παρυσάτιδος τὸν πατέρα διαδεξάμενος, ἐβασίλευσεν ἔτη μ̄β̄. κατὰ τούτους τοὺς χρόνους Πλάτων ὁ φιλόσοφος, καὶ Ἀριστοτέλης ἐγνωρίζετο. Ἀρταξέρξης ὁ ἐπικληθεὶς Ὦχος, ἐβασίλευσεν ἔτη κ̄β̄. Ναρσῆς τοῦτον διαδε-*

ξάμενος, ἐβασίλευσεν ἔτη δ̅. Δαρεῖος ὁ Ἀρσάμου, ἐβασίλευσε μετὰ τὸν Ναρσῆν ἔτη ϛ̅. Ἀλεξάνδρου δὲ τοῦ Μακεδόνος Πέρσαις ἐπικειμένου, Δαρεῖον οἱ περὶ τὸν Βῆσον ἀναιροῦσιν ἐν Βάκτροις, καὶ καταλύεται ἡ Πέρσων βασιλεία, ἐφ' ὅλοις παρατείνασα ἔτεσι τριακοσίοις, τὰ μὲν τῆς μετοικεσίας ο̅, τὰ δὲ ἑξῆς σλ̅, καὶ μεταπίπτει εἰς Μακεδόνας ἡ βασιλεία. Ἀλέξανδρος δηλοῖ αἴδους[13] τῷ ἀρχιερεῖ δοῦναι αὐτῷ συμμαχίαν κατὰ Δαρείου· τοῦ δὲ ἀπειπόντος, Τύρον καὶ Γάζαν πόλεις πορθεῖ μετὰ κόπου· ἔνθα καὶ σάτυρον βλέπει καθ' ὕπνους ἐν τῇ πορθήσει Τύρου· φήσαντος αὐτὸν τοῦ ὀνειροκρίτου "σοὶ Τύρος Ἀλέξανδρε." εἶθ' οὕτως ἀνῆλθεν εἰς Ἰσραὴλ, καὶ ὑποτάξας αὐτὴν, καὶ παρὰ τοῦ ἀρχιέρεως λαβὼν συμμαχίαν, καὶ ὡς θεὸν τιμήσας καὶ προσκυνήσας, ὑπεχώρησε πρὸς Πέρσας.

Ἀλέξανδρος ὁ Μακεδὼν τὴν Περσῶν καταλύσας ἀρχὴν, περιῆγεν εἰς Μακεδονίαν. οὗτος ἑβδόμῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας χειρωσάμενος Πέρσας, ἔτι πρὸς τούτοις ἑπτὰ ἔτεσι βασιλεύει, καὶ Περσῶν μετὰ τὸν Δαρεῖον ἔτη ἓξ, καὶ μῆνας ἕξ. τούτου τελευτήσαντος ἐν Βαβυλῶνι, διαδέχονται τὴν ἀρχὴν ἐπὶ τῆς Μακεδονίας, Φίλιππος ὁ ἀδελφὸς αὐτοῦ· Ἀντίγονος δὲ τὴν ἐπὶ τῆς Ἀσίας· Πτολεμαῖος δὲ ὁ Λάγου καὶ Ἀρσινόης, τῆς Μελεάγρου θυγάτρος, τὴν ἐπ' Αἰγύπτου· καὶ τὴν ἐπὶ Συρίας Σέλευκος ὁ Νικάτωρ.

Πτολεμαῖος τοίνυν ὁ Λάγου ἐβασίλευσεν Αἰγύπτου ἔτη μ̅. κατὰ τούτους τοὺς χρόνους, Ἐπίκουρος ὁ φιλόσοφος ἐγνωρίζετο. Πτολεμαῖος ὁ Φιλάδελφος ἐβασίλευσεν ἔτη λη̅. οὗτος Ἑβραίους καταδουλωσάμενος, εἰς τὴν Ἑλληνίδα μεταβάλλει φωνήν ἐκ τῆς Ἑβραΐδος τὰς θείας γραφάς. καὶ ποιοῦνται τὴν ἑρμήνειαν ἄνδρες ἑβδομήκοντα ἐν σοφίᾳ παρὰ τοῖς Ἑβραίοις ἐπαινούμενοι. τῆς θείας οὖν γραφῆς ἑρμηνευθείσης καὶ ἀναγνωσθείσης, ἐκπλαγῆναί τε τὸν βασιλέα ἐπὶ τῷ κάλλει τῶν θείων λογίων, καὶ πάντας τοὺς ἐν τέλει. παρόντος οὖν Μενεδήμου φιλοσόφου καὶ Δημητρίου Φαληρέως, καὶ θαυμαζόντων τὴν δύναμιν τῶν λόγων, ἠρώτησεν ὁ βασιλεὺς, ὅτι τοιούτων τῶν θείων λόγων, πῶς οὐδεὶς ἱστορικῶν ἢ ποιητῶν ἐμνήσθη αὐτῶν; καὶ ἀπεκρίθη Δημήτριος, ὅτι οὐδεὶς ποτὲ ἐτόλμησε τούτων ἅψασθαι, διὰ τὸ καὶ Θεόπομπον[14] θελήσαντα

13 Leg. Ἰαδδοῦ. 14 θεόπεμπον Cod.

περὶ αὐτῶν, παραφροσύνῃ κρατηθῆναι, καὶ ὄναρ ἰδεῖν ὅτι τοῦτο αὐτῷ συμβέβηκε περιεργασαμένῳ τὰ θεῖα. καὶ Θεόδεκτον τῶν τραγῳδιῶν ποιητὴν ἐν ἑνὶ δράματι μνησθέντα τῶν ἱερῶν τούτων βιβλίων, τυφλωθῆναι· ἑκατέρους δὲ ἀποιχομένους τοῦ τολμήματος, καὶ τὸ θεῖον ἐξευμενισαμένους, ὑγιεῖς γενέσθαι.

Πτολεμαῖος δὲ ὁ Εὐεργέτης, ὁ τοῦ Φιλαδέλφου καὶ Εὐρυδίκης καὶ Ἀρσινόης, ἐβασίλευσεν ἔτη κϛ. κατὰ τούτους τοὺς χρόνους Ἰησοῦς, ὁ τοῦ Σιρὰχ, ὁ τὴν Σοφίαν συγγράψας, παρ' Ἑβαίοις ἐγνωρίζετο. Πτολεμαῖος ὁ Φιλοπάτωρ, ὁ τοῦ Εὐεργέτου υἱὸς, ἐβασίλευσεν ἔτη ιζ. ἐπὶ τούτου ὁ λαὸς τῶν Ἑβραίων αἰχμάλωτος ἐν Αἰγύπτῳ ἀπαχθεὶς τοιοῦτόν τι ἔπαθεν. οὗτος γὰρ προσέταξε τοῖς ἑαυτοῦ ὑπασπισταῖς, ἐλέφαντας πεντακοσίους, οὓς εἶχε, ποτίσαι οἶνον λιβανωτὸν, ὅπως ἅπαντας τοὺς Ἰουδαίους δι' αὐτῶν ἀπολέσῃ· εὐξαμένων δὲ ἐκείνων, οἱ ἐλέφαντες εἰς τοὺς ἰδίους στρατιώτας τε καὶ δήμους ἐμπηδήσαντες, πολὺν αὐτῶν ὄχλον ἐν τῇ περιεχούσῃ μανίᾳ κατέσφαξαν· καὶ οὕτως σωθέντες μετὰ εὐχαριστίας ἀπελύθησαν εἰς τὰ ἴδια. Πτολεμαῖος ὁ Ἐπιφανὴς, ὁ τοῦ Φιλοπάτορος υἱὸς, ἐβασίλευσεν ἔτη δ'. Πτολεμαῖος ὁ Φιλομήτωρ, ὁ τοῦ Ἐπιφανοῦς υἱὸς, ἐβασίλευσεν ἔτη λε. ἐπὶ τούτου Ἀντίοχος ὁ Ἐπιφανὴς τοὺς Μακκαβαίους μὴ βουλομένους μιαροφαγεῖν ἐκόλαζεν.

Ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος ἱεράτευον Ἰουδαίοις Ὑρκανὸς καὶ Ἀριστόβουλος. καὶ Ὑρκανῷ μὲν συνεμάχη τὸ δημοτικὸν, Ἀριστοβούλῳ δὲ οἱ ἱερεῖς. ἦν δέ τις Ὀνίας ὀνόματι εὐσεβὴς καὶ δίκαιος ἐκ τῶν ἱερέων, ὃς καὶ ἀνομβρίαν ἔλυσεν εὐξάμενος. τούτῳ ἠνάγκασεν εὔξασθαι περὶ νίκης· ὁ δὲ ηὔξατο λέγων, "Θεὲ δέσποτα, "μήτε τῷ δήμῳ κατὰ τῶν ἱερέων σου, μήτε τοῖς ἱερεῦσι κατὰ "τοῦ δήμου σου βοηθήσεις." τοῦτον δὲ εὐθέως ἐλίθασαν. καὶ παρ' εὐθὺ ἡ θεία δίκη τούτους μετελθοῦσα, ἐπήγαγε κατ' αὐτῶν Πομπήϊον Ῥωμαίων στρατηγόν· ὃς καὶ τὴν πόλιν ἐπόρθησε, καὶ εἰσελθὼν εἰς τὰ ἅγια τῶν ἁγίων δι' εὐσέβειαν, οὐδ' ἑνὸς τῶν ἱερῶν σκευῶν ἥψατο, καίπερ πολλῶν χρημάτων ὄντων· ἀλλὰ καθᾶραι τὸ ἱερὸν, καὶ τὰς θυσίας ἐπιτελεῖν προσέταξεν. ἔπεμψε δὲ Ἀριστό-

βουλος δῶρον Πομπηΐῳ, ἄμπελον χρυσῆν διακοσίων ταλάντων, ἐγχειρισθεὶς τὴν ἱερατείαν καὶ ἐπικράτειαν τῶν Ἰουδαίων.

Πτολεμαῖος ὁ τοῦ Φιλομήτορος ἀδελφὸς, ὁ δεύτερος Εὐεργέτης, βασιλεύει ἔτη κθ. Πτολεμαῖος ὁ Φούσκων ἐβασίλευσεν ἔτη ιζ, μῆνας ς. Πτολεμαῖος ὁ ἐπικληθεὶς Ἀλεξᾶς, ἐβασίλευσεν ἔτη ι. Πτολεμαῖος ὁ δεύτερος Σωτὴρ, ὁ υἱὸς τοῦ δευτέρου Εὐεργέτου καὶ Κλεοπάτρας τῆς Εὐεργέτιδος, ἐβασίλευσεν ἔτη κ. Πτολεμαῖος ὁ ἐπικληθεὶς νέος Διονύσιος, ἐβασίλευσεν ἔτη λ. Κλεοπάτρα ἡ τοῦ νέου Διονυσίου θυγάτηρ, τελευτήσαντα διαδέχεται τὸν πατέρα, καὶ συμβασιλεύει αὐτῇ Πτολεμαῖος ὁ ἀδελφός. τοῦτον διενεχθέντα πρὸς αὐτὴν ἀνελοῦσα, μόνη κατέσχε τὴν ἀρχὴν, καὶ βασιλεύει ἔτη κβ. ὅτι ἐν τῷ ἀριθμῷ τῶν χρόνων τετάρτῳ μόνῳ ἔτει τῆς βασιλείας Κλεοπάτρας δεῖ ἀριθμεῖν.

Ἰούλιος Καῖσαρ κατὰ τὸ τέταρτον ἔτος τῆς βασιλείας Κλεοπάτρας, ὑπὸ τῶν Ῥωμαίων ἀναρρηθεὶς ὕπατος, εἰς τὴν ἀνατολὴν σὺν πολλῇ κατελθὼν δυνάμει, καὶ πολλοὺς τῶν αὐτόθι τροπωσάμενος, καὶ ὑποφόρους καταστήσας, ἰδίους τῶν τόπων καθίστησιν ἐπιμελητάς. Ἀντίπατρον μὲν οὖν τὸν Ἀσκαλωνίτην τῆς Παλαιστίνης κατέστησε διοικητήν· υἱὸς δὲ ἦν Ἀντίπατρος Ἡρώδου τινὸς τῶν ἐν νεωκόροις ἀριθμουμένων, καὶ τῶν αὐτόθι τοῦ Ἀπόλλωνος ἱεροδούλων. παῖδα δὲ ὄντα ποτὲ τὸν Ἀντίπατρον λῃσταὶ ἀναρπάσαντες Ἰδουμαῖοι κατεῖχον, λύτρα ὑπὲρ αὐτοῦ κομιεῖσθαι ὑπειληφότες· τοῦ δὲ πατρὸς αὐτοῦ εἰς ἔσχατον πενίας ἐληλακότος, ἔμεινε παρὰ τοῖς ἁρπάσασι δουλεύων, καὶ τοῖς ἐκείνων ἔθεσι τρεφόμενος. ἀναιρεθέντος δὲ τοῦ Ἀντιπάτρου φαρμάκῳ βασκανίᾳ τῆς πολλῆς εὐδαιμονίας ὑπὸ Βαλλίχου τινὸς Ἰουδαίου, διαδέχονται οἱ παῖδες αὐτοῦ τὴν ἀρχὴν Ἡρώδης καὶ Φασάϊλος. καὶ ὁ μὲν τὴν Ἰδουμαίαν καὶ τὴν Ἱεροσόλυμον ἐκληρώσατο γῆν, ὁ δὲ τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν. γνοὺς δὲ ὡς Ὑρκανὸς, ὁ πρὸ αὐτοῦ βασιλεύσας, τὸν τοῦ Δαβὶδ τάφον ἀνοίξας τρισχίλια ἔλαβε τάλαντα, ἤνοιξε καὶ αὐτὸς, καὶ χρήματα μὲν οὐχ εὗρε, κόσμον δὲ χρύσεον, καὶ κειμήλια πολλὰ ἀνείλετο. πειραθέντος δὲ αὐτοῦ ἐνδοτέρω χωρεῖν, οὗ τὰ σώματα Δαβὶδ καὶ Σολομῶντος ἐτέθησαν, πῦρ ἐξελθὼν, δύο τῶν δορυφόρων διέφθειρε. γενόμενος δὲ καὶ εἰς

τὴν Αἴγυπτον Ἰούλιος, τῆς Κλεοπάτρας κρατύνει τὴν ἀρχὴν, τῶν ἐπιτιθεμένων ἀναστείλας τὰς ἐπιβουλὰς, καὶ τὰ ἐπὶ τῆς ἀνατολῆς ἅπαντα διοικησάμενος, ἐπανῆλθεν εἰς τὴν Ῥώμην.

## Γάϊος Ἰούλιος Καῖσαρ.

Γάϊος Ἰούλιος Καῖσαρ ἐβασίλευσεν ἔτη δʹ καὶ μῆνας ζʹ. Καῖσαρ δὲ ἐπεκλήθη, ὃ λέγεται ἀνατομὴ, ὅτι θανούσης τῆς μητρὸς αὐτοῦ ἐν τῷ ἐννάτῳ μηνὶ, ταύτην ἀνατεμόντες, ἐξήγαγον αὐτόν. οὗτος καὶ δικτάτωρ ἐκλήθη, ὅ ἐστι μονάρχης. δικτατωρία δέ ἐστι ἀρχὴ ἀνυπεύθυνος. μετωνόμασται δὲ ὁ ἐπονομαζόμενος Κυιντήλιος μὴν Ἰούλιος, διὰ Καίσαρα, ὡς ἐν τούτῳ αὐτοῦ μοναρχήσαντος. ὁ αὐτὸς Ἰούλιος μέγιστος ἀγῶσι Γερμανοὺς καὶ Γάλλους καὶ Βρετανοὺς χειρωσάμενος, ὑποφόρους τοῖς Ῥομαίοις πεντακοσίας πόλεις οἰκουμένας κατεστήσατο. τούτῳ ἐτέχθη ἵππος ἀντὶ ὁπλῆς χηλὰς ἔχων, καὶ μηδένα ἕτερον ἀναβάτην δεχόμενος ἢ αὐτὸν, ὡς ὁ Βουκεφάλας τὸν Ἀλέξανδρον. τουτῷ μέλλοντί ποτε τὴν αὔλειον ἐξιέναι θύραν ἀπερχομένῳ ἐπὶ τὸ βουλευτήριον[13], εἰκὼν αὐτοῦ πρὸ τῶν θυρῶν ἑστῶσα, αὐτομάτως κατέπεσε· καὶ πρὸς τούτῳ χάρτην αὐτῷ τίς ἐπέδωκεν ἔχοντα πᾶσαν τὴν κατ' αὐτοῦ μελετωμένην ἐπιβουλὴν, καὶ νομίσας ἄλλό τι εἶναι, καὶ μὴ ἐντυχὼν, ἀλλὰ δεδωκὼς ἑτέρῳ φυλάττειν, ἐσφάγη ὑπὸ Βρούτου καὶ Κασσίου ἐν τῷ βουλευτηρίῳ.

## Ὀκτάβιος Αὔγουστος.

Ὀκτάβιος Αὔγουστος Καῖσαρ ἐβασίλευσεν ἔτη νϛʹ. ἀφ' οὗ Αὔγουστοι οἱ Ῥωμαίων βασιλεῖς, καὶ ὁ μὴν Αὔγουστος ἐκλήθη, ὅ ἐστι Σεβαστὸς, Σεξτήλιος πρὶν ὀνομαζόμενος. τῇ δὲ νυκτὶ ᾗ ἐγεννήθη, εἶδεν ὁ πατὴρ αὐτοῦ καθ' ὕπνους, ἐκ τῶν κόλπων τῆς γυναικὸς αὐτοῦ τὸν ἥλιον ἀνατέλλοντα. Ἀντώνιος δὲ στρατηγὸς καὶ ὕπατος Ῥωμαίων, ἀνελὼν Κάσσιον καὶ Βροῦτον τοὺς φονεύσαντας Ἰουλίον Καίσαρα, ἦλθεν ἐν Συρίᾳ ἔρωτι κρατηθεὶς Κλεοπάτρας· ὅθεν ἐπανελθεῖν εἰς Ῥώμην οὐκ ἐγνώκει ὡς λόγον ἀπόδωσων. ὁ γοῦν Αὔγουστος τὴν ἐξ Ἰταλίας συναθροίσας δύναμιν, κάτεισιν ἐπὶ Ἀντώνιον, καὶ γενομένης συμβολῆς, ἡττᾶται Ἀντώνιος, καὶ φεύγει μετὰ τῆς Κλεοπάτρας εἰς Αἴγουστον. καὶ ὁ μὲν Ἀντώνιος

[13] βουλήριον Cod.

ἑαυτὸν διαχειρίζει, ἡ δὲ Κλεοπάτρα εὐλαβουμένη τῶν ἐν τῇ Ῥώμῃ θρίαμβον καὶ συσχεθεῖσα, ἀσπίδα τὸ θηρίον ἑαυτῇ προσενεγκαμένη τελευτᾷ. Ἥλιος καὶ Σελήνη τὰ ταύτης τέκνα συσχεθέντα προήχθη ἐν τῷ θριάμβῳ Ῥώμης. ἐπὶ Αὐγούστου ἀρχὴν ἡ τετάρτη λαμβάνει βασιλεία, ἣν ὁ Δανιὴλ ἐν τῇ τῶν τεσσάρων θηρίων ὀπτασίᾳ, τέταρτον θηρίον φοβερὸν ὀνομάζει. τότε πρῶτον ἐπὶ τῆς τετάρτης βασιλείας ἐμονάρχησεν Αὔγουστος, ὅτε καὶ ὁ τῶν πρώτων τεσσάρων στοιχείων δημιουργὸς, τὸν τετραπέρατον κόσμον ἐν τούτοις συνδήσας Ἰησοῦς Χριστὸς, ὁ τοῦ Θεοῦ Υἱὸς, τὴν ἐκ γυναικὸς ἀειπαρθένου γέννησιν δι' ἡμᾶς κατεδέξατο, ᾧ ἡ ἐπουράνιος ἀνάκειται βασιλεία.

Ἠγαπᾶτο δὲ ὑπὸ Αὐγούστου Μικίνας ἀνήρ τις σοφὸς, ὃς ποτὲ δικάζοντος τοῦ Καίσαρος, καὶ πολλῶν θανάτου καταψηφισαμένου, μὴ δυνάμενος διὰ τὸ πλῆθος τοῦ λαοῦ ἐντυχεῖν αὐτῷ, ἔγραψεν, "ἀνάστηθι δήμιε," καὶ σφραγίσας ἔρριψεν ἐν τῷ κόλπῳ αὐτοῦ· ὅπερ ἀναγνοὺς ὁ Καῖσαρ ἀνέστη, κελεύσας ἀργῆσαι τὰ κριθέντα ὑπ' αὐτοῦ. πάλιν δέ τις τῶν στρατιωτῶν φιλούμενος παρ' αὐτῷ ἐδεήθη τῆς εἰς τὸ βουλευτήριον αὐτοῦ παρουσίας, εἰπόντος δὲ αὐτὸν μὲν ἀσχολεῖσθαι, ἐπιτρέψαι δέ τινι τῶν φίλων παραγενέσθαι, καὶ τὴν χρείαν πληρῶσαι, ὀργισθεὶς ἔφη· "ἐγὼ μέν τοι ὁσάκις "ἂν τῆς ἐμῆς ἐπικουρίας ἐδεήθης, οὐκ ἄλλον ἀντ' ἐμοῦ ἔπεμψα." ἐρυθριάσας οὖν ὁ Καῖσαρ συναπῆλθε καὶ συνέπραξεν. εἶχε δὲ καὶ Ἀθηνόδωρον τὸν Ἀλεξανδρέα σοφώτατον πάνυ, ὃς ἐν τοῖς αἰσχίστοις ἔργοις τοῦ Καίσαρος ἐλέγχων αὐτὸν ἐπηνώρθου. ὁ δὲ Καῖσαρ πολλάκις ἐν τῇ συγκλήτῳ τὸν Ἀθηνόδωρον ἐπαινῶν, προσετίθει, ὡς καὶ αὐτὸς ἐκεῖνος ὑπὸ Ἀθηνοδώρου διώρθωται, κακὸν βίον πρότερον ἐσχηκώς. ὁ γοῦν Ἀθηνόδωρος καταγηράσας ᾔτησεν εἰς τὴν ἰδίαν πεμφθῆναι πατρίδα. ἔλεγε γὰρ ὡς τέλειος εἴη ὁ Καῖσαρ κατὰ πᾶσαν φιλοσοφίαν καὶ πράξιν. ὡς δὲ μέλλων ἀπαίρειν ἠσπάζετο αὐτὸν, καὶ ἐπικύψας πρὸς τὸ οὖς παρεκάλει, ἵνα ὁσάκις ὀργισθῇ, μὴ πρότερον κελεύσει τί πρακτέον, πρὶν ἂν καθ' ἑαυτὸν ἀριθμήσῃ τὰ εἰκοσιτέσσαρα στοιχεῖα· ᾔδει γὰρ αὐτὸν ὀξύθυμον καὶ εὐμετάβλητον ὄντα. ὁ δὲ Καῖσαρ αἰσθόμενος ἔφη, εὖ γε ὑπέμνησάς με ὡς ἀτελής εἰμι, διὰ τοῦτο οὐ συγχωρήσω σοι τῆς ἐνεγκαμένης ἐπιβῆναι. οὗτος ὁ Αὔγουστος ἀπελθὼν ἐν Δελφοῖς

ἠρώτησε, τίς μετ' αὐτὸν βασιλεύσει; τοῦ Πυθίου δὲ μηδὲν ἀποκριναμένου, καὶ τοῦ Αὐγούστου πάλιν ἐρωτήσαντος διατί σιγᾷ τὸ μαντεῖον, ἔφη ἡ Πυθία ταῦτα. "παῖς Ἑβραῖος κελεταί με, "θεὸς μακάρεσιν ἀνάσσων, τόνδε δόμον προλιπεῖν, καὶ ὅδὸν αὖθις "ἱκέσθαι. ἄπιθι τοίνυν λοιπὸν ἐκ δόμων ἡμετέρων."

Τῷ δὲ ͵εφ ἔτει ἀπὸ κτίσεως κόσμου, καὶ τεσσαρακοστῷ δευτέρῳ ἔτει Αὐγούστου, ἐξῆλθε δόγμα παρ' αὐτοῦ ἀπογράφθαι πᾶσαν τὴν οἰκουμένην, ἐν ᾧ ἔτει καὶ ὁ Κύριος ἡμῶν ἐγεννήθη, Ἡρώδου βασιλεύοντος τῆς Ἰουδαίας, ὃν ὁ Καῖσαρ Αὔγουστος προεχειρίσατο. ἐν δὲ τῷ μέλλειν αὐτὸν ἀποβιῶναι κεραυνὸς εἰς τὴν εἰκόνα αὐτοῦ ἐμπεσὼν, τὸ πρῶτον γράμμα τοῦ ὀνόματος αὐτοῦ ἠφάνισε. συγκαλεσάμενος οὖν τοὺς ὑπάτους καὶ βουλευτὰς, εἶπεν· ὅτι τὴν Ῥώμην πηλίνην παραλαβὼν, λιθίνην ὑμῖν καταλείπω· ἐμφαίνων τὸ στερρὸν τῆς δυνάμεως. παρηγγύησε δὲ τοῖς ἐν τέλει πᾶσιν ἐν τῇ τελευτῇ αὐτοῦ χεῖρας κροτῆσαι καὶ γελᾶσαι ὡς ἐπὶ μίμου τελευτῆς. τοῦτο δὲ ποιῆσαι διωρίσατο, ἀποσκώπτων εἰς τὸν ἀνθρώπινον βίον ὡς γέλωτος ἄξιον.

Ἡρώδης οὐ μόνον διὰ τοὺς ἐν Βηθλεὲμ ἀναιρεθέντας ἐπὶ τῇ τοῦ Χριστοῦ μανίᾳ παιδοκτόνος ὀνομάζεται, ἀλλὰ καὶ διὰ τοὺς ἰδίους υἱούς. τρεῖς μὲν ἀποκτείνας τῶν ἑαυτοῦ παίδων, καὶ τὴν μητέρα τούτοις ἐπικατασφάξας, καὶ τὸν τῆς γυναικὸς ἀδελφὸν, ἑτέρους τὲ πολλοὺς τῶν οἰκείων ἀποκτείνει, καὶ πλῆθος οὐκ ὀλίγον Ἰουδαίων διαφθείρει ἐν τῇ αὐτοῦ τελευτῇ. ἰστέον ὅτι τρεῖς ἔσχεν Ἡρώδης ὁ μέγας υἱοὺς, Ἡρώδην τὸν καὶ Ἀντίπαν, τὸν καὶ ἀποτεμόντα τὸν πρόδρομον, ἐφ' οὗ καὶ ὁ Κύριος ἐσταυρώθη ἐπὶ Τιβερίου Καίσαρος· καὶ Ἡρώδην τὸν καὶ Φίλιππον, ᾧ πρῶτον Ἡρωδιὰς ἐγαμήθη, καὶ ἔσχε θυγατέρα Σαλώμην, τὴν ὀρχησαμένην· καὶ Ἡρώδην τὸν καὶ Ἀγρίππαν, τὸν ἀνελόντα τὸν Ζεβεδαίου Ἰάκωβον, ὃς καὶ ἀδελφὸς μὲν ἦν Ἡρωδιάδος, πατὴρ δὲ Ἀγρίππα καὶ Βερενίκης, ἐφ' ὧν ὁ Παῦλος ἀπελογήσατο κρινόμενος.

### Τιβέριος.

͵εφμά β'.
τῆς ρπη'.

Τιβέριος ἐβασίλευσεν ἔτη κβ, μῆνας ζ. οὗτος ἔσχε Γάϊον ἀδελφιδοῦν, ἀστρολόγου δὲ τοῦ Θρασύλου γέγονε φοιτητής· ὃς τοσοῦτος ἦν τὴν τέχνην, ὡς ἀγανακτήσαντα ποτὲ τὸν Τιβέριον

κατ' αὐτοῦ, καὶ βουληθέντα διὰ τοῦ τείχους αἴφνης αὐτὸν ὠθίσαι, ἐσκυθρώπασεν. ἐρωτήσαντος δὲ Τιβερίου τὴν αἰτίαν, ἀπεκρίνατο, αἰσθάνεσθαι κλημακτῆρα ἐγγὺς αὐτοῦ, καὶ τὸν Τιβέριον θαυμάσαντα ἐᾶσαι αὐτόν. οὗτος ἀκούσας τὰ περὶ τοῦ Χριστοῦ, διὰ βασιλικοῦ τύπου ἠβουλήθη ἀναγορεῦσαι Θεὸν, ἀλλὰ τοῦτο μὲν ἀντεπράχθη παρὰ τῆς συγκλήτου. Πιλάτῳ δὲ παραστάσιμος εἰς Ῥώμην ἤχθη, καὶ εἰς τοσαύτην πέπτωκε περίστασιν ὑπὸ Τιβερίου διὰ τὸ σταυρῶσαι τὸν Χριστὸν, ὥστε αὐτὸν φονεῦσαι. τὸν δὲ Τιβέριον[14] ὁ Γάϊος ἐν τῇ νόσῳ αὐτοῦ ἱμάτια πολλὰ ἐπιθεὶς ἀπέπνιξε. περὶ δὲ Τιβερίου φασὶν, ὅτι βραδέως τοὺς ἄρχοντας διεδέχετο φειδοῖ τῶν ὑπηκόων. καὶ ὅτι ἐρωτηθεὶς διατί οὕτως ποιεῖ, εἶπε τὴν παροιμίαν τῶν ἐπικαθημένων μυιῶν τῷ τραύματι, καὶ τοῦ θελήσαντος ἀποσοβῆσαι ταύτας, καὶ κωλυθέντος ὑπὸ τοῦ τραυματίου εἰπόντος, ἵνα μὴ ἄλλαι πεινῶσαι αἵματος ἐπέλθοιεν.

Ἐπὶ Τιβερίου ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ πεντεκαιδεκάτῳ ἔτει αὐτοῦ βαπτίζεται, ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τὸ σωτήριον ὑπέστη πάθος, ἐν ἔτει ͵εφλγ. γράφει δὲ καὶ Ἰώσηπος περὶ τοῦ Κυρίου ἡμῶν, "ἔτι κατὰ τοῦτον τὸν καιρὸν ἦν Ἰησοῦς "σοφὸς ἀνὴρ, εἴ γε αὐτὸν ἄνδρα λέγειν χρὴ, ἦν γὰρ παραδόξων "ἔργων ποιητὴς καὶ διδάσκαλος ἀνθρώπων, τῶν ἐν ἡδονῇ τὰ "ἀληθῆ δεχομένων." πολλοὺς γὰρ καὶ ἀπὸ Ἑλλήνων[15] ἠγάγετο. ὁ Χριστὸς οὗτος ἦν ὃν Πιλάτος σταυρώσας, οὐκ ἐξεπαύσαντο οἱ τὸ πρῶτον αὐτὸν ἀγαπήσαντες. ἐφάνη γὰρ αὐτοῖς τῇ τρίτῃ ἡμέρᾳ πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια εἰρηκότων. ἐπὶ Τιβερίου, μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν, ἐκλέγονται ὑπὸ τῶν Ἀποστόλων, Ματθίας ἀντὶ τοῦ προδότου, καὶ Ἰάκωβος ἀδελφὸς τοῦ Κυρίου πρῶτος Ἐπίσκοπος Ἱεροσολύμων, καὶ διάκονοι τὸν ἀριθμὸν ἑπτά· Στέφανος ὁ πρωτόμαρτυς, καὶ οἱ σὺν αὐτῷ· Φίλιππος δὲ ὁ ἐξ αὐτῶν εἷς ποιῶν ἐν Σαμαρείᾳ τεράστια, ἀρθεὶς ὑπὸ πνεύματος ἐπέστη Κανδάκῃ. οὗτος πρῶτος ἐβαπτίσθη ὑπὸ Φιλίππου ἐξ ἐθνῶν, τῆς προφητείας πληρωθείσης ἔργῳ· "Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς

14 Τιβέριος τῷ τρόπῳ καὶ τῇ γνώμῃ ἦν ἀπηνὴς καὶ οἴνου ἐλάττων· διὸ καὶ Ῥωμαῖοι Τιβέριον αὐτὸν ἐκάλουν, ὃ σημαίνει παρ' αὐτοῖς τὸν οἰνοπότην.

15 ὥς φησιν Εὐσέβιος.

“ τῷ Θεῷ.” ἀλλὰ καὶ Μάγοι Χριστὸν προσκυνήσαντες πρότερον τὴν τῶν ἐθνῶν κλῆσιν ᾐνίξαντο· καὶ Κορνήλιος πρῶτος ἐξ ἐθνῶν Πέτρῳ διὰ πίστεως προσῆλθεν. ἐπὶ τούτοις Παῦλος τὸ τῆς ἐκλογῆς σκεῦος, δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ Ἀπόστολος δείκνυται.

## ΓΑΪΟΣ.

,εφμη κατὰ τὴν σδʹ.

Γάϊος ἐβασίλευσεν ἔτη τρία καὶ μῆνας θ̄. ἦν δὲ μοιχικώτατος πάνυ. οὗτος ποτὲ προϊὼν κατὰ τὴν ἀγορὰν, καὶ πηλὸν ἐν τῇ ὁδῷ ἰδὼν, ἤγαγε Φλάβιον Οὐεσπασιανὸν, τότε ἀγορανόμον ὄντα, καὶ ὡς ἀμελήσαντος, τὸν πηλὸν ἐς τὴν ἐσθῆτα αὐτοῦ βληθῆναι ἐκέλευσεν, ὅπερ ἐσήμαινε τὰ κοινὰ τεταραγμένα αὐτὸν ὑπολήψεσθαι. οὗτος ἐσφάγη ὑπὸ Κλαυδίου. ἐπὶ Γαΐου Ἀγρίππας βασιλεύει τῆς Ἰουδαίας, καὶ Σίμων ὁ Μάγος παρὰ Φιλίππου βαπτίζεται, ἑνὸς τῶν ζ̄ διακόνων.

## ΚΛΑΥΔΙΟΣ.

,εφξή κατὰ τὴν σέ.

Κλαύδιος ἐβασίλευσεν ἔτη ιγ̄ μῆνας ε̄. οὗτος δειλὸς ὢν πάντας τοὺς προσιόντας αὐτῷ ἐποίησεν ἐρευνᾶσθαι, μήτι ξιφίδιον ἔχουσι, καὶ ἐν τοῖς συμποσίοις ὡπλισμένοι εἰς φυλακὴν παρειστήκεισαν αὐτῷ· ἐξ οὗ καὶ εἰς τοὺς λοιποὺς εἴθιστο γίνεσθαι, καὶ τοὺς κατηγορήσαντας τῶν ἰδίων δεσποτῶν δούλους καὶ ἀπελευθέρους μονομαχεῖν ἠνάγκαζε, καὶ διαφέρεσθαι. τινὰς δὲ καὶ τοῖς οἰκείοις παραδέκωκε δεσπόταις. μύκητα δὲ πεφαρμαγμένον[16] φαγὼν ἐτελεύτησεν. ἐπὶ Κλαυδίου Ἀγρίππας, ὁ καὶ Ἡρώδης, ἀνεῖλεν Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ, καὶ Πέτρον ἔθετο ἐν φυλακῇ, ὡς ἀναιρήσων αὐτόν. Σίμων δὲ ὁ Μαγὸς τὸν Χριστιανισμὸν ἀποβαλλόμενος καὶ Μάγοις προσομιλήσας, ἐν Ῥώμῃ κατελθὼν ὡς Θεὸς ἐτιμᾶτο τὲ καὶ ἐσέβετο, διὰ τὰς ὑπ' αὐτοῦ γοητείας. Πέτρου δὲ διὰ ταῦτα ἐπιδημήσαντος τῇ Ῥώμῃ· ἡ μὲν τοῦ Σίμωνος ἀπέβη, καὶ παραχρῆμα σὺν τῷ ἀνδρὶ καταλέλυτο, δύναμις· παρακλήσει δὲ πάντων Μάρκον προετρέψατο Πέτρος ἐκ τῆς διὰ λόγου αὐτοῦ διδαχῆς Ῥωμαίοις τὸ Εὐαγγέλιον γράψαι. ὁ δὴ Μάρκος καὶ ἐν τῇ Αἰγύπτῳ στείλας, πρῶτος ἐπίσκοπος καὶ κήρυξ Ἀλεξανδρείας καθίσταται. Ἀγρίππας δὲ λαμπρὰν καὶ χρυσοῦφῆ ἐσθῆτα περιβαλλόμενος ἐδημηγόρησεν Ἰουδαίοις· τῶν δὲ φησάντων Θεοῦ φωνὴ

16 πεφραγμένον Cod.

καὶ οὐκ ἀνθρώπων, ἡσθεὶς ἐπὶ τούτῳ, αὐτίκα παρ' ἀγγέλου ῥομφαίᾳ πληγεὶς τελειοῦται.

### Νέρων ὁ υἱὸς Κλαυδίου.

,εφρέ γ'. της σή'. Νέρων ἐβασίλευσεν ἔτη ιγ̄, μῆνας η̄, περὶ οὗ λόγιον ἦν

ἔσχατος Αἰνεαδῶν μητροκτόνος ἡγεμονεύσει.

κατήγετο γὰρ ἐκ τῆς γενεᾶς Αἰνείου καὶ Ῥωμύλου καὶ Αὐγούστου· ὃς τὴν μητέρα καὶ τὴν μνηστὴν ἀνελὼν, εὐνοῦχον ἔγημεν. οὗτος ἀνεῖλε τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον, καὶ πολλοὺς ἑτέρους μάρτυρας. ᾧ τινι διὰ τὸν αἰσχρὸν καὶ ἀσελγῆ βίον αὐτοῦ, ἐπέθεντο τινὲς ἀναιρήσοντες. ὁ δὲ παρεκάλει τοὺς συνόντας αὐτῷ ἀνελεῖν αὐτόν. ὡς δὲ οὐδεὶς τοῦτο ἠνέσχετο πρᾶξαι, "ἐγὼ μόνος," ἔφη, "οὔτε φίλον ἔχω τὸν σώζοντα, οὔτε ἐχθρὸν τὸν ἀναιροῦντά "με. ἀποθανεῖν θέλει ἡ ψυχὴ, καὶ ἡ χεὶρ οὐχ ὑπηρετεῖ." τελευταῖον δὲ εἰπὼν, "ὦ Ζεῦ, οἷος τεχνίτης κιθαρῳδὸς ἀπόλλυται," ἑαυτὸν ἀνεῖλεν. ἀποθανόντος δὲ αὐτοῦ, πολλάκις ὡς ἐλευθερούμενοι Ῥωμαῖοι ἐφόρεσαν, παρ' οὗ καὶ Ἀβλάβιος περὶ τῆς κατ' αὐτοῦ ἐπιθέσεως, ὡς οἰκεῖος αὐτοῦ ὢν, ἐρωτηθεὶς ἔφη, "ἐφίλησά σε "παντὸς μᾶλλον, καὶ ἐμίσησα· ἐφίλησα ἐλπίδας ἀγαθὸν αὐτο-"κράτορα ἔσεσθαι, μισῶ δὲ, ὅτι ταῦτα ποιεῖς. οὔτε γὰρ ἁρματη-"λάτῃ οὔτε κυνηγῷ οὔτε κιθαρῳδῷ δουλεύειν δύναμαι." εἶτα Γάλβας μὴ ὢν ἐξ αἵματος βασιλικοῦ διεδέξατο αὐτόν. Ἀγρίππα τελευτήσαντος, Φῆστος καθίσταται διάδοχος ὑπὸ Νέρωνος. Παῦλος δὲ κηρύσσων τὸ Εὐαγγέλιον δικαιολογησάμενος ἐπὶ Φήστου πέμπεται πρὸς Νέρωνα. καὶ τὸ μὲν ἀπολογεῖται, δεύτερον δὲ ἐν Ῥώμῃ ἐλθὼν τὴν κεφαλὴν ἀποτέμνεται παρὰ Νέρωνος. ὡσαύτως καὶ Πέτρον τὸν κορυφαῖον ἀνασκολοπισθῆναι προστάττει. ἐπὶ τούτου Ἰουδαῖοι Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου ἀπὸ τοῦ πτερυγίου τοῦ ἱεροῦ ὠθήσαντες, ἐφόνευσαν· καὶ παρευθὺ διὰ τὴν τούτου ἀναίρεσιν Οὐεσπασιανὸς, στρατηγὸς ὢν Ῥωμαίων, πορθεῖ τὰ Ἱεροσόλυμα, ὡς Ἰώσηπος ἱστορεῖ.

### Γάλβας.

,εφοζ' δ'. τῆς σιά. Γάλβας ἐβασίλευσε μῆνας θ̄ ἡμέρας ιγ̄· ἦν δὲ τῶν εὐπατριδῶν· εἶχε δὲ παραδυναστεύοντα τὸν Ὄθωνα, ὃς ἰδὼν τὸν Γάλβαν Λούκιον

εἰς υἱοθεσίαν παραλαβόντα φθονήσας, καὶ τὸ στράτευμα κατ' αὐτοῦ κινήσας, ἀπέκτεινεν αὐτόν. ἀπαιτούμενος δὲ ὁ Ὄθων χρήματα παρὰ τῶν στρατιωτῶν, ἃ ὑπέσχετο αὐτοῖς, ἔφη, οὐ δεῖ αὐτοκράτορα ἀναγκάζεσθαι. Ὄθων[14] ἐβασίλευσε μῆνας τρεῖς, ἡμέρας η, ἦν δὲ γένους ἀσήμου. θύων δέ ποτε ἐν τῷ ἱερῷ, τὰ τῆς Ἀφροδίτης ᾄσματα τοῖς ἱεροῖς παρέμιξε. καὶ διὰ τοῦτο Βιταλίου αὐτῷ ἐπαναστάντος, ξιφιδίῳ ἑαυτὸν διεχειρίσατο, εἰπών, "τί γάρ "με ἔδει μακροῖς αὐλοῖς αὐλεῖν·" Γάλβας καὶ Ὄθων καὶ Βιτάλιος ἐν πολέμοις ὄντες, ὑπὸ στρατιωτῶν ἀνῃρέθησαν. Οὐεσπανιανὸν δὲ τὰ Ἱεροσόλυμα ἐκπορθοῦντα, ὡς ἐχέφρονα καὶ ἀνδρεῖον ἡ τῶν Ῥωμαίων σύγκλητος ἀνηγόρευσε βασιλέα.

## Βιτάλιος[15].

Βιτάλιος[16] ἐβασίλευσεν ἔτος ἕν, γένους ἐπιφανοῦς ὤν· οὗτος ἀστρολόγους καὶ ἀστρονόμους καὶ γόητας ἐντὸς ῥητῆς ἡμέρας πάντας ἐκχωρῆσαι τῆς Ἰταλίας προσέταξεν, ᾧ καὶ πρόγραμμα ἔρριψαν προαγγέλλοντες ἐντὸς ἡμέρας ῥητῆς ἀπαλλαγήσεσθαι αὐτὸν τοῦ βίου, ὃ δὴ καὶ γέγονεν· ἐσφάγη δὲ ὑπὸ στρατιωτῶν.

## Οὐεσπασιανός.

͵εφπϛ' τῆς σιβ'. Οὐεσπασιανὸς[17] ἐβασίλευσεν ἔτη δέκα, ἡμέρας ὀκτώ· ἦν δὲ γονέων ἀσήμων. αὐτοκράτωρ δὲ γέγονεν ἐν Παλαιστίνῃ, ἔτι τὰς πόλεις τῶν Ἰουδαίων πολιορκῶν· ὅστις καὶ Ἰώσηπον τὸν συγγραφέα ὑποχείριον ἐποιήσατο. ἀνήχθη δὲ ἐν Ῥώμῃ ἀναγορευθεὶς ὑπὸ τοῦ στρατοῦ βασιλεύς· καταλιπὼν Τῖτον τὸν υἱὸν αὐτοῦ τὴν Παλαιστίνην πολιορκεῖν. οὗτος τελευτᾷ νόσῳ περὶ τῆς Οὐεσπασιανοῦ ἁλώσεως τῆς Ἱερουσαλὴμ καὶ Τίτου υἱοῦ αὐτοῦ, Ἰώσηπος θαυμαστῶς ἱστορεῖ.

## Τῖτος υἱὸς Οὐεσπασιανοῦ.

͵εφπθ' δ' τῆς σιδ'. Τῖτος ἐβασίλευσεν ἔτη δύο μῆνας γ. οὗτος πολιορκεῖ τὰ Ἱεροσόλυμα. ἀνῃρέθη δὲ ὑπὸ Δομετιανοῦ ἀδελφοῦ, ὃς νοσήσαντα

14 Ὄθων ὁ Λουκίβιος. 15 Deest tit. in Cod. 16 Βιτάλιος Οὐιτίλιος.
17 Οὐεσπασιανῷ σὺν Τίτῳ υἱῷ τῷ πρώτῳ ἔτει αὐτ ἡ ἐσχάτη ἅλωσις τοὺς Ἰουδαίους κατέλαβε, διαρκέσαντας ἀπὸ Ἡρῴδου τοῦ πρώτου ἔτη ρε'.

ἔβαλεν αὐτὸν εἰς λάρνακα ξυλίνην χιόνος γέμουσαν, ὡς δῆθεν θεραπεύσων, καὶ ἀπέκτεινε. Τῖτος ἀπειλαῖς οὐ τιμωρίαις ἐφόβει μόνον. βασιλεύοντος οὖν αὐτοῦ, οὐ παρῆλθεν ἡμέρα ἐν ᾗ τὶ δῶρον τινὶ ἢ εὐεργεσίαν οὐ παρέσχε· βασιλέως γάρ ἐστι τὸ εὐεργετεῖν καὶ ἀληθεύειν. ἔλεγε δὲ ὅτι τὸν βλέποντα βασιλέα οὐ δεῖ ἐξέρχεσθαι λυπούμενον.

## Δομετιανός.

,εχα' τῆς σιε'. Δομετιανὸς ἐβασίλευσεν ἔτη ιε, μῆνας ια. οὗτος τὰς γενέσεις τῶν πρώτων τῆς Ῥώμης ἐρευνῶν, καὶ οὐκ ὀλίγους εὑρίσκων ἐν δυνάμει ἔσεσθαι, ἀνῄρει διὰ προφάσεως, ἀνοσιουργὸς ὤν, καὶ ἀνδρομανίας ἀνάμεστος· ἐφ' οὗ Τιμόθεος ὁ Ἀπόστολος ἐμαρτύρησε, καὶ Ἰωάννης ὁ Εὐαγγελιστὴς ὡς ὑπεύθυνος ἐν Πάτμῳ τῇ νήσῳ ἐξώριστο. ὁ δέ γε Ἀπολλώνιος ὁ Τυανεὺς τῷ τότε καιρῷ ἀκμάζων, ἐν Βυζαντίῳ ἐλθὼν, καὶ παρακληθεὶς ὑπό τινων ἐστοιχείωσεν ὄφεις μὲν καὶ σκορπίους μὴ πλήσσειν, κώνωπας μὴ παρεῖναι, ἵππους μὴ κατοφρυοῦσθαι, μήτε μὴν ἀγριαίνεσθαι, ἢ κατά τινος ἢ κατ' ἀλλήλων. οὗτος ὁ Δομετιανὸς Νερούαν ἐκέλευσεν ζῶντα βληθῆναι εἰς πῦρ, τῶν ἀστρονόμων εἰπόντων ὑπὸ κυνῶν τοῦτον ἀναλωθήσεσθαι· ὑετὸς δὲ κατενεχθεὶς πολὺς τὴν πυρὰν κατέσβεσε, καὶ δεδεμένου ἔτι τὼ χεῖρε κύνες ἀφεθέντες κατέφαγον. Λάρπος δὲ ἀστρονόμος εἶπεν εἰς ὄψιν τῷ Δομετιανῷ τεθνήξεσθαι ἡμέρᾳ τῇδε. ὁ δὲ ἐκέλευσεν αὐτὸν τηρηθῆναι ἐν δεσμῷ, ὡς ἂν τῆς ἡμέρας διελθούσης, τῇ ἐπαύριον ἀναιρήσειν· ἀλλὰ θανόντος Δομετιανοῦ ἀπελύθη ἀβλαβής. Δομετιανὸς τοὺς ἀπὸ γένους Δαυὶδ καὶ Χριστοῦ ἀναιρεῖσθαι προσέταξεν· ἐδεδίει γὰρ τὴν παρουσίαν τοῦ Κυρίου, ὡς καὶ Ἡρώδης· τοῦ κηρύγματος ἤδη δύναμιν λαμβάνοντος. ἤγαγον οὖν συγγενεῖς τοῦ Κυρίου πρὸς Δομετιανὸν, καὶ ἐπηρώτησεν εἰ ἐκ Δαυὶδ καὶ Χριστοῦ εἰσί; καὶ ὡμολόγησαν· καὶ πόσων ἔφη χρημάτων κυριεύετε; ἐννέα φησὶ δηναρίων οἱ πάντες καὶ πλέθρων γῆς ὀλίγων, ἐξ ὧν καὶ τοὺς φόρτους ἀναφέρομεν· καὶ τὰς χεῖρας σκληρὰς ἐκ τῆς ἐργασίας ἐδείκνυον. ὁ δὲ καὶ ὁποία τίς ἐστιν ἡ τοῦ Χριστοῦ βασιλέα; καὶ πότε φανησομένη; αὖθις ἠρώτησεν. οἱ δὲ ἔφασαν, ὡς οὐ κοσμικὴ μὲν οὐδὲ ἐπίγειος, ἐπουρανίος δὲ καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων, ὅταν ἔλθῃ ἐν δόξῃ κρίναι ζῶντας καὶ νεκρούς· ἐφ' οἷς αὐτῶν καταφρονήσαντα, ἐλευθέρους μὲν

αὐτοὺς ἀφεῖναι κελεύσας, τὸν δὲ τῆς ἐκκλησίας διωγμὸν καταπαῦσαι.

### Νέρβας ὁ καὶ Μάρκος.

ϛχέ κατὰ τὴν σιθ'.

Νέρβας ἐβασίλευσεν ἔτος ἕν, μῆνας δ̄, σώφρων ὢν καὶ ἐπιεικής. οὗτος ἀνεκαλέσατο τῆς ἐξορίας, ἀποστείλας αὐτὸν ἐν Ἐφέσῳ, ἔνθα καὶ τελευτᾷ. ἐκ Παιονίας δὲ ἀγγελία ἐπινικίων ἐλθοῦσα παρὰ Τραϊανοῦ, ἀνελθὼν ἐν τῷ Καπετωλίῳ καὶ λιβανωτὸν ἐπιθύσας, στάς τε ἐπὶ βήματος καὶ μεγάλα βοῶν, τῆς τε βουλῆς καὶ τοῦ δήμου τῶν Ῥωμαίων παρόντων, ἔφη, "ἀγαθῇ τύχῃ Μάρκος "Νέρβας Τραϊανὸν υἱοποιοῦμαι·" οὗτος ἀπηγόρευσε τοῦ ἐκτέμνειν τινῶν τὰ αἰδοῖα ἐν Ῥώμῃ· καὶ νόσῳ τελευτᾷ.

### Τραϊανός.

ϛ . . . τῆς σιθ'.

Τραϊανὸς ἐβασίλευσεν ἔτη ιθ̄, μῆνας ϛ̄. ὃς ἦν μισοπόνηρος καὶ φιλοδίκαιος. γυμνώσας γάρ ποτε ξίφος ἐνώπιον τῶν ἐν τέλει πάντων ἐπέδωκε τῷ ἐπάρχῳ λέγων, "δέξαι τοῦτο, καὶ εἰ μὲν καλῶς "ἄρχω, ὑπὲρ ἐμοῦ, εἰ δὲ μὴ, κατ' ἐμοῦ αὐτὸ χρῆσαι." προεχειρίσθη δὲ ὑπὸ Νέρβα διὰ τὴν ἀρετὴν αὐτοῦ, ὡς πολεμικώτατος· καὶ πολλὰ κατορθώματα ἐν Ῥώμῃ, καὶ πανταχοῦ πεποιηκώς. φίλου δέ τινος αὐτῷ ποτὲ διαβληθέντος ὡς ἐπιβούλου, καὶ τούς τε ὀφθαλμοὺς ἐκκεντηθέντος, καὶ τὸ γένειον ἀποκειραμένου, ἐπεὶ τυφλὸς πρὸς Τραϊανὸν εἰσήχθη, πολλὰ λυπηθεὶς ἐπὶ τούτῳ, πόλιν τε κτίσας ἐπὶ τῷ ὀνόματι αὐτοῦ, τὴν νῦν Τραϊανούπολιν ὀνομαζομένην, καὶ τοῦτον κατοικτείρας, ὡς δεσπότων τῆς πόλεως ἐκεῖσε ἀπέστειλεν ἕως τῆς αὐτοῦ τελευτῆς. θνήσκει δὲ Ἀδριανὸν προχειρισάμενος εἰς βασιλέα. ἐπὶ τούτου ἐμαρτύρησεν ὁ ἅγιος Ἰγνάτιος ὁ θεοφόρος, καὶ Συμεὼν ὁ τοῦ Κλεόπα. Τραϊανὸς προσέταξε τὸ Χριστιανῶν φῦλον μὴ ἐκζητεῖσθαι μὲν, ἐμπεσὼν δὲ κολάζεσθαι· ἐπὶ αὐτοῦ Σίμωνα τὸν μάγον Μένανδρος διεδέξατο, γόης καὶ ἀπατεὼν, Σαμαρεὺς τὸ γένος, ἑαυτὸν Χριστὸν ὀνομάζων. ἦν δὲ καὶ Κήρινθος[17] αἱρεσιάρχης τότε, καὶ Νικόλαος εἷς τῶν ἑπτὰ διακόνων.

### Ἀδριανὸς Αἴλιος.

ϛχμέ κατὰ τὴν σκδ'.

Ἀδριανὸς Αἴλιος ἐβασίλευσεν ἔτη κ̄, μῆνας ιᾱ. ἦν δὲ φιλολό-

17 Cod. κίρινθος.

18 Ἀδριὰν . . λιος κατὰ τούτους τοὺς χρόνους Πλούταρχος ὁ Χερονεὺς καὶ . . . . ων ὁ χρονογράφος.

γος, ἐπιτήδειος ἔν τε τῷ πεζῷ λόγῳ καὶ τῷ ἐμμέτρῳ, συγγενὴς καὶ υἱοπεποιημένος τῷ Τραϊανῷ. οὗτος ἐν Μυσίᾳ ἔνθα ἐθήρασεν, ᾠκοδόμησε πόλιν, καὶ ἐκάλεσεν αὐτὴν Ἀδριανοῦ θήρας ἐν τοῖς μιτάτοις[18]. καὶ ἑτέραν πόλιν ἐν τῇ Θράκῃ ἐπ' ὀνόματι αὐτοῦ. οὗτος καὶ τὴν Ἰουδαίων πόλιν κατέστρεψε διὰ τὸ βουληθῆναι τοὺς Ἰουδαίους ἀνοικοδομῆσαι τὸν ἐν Ἱεροσολύμοις ναὸν, καὶ ἐν μιᾷ ἡμέρᾳ πεντηκονταοκτὼ μυριάδας ἀνεῖλε. σημεῖον δὲ γέγονε τῆς ἀναλώσεως αὐτῶν, ὡς τὸ τοῦ Σολομῶντος μνημεῖον αὐτομάτως διαλυθῆναι, τὰ δὲ παλαιὰ λείψαντα τῆς πόλεως ἐρειπίσας καὶ ἐρημώσας, κτίζει ἐπὶ τῷ ἰδίῳ ὀνόματι τὴν πόλιν Αἰλίαν αὐτὴν ἐπονομάσας. ἐν δὲ τῷ ναῷ τὸν αὐτοῦ ἀνδριάντα ἀνεστήλωσε, διὰ τὸ εἶναι αὐτὸν λωβὸν, ὅπως εὕρῃ ἴασιν· Σίμιλον δέ τινα ἔν τε φρονήσει καὶ ἐπιεικείᾳ καὶ ἀρεταῖς πολλαῖς κεκοσμημένον πάνυ ἐτίμα, καὶ ἐν μεγάλῃ ἀρχῇ ἐτίμησεν αὐτόν· ἀλλ' ἐπ' ὀλίγον τῆς ἀρχῆς κρατήσας, δεηθεὶς ἐξέστη αὐτῆς, καὶ ἐν ἀγρῷ ἑπτὰ ἔτη διατρίψας ἐτελεύτησεν, ἐπιγραφῆναι προστάξας ἐν τῷ μνήματι αὐτοῦ οὕτως. "Σίμιλος ἐνταῦθα κατάκειται, βιώσας μὲν ἔτη "τόσα, ζήσας δὲ ἑπτά." θνήσκει δὲ Ἀδριανὸς Ἀντωνῖνον προχειρισάμενος. ἀπέθανε δὲ βίᾳ τῆς νόσου κράζων, "ὦ Ζεῦ, πόσον κακόν "ἐστιν ἐπιθυμοῦντα τινὰ ἀποθανεῖν καὶ μὴ τυγχάνειν." ἐπὶ Ἀδριανοῦ ὑπῆρχον αἱρεσιῶται, ἐχθροὶ τῆς τῶν Χριστιανῶν πίστεως, Σατορνῖνος καὶ Βασιλείδης καὶ Καρποκράτης.

## Ἀντωνῖνος ὁ Εὐσεβής.

Ἀντωνῖνος[19] ὁ Εὐσεβὴς ἐβασίλευσεν ἔτη κδ̄, υἱοποιηθεὶς τῷ Ἀδριανῷ· καὶ πρῶτος τῶν αὐτοκρατόρων Εὐσεβὴς ἐπεκλήθη· πᾶσαν γὰρ ἀρετὴν ἐπεκτήσατο. θνήσκει δὲ προβαλλόμενος εἰς βασιλέα Μάρκον Ἀντωνῖνον τὸν ἴδιον γαμβρόν. ἐπὶ Ἀντωνίνου Οὐΐρου Βαρδισάνης[20] τις Σύρος διαλεκτικώτατος καὶ σοφὸς ἦν, ὥστε θαυμάζεσθαι αὐτοῦ τὸν πρὸς Ἀντωνῖνον κατὰ εἱμαρμένης λόγον.

[18] Sic. ita et Cedren. [19] Ἀντωνῖνος ὁ εὐσεβὴς ὁ καὶ Οὔϊρος ͵εχξη τῆς σκθ' ἐπὶ αὐτοῦ ἐγνωρίζοντο Οὐαλεντιανὸς καὶ Κέρδων καὶ Μαρκίων αἱρεσιάρχαι ἐν Ῥώμῃ. [20] Βαρδισάνις Cod.

## Μάρκος Ἀντωνῖνος ὁ φιλόσοφος, καὶ Βῆρος ὁ γαμβρὸς αὐτοῦ.

,ϛχπζ' κατὰ τὴν σλε'.

Μάρκος[21] Ἀντωνῖνος ἐβασίλευσεν ἔτη ιθ μετὰ Βήρου τοῦ γαμβροῦ αὐτοῦ. οὗτος ὁ Μάρκος σοφὸς ἦν πάνυ καὶ ἐνάρετος, καὶ τὴν πόλιν ἐκ πολλῶν πολέμων διασωσάμενος, καὶ ἀγαπηθεὶς ὑπὸ τῶν πολιτῶν σφόδρα, ἀπέθανε φαρμακευθεὶς ὑπὸ Κομόδου τοῦ ἰδίου υἱοῦ. τὴν δὲ μνήμην τῆς ἀρετῆς αὐτοῦ ἡ βουλὴ ἔχουσα, μετὰ τὴν αὐτοῦ τελευτὴν, χρυσῷ ἀνδριάντι αὐτὸν ἐτίμησε. πολεμοῦντος Μάρκου Γερμανοὺς καὶ Σαυρομάτας, δίψει τῆς στρατειὰς πιεζομένης, καὶ διὰ τοῦτο κινδυνευούσης, τοὺς ἐπὶ τῆς Μελιτινῆς οὕτω καλουμένης λεγεῶνος Χριστιανοὺς ὄντας, δι' εὐχῆς ἐκτενοῦς πρὸς Θεὸν γινομένης, ἱστορεῖται τοὺς μὲν πολεμίους κεραυνῷ βαλεῖν, ὄμβρῳ δὲ τοὺς Ῥωμαίους παραμυθήσασθαι· ὅπερ, ὥς φασι, σφοδρῶς καταπλῆξαν τὸν Μάρκον, γράφει τιμῆσαι Χριστιανοὺς, τὴν δὲ λεγεῶνα κεραυνοβόλον προσαγορεῦσαι.

## Κόμοδος ὁ υἱὸς Μάρκου.

,εψδ' τῆς σλθ'.

Κόμοδος υἱὸς Μάρκου ἐβασίλευσεν ἔτη ιβ μῆνας ε. οὗτος εἶχε τρίχας ξανθὰς εἰκασμένας χρυσῷ. ἦν δὲ μοιχικώτατος πάνυ καὶ φιλοκύνηγος. ὅν φασιν ἐν μιᾷ ἡμέρᾳ δώδεκα λέοντας φονεῦσαι. γεγόνε δὲ ποδαλγὸς καὶ καταβαρής. συνέβη δὲ πολλὰ τοὺς κατὰ τὴν Ῥώμην παθεῖν ἐν ταῖς ἡμέραις αὐτοῦ. Νάρκισος δέ τις τῶν οἰκείων αὐτοῦ, ἀπέπνιξεν αὐτόν ἐν τῷ λουτρῷ. ἐπὶ Κομόδου[22] Κλήμης ὁ Στρωματεὺς ἐν Ἀλεξανδρείᾳ ἐγνωρίζετο. Κλήμεντος δὲ φοιτητὴς Ὠριγένης ἐγένετο, ἀλλὰ καὶ Μοντανὸς αἱρεσιάρχης τότε ἦν, ὃς ἑαυτὸν παράκλητον ἔλεγεν εἶναι.

## Περτίναξ.

,εψά[23] κατὰ τὴν σμά.

Περτίναξ ἐβασίλευσεν ἡμέρας πζ, μήτε τὴν γυναῖκα μήτε τὰ τέκνα εἰς τὸ παλάτιον ἀγαγὼν, ἀλλ' ἐάσας παρὰ τῷ πάππῳ διαιτᾶσθαι. οὗτος ἐσφάγη παρὰ τῶν στρατιωτῶν. ἐπὶ Περτίνακος εἷς τῶν ἑρμηνευτῶν Ἐβιωναίος[24] τὴν αἵρεσιν ἦν· ἀλλὰ καὶ

21 Μάρκος Ἀντωνῖνος Σεβῆρος ὁ γαμβρὸς αὐ . . . . Ὀπιανὸς ὁ . . . . γρα . . . . .

22 Ὥς φησιν Ἀφρικανὸς ὁ σοφώτατος. 23 Sic. 24 Cod. ἐβίω νέος.

Πορφύριος φιλόσοφος ὁ κατὰ Χριστιανῶν γράψας, καὶ Ἀφρικανὸς[23] ὁ σοφώτατος.

### Ἰουλιανὸς Δίδιος.

Ἰουλιανὸς Δίδιος ἐβασίλευσεν ἡμέρας ξ̅ς̅, φαυλότατος τοῖς τρόποις, καὶ τοῖς ἔργοις ἀνοσιουργὸς καὶ χρημάτων ἐραστής· οὗτος διὰ ταῦτα ἐσφάγη ψήφῳ τῆς βουλῆς, μεγάλα ἐπιβοώμενος "τί "γὰρ δεινὸν ἐποίησα;"

### Σευῆρος.

,εψ . . . . β τῆς σμγ'.

Σευῆρος ἐβασίλευσεν ἔτη ι̅ζ̅ μῆνας η̅. οὗτος τὸ Βυζάντιον παραλαβὼν, τὰ τείχη αὐτοῦ καθεῖλεν. εἶχε δὲ πύργους ἑπτὰ, ἐκ τῶν Θρᾳκικῶν πυλῶν ἀρχομένους, καὶ ἐπὶ τὴν ἀρκτώαν θάλασσαν καθήκοντας· καὶ τούτων εἴ τις ἐν ἑτέρῳ πύργῳ προσῆλθεν, οὐδὲ μία αἴσθησις τοῖς ἄλλοις ἐγίνετο· εἰ δὲ ἐν τῷ πρώτῳ πύργῳ ἀνεβόησεν ἢ καὶ λίθον ἐσάλευσεν, αὐτός τε ἤχει, καὶ τῷ δευτέρῳ καὶ τοῖς λοιποῖς πᾶσιν ἐφεξῆς μετεδίδου τῆς ἠχῆς. οὗτος καὶ τὸ Ζεύξιππον λοετρὸν ἔκτισε Βυζαντίοις, καὶ τὸ πρῶτον κτίσμα τῷ ἱπποδρομίῳ παρέδωκε. καὶ κυνήγιον καὶ θέατρον αὐτοῖς κατεσκεύασεν. ἐπὶ τούτου ἤκμαζε καὶ [24] Ὠριγένης, ὃς ἐνέσπειρεν ἐπὶ τῆς γῆς πονηρὰ ζιζάνια, καὶ πᾶσαν ἀκαθαρσίαν ἐπεδείξατο. ἐμαρτύρησε δὲ καὶ Λεωνίδης ὁ πατὴρ Ὠριγένους. νοσηλευθεὶς δὲ ὁ βασιλεὺς ἐτελεύτησεν ἐν πολέμῳ. οὗτος τὸν ἐν Βρεττανίᾳ νικήσας πόλεμον, ἀπὸ θαλάσσης εἰς θάλασσαν περιετείχισε τὴν νῆσον σταδίοις χιλίοις.

### Ἀντωνῖνος υἱὸς Σευήρου ὁ Καράκαλλος.

,εψκέ τῆς σμζ'.

Ἀντωνῖνος υἱὸς Σευήρου ἐβασίλευσεν ἔτη ς̅ μῆνας β̅. οὗτος τὸν ἴδιον ἀδελφὸν ἐν τῷ κόλπῳ τῆς μητρὸς ἀπέσφαξε. Σαραπίων δέ τις μαθηματικὸς ἔλεγεν, ὡς τεθνήξεται Ἀντωνῖνος, καὶ Μακρῖνος αὐτὸν διαδέξεται, καὶ ἔδειξεν αὐτῷ τῷ δακτύλῳ παρεστῶτα μετὰ τῆς συγκλήτου. ὁ δὲ ὑπὸ θυμοῦ μᾶλλον δὲ ὑπὸ τῆς τύχης οὐ συνῆκε τῷ προσώπῳ Μακρίνου, ἀλλ' ἕτερον τὸν πλησίον ἐκέλευσεν

23 ὁ χρονογράφος.

24 ὁ Ὠριγένης αἱρεσιάρχης ὢν μετεμψύχωσιν ἐδόξαζεν ἀπ' ἄλλου εἰς ἄλλον μεταβαίνου.

ἀποκτανθῆναι. ὁ δὲ Μακρῖνος ἐσπούδαζε τὸν Ἀντωνῖνον προκαταλαβεῖν, καὶ τοῦ Ἀντωνίνου ἀπὸ τοῦ ἵππου κατελθόντος ἐν κυνηγίῳ εἰς ἀπόπατον, ἑκατόνταρχον ἀποστείλας τοῦτον τῷ ξίφει ἀνεῖλεν, εἰπὼν πρὸς αὐτὸν, "ὡς σὺ τὸν ἀδελφὸν ἀπέσφαξας, οὕτω κἀγὼ "σέ." ἐπὶ Ἀντωνίνου Ὠριγένης διάφορα συγγράμματα καταλέλειπε μετὰ καὶ τῆς τῶν Ἑβραίων σημειώσεως, τὰ λεγόμενα ἑξαπλᾶ.

### Μακρῖνος.

,εψκϛ′ β τῆς . . . .

Μακρῖνος ἐβασίλευσεν ἔτος ἓν, μῆνας δύο. Εὐτυχιανὸς δέ τις παραλαβὼν τὸν Ἄβιτον, ὡς Ἀντωνίνου υἱὸν μοίχειον, περιτέθεικε διάδημα, καὶ αὐτοκράτορα ἀνηγόρευσε· καὶ δοὺς χρυσίον τοῖς στρατιώταις, συνέβαλε πόλεμον μετὰ Μακρίνου, καὶ ἡττηθεὶς Μακρῖνος, ἔφυγε καὶ ἀπεσφάγη μετὰ τῶν υἱῶν αὐτοῦ.

### Ἄβιτος.

[24] Ἄβιτος ἐβασίλευσεν ἔτη τρία μῆνας ἐννέα. οὗτος γυναικώδης ἦν, ὥστε καὶ Ἱεροκλέα ἔννομον αὐτοῦ ἄνδρα ποιῆσαι. ἐσφάγη δὲ διὰ τὰς ἀκαθαρσίας αὐτοῦ, κακῶς τὸ ζῆν ἀπορρήξας, καὶ ἐβασίλευσεν Ἀλέξανδρος ἐξάδελφος αὐτοῦ. Ἄβιτος [25] τὸν ἰατρὸν ἠντιβόλει διφυῆ αὐτὸν διὰ τομῆς ἐμπροσθίου τῇ τέχνῃ ποιεῖσθαι.

### Ἀλέξανδρος.

,εψμε′ β τῆς σν′.

Ἀλέξανδρος ὁ Μαμαίας ἐβασίλευσεν ἔτη ιγ̄ μῆνας η̄. ἐπὶ αὐτοῦ γέγονε λιμὸς ἐν Ῥώμῃ, ὥστε καὶ κρεῶν αὐτοὺς ἀνθρωπίνων ἅψασθαι· οὗτος ἐκστρατεύσας κατὰ Περσῶν, προεβάλοντο οἱ στρατιῶται Μαξιμῖνον. Μαμαία ἡ Ἀλεξάνδρου μήτηρ, θεοσεβὴς ἐτύγχανε, καὶ τὸν Ὠριγένην ἐν Ἀντιοχείᾳ διατρίβοντα μετεπέμψατο πρὸς αὐτὴν, τοῦ διδαχθῆναι τὸ κατὰ Χριστὸν μυστήριον.

### Μαξιμῖνος.

Μαξιμῖνος ἐβασίλευσεν ἔτη ϛ̄. οὗτος ποιμὴν ὢν, καὶ μετὰ ταῦτα στρατιώτης γεγονὼς, εἶθ' οὕτως στρατηγὸς Ἀλεξανδρείας, ὑπὸ τοῦ δήμου καὶ τῆς βουλῆς προεβλήθη βασιλεὺς δι' ἀνδρείαν

24 Ἄβιτος Ἀντώνιος· Βασιὰν ὁ καὶ Ἡλιογάβαλος. 25 ὥς φησι Δίων.

καὶ φρόνησιν, μετὰ δὲ ταῦτα ἀπεσφάγη δολίως παρὰ Μαξίμου καὶ Βαλβίνου, ἄξιον τῆς ἑαυτοῦ ἀνοσιουργοῦ γνώμης εὑρὼν τὸ τέλος. Μαξιμῖνος ἔχθει τῷ πρὸς Ἀλεξάνδρειαν πολλοὺς Χριστιανοὺς ἔχοντι καὶ τιμῶν διωγμὸν ἤγειρε μέγαν κατὰ Χριστιανῶν.

### Μάξιμος καὶ Βαλβῖνος.

Μάξιμος καὶ Βαλβῖνος ἐβασίλευσεν ἡμέρας κβ· τῷ αὐτῷ δὲ τρόπῳ ἀπεσφάγησαν καὶ οὗτοι ὑπὸ τῶν στρατιωτῶν, ὁμοίως καὶ Γορδιανὸς ὁ προγεγονὼς Καῖσαρ παρὰ Μαξίμου, καὶ αὐτὸς βασιλεύσας ἀνῃρέθη, ὡς κωλύσαντος Φιλίππου τοῦ ἐπάρχου τὸν σῖτον διακομισθῆναι τῷ στρατῷ. οὗτος δὲ ὁ Φίλιππος ἦν πατὴρ τῆς ἁγίας μάρτυρος Εὐγενίας. ἐπὶ Μαξίμου καὶ Γορδιανοῦ Ἀφρικανὸς ὁ συγγραφεὺς ἐγνωρίζετο.

### Γορδιανός.

,εψνα΄ β Γορδιανὸς Καῖσαρ περὶ ἔτη που γεγονὼς ιγ, αὐτοκράτωρ τε
τῆς σνγ΄. ἀνεδείχθη ἔτη ϛ, καὶ τὴν Ῥωμαίων ἀρχὴν ἀνεδέξατο, εἶτα ὑπὸ
Φιλίππου ἐπάρχου ἐπιβουλευθεὶς ἐτελεύτησε.

### Φίλιππος.

,εψνϛ΄ δ [26] Φίλιππος ἐβασίλευσεν ἔτη πέντε, ὃς ὑπῆρχε μὲν τῆς τῶν
τῆς σνε΄. Χριστιανῶν πίστεως σπουδαστὴς, συνέσει καὶ ἐπιεικείᾳ κεκοσμημένος· ὡρμᾶτο δὲ ἀπὸ Βόστρας, ἔνθα καὶ πόλιν ᾠκοδόμησεν ὀνομάσας αὐτὴν Φιλιππούπολιν. οὗτος σπονδὰς εἰρηνικὰς ἐποίησε μετὰ Σαβώρου βασιλέως Περσῶν, ὃς ἐθαυμάζετο ἐπὶ μεγέθει σώματος· μέχρι γὰρ ἐκείνου τοῦ χρόνου τηλικοῦτος ἄνθρωπος οὐκ ὤφθη. ἀνῃρέθη δὲ ὁ Φίλιππος ἅμα τῷ υἱῷ ἀγωνιζόμενος ὑπὲρ Χριστιανῶν ὑπὸ Δεκίου.

### Δέκιος.

,εψνη΄ β Δέκιος ἐβασίλευσεν ἔτη δύο. ὃς πολλοὺς ἁγίους ἐτιμωρήσατο,
τῆς σξ΄. καὶ θανάτῳ παρέδωκεν· ἀνῃρέθη δὲ ὑπὸ Σκυθῶν, ὑποθήκαις Γάλλου καὶ Βολοσιανοῦ ἐν πάλματι ἀποπνιγεὶς μετὰ τοῦ ἰδίου υἱοῦ.

26 Φίλιππος· τῷ δὲ δ ἔτει Φιλίππου χιλιοστὸν ἔτος πληρωθὲν ἀπὸ Ῥωμύλου καὶ κτίσεως Ῥώμης· ἑωρτα . . . Ῥωμαῖοι μεγιστ . . . θε . . . . παρασκευήν.

ἀξίαν τιμωρίαν τῆς ἰδίας αὐτῶν θηριωδίας ἐπιτυχόντες, ὡς μηδὲ τὰ σώματα αὐτῶν εὑρεθῆναι, ἢ τὶ μέρος ἐξ αὐτῶν. ἐπὶ τούτου ἦν Κλήμης ὁ Στρωματεὺς, καὶ Ἀφρικανὸς, καὶ Γρηγόριος ὁ θαυματουργός. ἐπὶ Δεκίου Ναυάτος πρεσβύτερος ὢν ἀπέσχισε τῆς Ἐκκλησίας. ὃς τοὺς ἐπιθύσαντας καὶ μετανοοῦντας οὐκ ἐδέχετο. ἐπὶ αὐτοῦ Κυπριανὸς ὁ ἅγιος ἐμαρτύρησε, καὶ οἱ ἑπτὰ παῖδες οἱ ἐν Ἐφέσῳ, καὶ πλῆθος ἁγίων.

## Γάλλος καὶ Βολουσιανός.

Γάλλος καὶ Βολουσιανὸς ἐβασίλευσαν ἔτη β̄, μῆνας η̄. γέγονε δὲ ἐν ταῖς ἡμέραις αὐτῶν λοιμὸς, κινηθεὶς ἀπὸ ἀνατολῆς μεχρὶ τῆς δύσεως· καὶ οὐδεμία πόλις εὑρέθη ἄμοιρος ταύτης τῆς ἀπειλῆς· ἐκράτησε δὲ ἔτη ι̅α̅, ἀρχόμενος ἀπὸ φθινοπώρου, καὶ λήγων τῇ τοῦ κυνὸς ἐπιτολῇ. μετεδίδοτο δὲ ἡ νόσος αὕτη ἀπό τε ἱματίων καὶ ψιλῆς θέας· καὶ οἱ Σκύθαι περάσαντες τὸν Ἴστρον, πᾶσαν τὴν δύσιν καὶ Ἰταλίαν, ἀνατολήν τε καὶ Ἀσίαν ἐπόρθησαν, καὶ παρέλαβον δίχα μόνης Ἰλίου καὶ Κυζίκου. ἀνῃρέθη δὲ ὁ Γάλλος καὶ Βολουσιανὸς ὑπὸ τῶν στρατιωτῶν, καὶ ἀνηγορεύθη βασιλεὺς Αἰμιλιανὸς ὑπ' αὐτῶν. ἐπὶ Γάλλου καὶ Βολουσιανοῦ, ἡ κατὰ Σαβέλλιον αἵρεσις συνέστη.

## Αἰμιλιανός.

Αἰμιλιανὸς ἐβασίλευσε μῆνας δ̄, ἦρχε δὲ τοῦ ἐν Μυσίᾳ στρατεύματος, ἔχων καὶ Λιβυκὸν στράτον, μεθ' ὧν πολεμήσας τοὺς Σκύθας καὶ νικήσας, ἐπήρθη τῇ εὐτυχίᾳ καὶ ἠντάρχησεν· ἀναιρεῖται δὲ καὶ αὐτὸς ὑπὸ στρατιωτῶν.

## Οὐαλεριανὸς καὶ Γαληνός.

ςψο β' τῆς συν'.

Οὐαλεριανὸς καὶ Γαληνὸς ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ι̅ε̅· οὗτος Οὐαλεριανὸς πόλεμον μετὰ Σαβώρου τοῦ Πέρσου ποιήσας, καὶ δορυάλωτος γεγονὼς ἐν Καισαρείᾳ τῇ πόλει ἔχων μυριάδας τεσσαράκοντα, ὑπὸ Σαβώρου ἐκδαρεὶς ἐτελεύτησεν. ὁ δὲ Γαληνὸς μετὰ τοῦτον πρῶτος ἱππικὰ τάγματα κατέστησε· πεζοὶ γὰρ κατὰ πολὺ οἱ στρατιῶται τῶν Ῥωμαίων ὑπῆρχον· ἐσφάγη δὲ καὶ αὐτὸς ὑπὸ στρατιωτῶν.

### ΚΛΑΥΔΙΟΣ.

*͵εψοα΄ κατὰ τὴν β΄.* [26] Κλαύδιος ἐβασίλευσεν ἔτος ἕν. οὗτος πάππος γέγονε Κωνσταντίου τοῦ πατρὸς Κωνσταντίνου τοῦ ἁγίου· ἐπὶ αὐτοῦ οἱ Σκῦθες περάσαντες ἀπελθόντες εἰς Ἀθήνας παρέλαβον αὐτὰς, καὶ συναγαγόντες πάντα τὰ βιβλία ἐβούλοντο καῦσαι· ὡς φρονῶν δέ τις ἐξ αὐτῶν ἐκώλυσεν αὐτοὺς εἰπὼν, ὅτι περὶ ταῦτα οἱ Ῥωμαῖοι σχολάζοντες τῶν πολέμων ἀμελοῦσιν. οὗτος Αὐρηλιανὸν εἰς τὴν βασιλείαν προαγαγὼν, νόσῳ τελευτᾷ.

### ΚΥΝΤΙΛΛΟΣ.

Κυντίλλος ἀδελφὸς Κλαυδίου βασιλεὺς ἀναρρηθεὶς, καὶ ἡμέρας ὀλίγας βιώσας, μνήμης τε οὐδὲν ἄξιον πεπραχὼς, ἐπειδὴ Αὐρηλιανὸν ἔγνω ἐπιβῆναι μέλλοντα τῆς Ῥωμαίων ἀρχῆς, ἑαυτὸν ὑπεξάγει τοῦ βίου, τὴν φλέβα τμηθεὶς τῆς χειρὸς ὑπό τινος τῶν ἰατρῶν, μέχρις οὗ λειποψυχήσας ἐτελεύτησε.

### ΑΥΡΙΛΙΑΝΟΣ.

*͵εψπγ΄ β΄ τῆς σξβ.* Αὐριλιανὸς ἐβασίλευσεν ἔτη ϛ, ἀνῃρέθη δὲ ὑπὸ στρατιωτῶν μεταξὺ Ἡρακλείας καὶ τοῦ Βυζαντίου, ἐν τῷ καλουμένῳ Καινῷ φρουρίῳ, καὶ ἐκεῖ ἐτάφη. Αὐρηλιανός τις ὃν ὠτακουστὴν ἔσχεν, ἀναφέροντα αὐτῷ πάντα τὰ γενόμενα καὶ λεγόμενα, ἀπειληθεὶς ποτὲ παρ᾽ αὐτοῦ διά τινα αἰτίαν, καὶ φοβηθεὶς ἐμιμήσατο τὴν χεῖρα τοῦ βασιλέως, ἐν γραφῇ ποιησάμενος ὀνομασίας δυνατῶν ἐπὶ θάνατον ἀπαχθησομένων· οἱ φοβηθέντες ἀνεῖλον αὐτόν. ἐπὶ τούτου καὶ ὁ ἅγιος Χαρίτων ὡμολόγησεν. ἐπὶ Αὐρηλιανοῦ Μάνης ὁ κατάρατος ἐγένετο, ἀφ᾽ οὗ τὸ Μανιχαῖον ὄνομα τοῖς πολλοῖς ἐπιπολάζει.

### ΤΑΚΗΤΟΣ.

*͵εψπδ΄ δ΄ τῆς σξγ΄.* Τάκητος ἐβασίλευσεν ἔτη δύο, οὗτος Μαξιμῖνον συγγενῆ αὐτοῦ ἐπέστησε τῇ Ἀσυρίᾳ, ὃν διὰ τὰς ὑπ᾽ αὐτοῦ γενομένας ἀδικίας ἀνελόντες οἱ στρατιῶται, φοβηθέντες μὴ ἐκδικήσῃ αὐτὸν ὁ Τάκητος, ἀπέκτειναν καὶ αὐτὸν, καὶ γεγόνασι βασιλεῖς Πρόβος καὶ Φλωριανός.

26 Πορφύριος καὶ Πλωτῖνος ἀμφότεροι ἤκμαζον.

## Πρόβος καὶ Φλωριανός.

͵εψν' κατὰ τὴν σξδ'.

Πρόβος καὶ Φλωριανὸς ἐβασίλευσεν ἔτη δύο, μῆνας δ̄· οὗτος οὖν ὁ Πρόβος παράφρονα ἑαυτὸν ποιήσας, ἀνεῖλε τὸν Φλωριανόν. ἐπὶ αὐτοῦ βροχῆς γεγονυίας, σῖτος μεμιγμένος τῷ ὕδατι κατηνέχθη πολὺς, ὃν συναγαγόντες σωροὺς μεγάλους ἐποίησαν· ὡσαύτως καὶ ἐπὶ Αὐρηλιανοῦ ψεκάδας ἀργυρᾶς κατενεχθῆναι φασί. Βικτωρῖνος δὲ φίλος τοῦ Πρόβου ᾔτησε φίλον αὐτοῦ γενέσθαι εἰς Βρεττανίαν, ὁ δὲ ἀπελθὼν ἀντῆρεν· ὀνειδιζόμενος οὖν ὁ Βικτωρῖνος δι' αὐτὸν ἀπεστάλθη παύσων τὴν ἀνταρσίαν, προσποιησάμενος ἀπὸ προσώπου φεύγειν τοῦ βασιλέως, ὡς φίλος τοῦ ἀντάρτου ἀπεδέχθη, καὶ ἀνεῖλεν αὐτόν· ὑποστρέψας δὲ ὡς ἐξῄει τοῦ πλοίου, λύσας τὴν ζώνην, ἔρριψεν εἰς τὴν θάλασσαν, καὶ εἰσῆλθε λυσίζωνος εἰς τὸν βασιλέα. ὁ δὲ ὠργίσθη δοκῶν ὑφ' ἑτέρου αὐτὸν τοῦτο πεπονθέναι. Βικτωρῖνος δὲ ἔφη ὑφ' ἑαυτοῦ τοῦτο γενέσθαι, αἰτησάμενος μηκέτι ἄρξαι πράγματος. ἀρχὴ γὰρ πᾶσα μετὰ κινδύνων καὶ λιμακτήρων. ὁ δὲ καὶ ἡσυχίαν αὐτῷ ἐχαρίσατο, καὶ δωρεὰς πολλὰς παρέσχεν. ἀπέκτεινε δὲ πάντας τοὺς ἀποκτείναντας Τάκητον καὶ Αὐρηλιανὸν ἐν τῇ Πειρίνθῳ, καὶ ἐπὶ ἑστίασιν αὐτοὺς καλέσας· ἀνῃρέθη δὲ καὶ αὐτὸς ὑπὸ τῶν περὶ αὐτὸν, καὶ βασιλεύει Κάρος καὶ Καρῖνος καὶ Νουμεριανός.

## Κάρος καὶ Καρῖνος καὶ Νουμεριανός.

͵εψϟβ' γ' τῆς σξε'.

Κάρος καὶ Καρῖνος καὶ Νουμεριανὸς ἐβασίλευσαν ἔτη β̄. οὗτος ὁ Κάρος τὴν Περσίδα καὶ Κτησιφῶντα παρέλαβε, τοῦτο ἤδη τέταρτον ἁλωθέντων ὑπὸ Τραϊανοῦ, ὑπὸ Βήρου, Σευήρου, καὶ Κάρου. τελευτήσαντος δὲ Κάρου ὑπὸ λοιμικῆς, καὶ Νουμεριανοῦ τυφλωθέντος, ἀνεῖλεν αὐτὸν Ἄπρος, καὶ ἐβασίλευσε Νουμεριανός. ἐπὶ αὐτοῦ δὲ ἐμαρτύρησεν ὁ ἅγιος Γερμανὸς, καὶ ὁ ἅγιος Βαβύλας ἐν Ἀντιοχείᾳ· τοῦτον ἀνεῖλε Διοκλητιανὸς, δοὺξ τυγχάνων Μυσίας.

### Διοκλητιανός.

͵εωιβʹ κατὰ τὴν ςξςʹ.

27 Διοκλητιανὸς ἐβασίλευσεν ἔτη κ̄, τῷ γένει Δαλμάτης, μὴ περιγενόμενος δὲ τῶν πραγμάτων, προβάλλεται βασιλέα Μαξιμιανὸν Ἑρκούλιον, γαμβρὸν καὶ φίλον αὐτοῦ ὄντα, ὑφ' ὧν μέγας διωγμὸς κατὰ Χριστιανῶν ἐκινήθη. οὗτοι ἐν ταῖς ἑαυτῶν ἐξουσίαις Κωνστάντιον καὶ Γαλλέριον προβάλλονται Καίσαρας, καὶ ποιοῦσι γαμβροὺς, πείσαντες τὰς ἰδίας καταλιπόντας γαμετὰς αὐτῶν, τὰς αὐτῶν εἰληφέναι θυγατέρας. Θεοδώρα δὲ ἦν ἡ τοῦ Κωνσταντίου, καὶ Βαλλερία ἡ τοῦ Γαλλερίου· ὧν ὁ Γαλλέριος δεηθεὶς Διοκλητιανοῦ πρὸς Πέρσας ἀπεστάλη πολεμήσων αὐτούς· οὓς μάχῃ νικήσας παρέλαβε τά τε βασίλεια, καὶ τὴν γυναῖκα Σαβώρου, καὶ μετὰ μεγάλης νίκης πρὸς Διοκλητιανὸν ἐξελήλυθε, βαλάντια πεπληρωμένα ἔχων λίθων τιμίων καὶ μαργαρίτων· ἀφ' ὧν πρῶτος Διοκλητιανὸς ἐσθῆτι καὶ ὑποδήμασι λίθοις τιμίοις καὶ χρυσῷ κεκοσμημένοις ἐχρήσατο· προσκυνεῖσθαί τε αὐτὸν παρὰ τὸ ἐξ ἀρχῆς ἔθος ἐκέλευσε, καὶ θρίαμβον ἐπετέλεσεν. ὠνομάσθη δὲ θρίαμβος, διὰ τὴν τῶν ποιητῶν λεγομένην θρίασιν, ἤγουν μανίαν, ἢ ἀπὸ τοῦ θρία τὰ φύλλα τῆς συκῆς ὀνομάζεσθαι. τῷ δὲ εἰκοστῷ ἔτει τῆς αὐτοῦ βασιλείας Διοκλητιανὸς καὶ Μαξιμιανὸς ἐν μιᾷ ἡμέρᾳ τὴν βασιλείαν ἀπέθεντο. καὶ ὁ μὲν Διοκλητιανὸς ἰδιώτευσεν ἔτη δώδεκα· καὶ τῆς γλώσσης αὐτοῦ σαπείσης μετὰ τοῦ φάλαγγος πλῆθος σκωλήκων ἀναβρυσάσης, ἀπέρρηξε τὸ πνεῦμα· ὁ δὲ Ἑρκούλιος τὴν βασίλειαν ἀναλαβέσθαι βουληθεὶς, καὶ ἀποτυχὼν, ἀπήγξατο· ὁ δὲ Γαλλέριος σκωληκόβρωτος γεγονὼς, ἐξέψυξε, Λικίνιον κοινωνὸν τῆς βασιλείας προσλαβόμενος ἐν τῇ ἑῴᾳ. ἐπὶ Διοκλητιανοῦ Ἄδακτος μάγιστρος ἐμαρτύρησε· τῆς δὲ γυναικὸς καὶ τῶν δύο αὐτοῦ θυγατέρων ζητουμένων, αὗται φυγῇ χρησάμεναι, διὰ τὸ μὴ διαφθεῖραι τὴν σωφροσύνην, ἑαυτὴν σὺν ταῖς θυγατράσιν ἔρριψε κατὰ τοῦ ποταμοῦ· περὶ ὧν ζητητέον εἰ ἀριθμοῦνται

27 ....κλητιαν .. μετὰ τὴν αὐτ ...... βασιλεύει Καν .... οὐδ' ὅλον ἐνιαυτὸν ...... αδρου καταλιπὼν τὸν υἱὸν Κωνσταν σὺν Μαξίμῳ καὶ Γαλλερίῳ 'Αρ ......σὺν Σευήρῳ καὶ Μαξεντίῳ ....ἔτη β. καὶ τελευτᾷ ...... ἡττηθεὶς ὑπὸ Κωνσταντ. ....Λικίνιος δὲ τὴν ἀδελφὴν Κωνστ. γήμας καὶ τῆς βασιλείας ὑπ' αὐτοῦ ἐκπέμπεσθαι διέρπειν τὰ κατὰ ἑῴαν.

εἰς μαρτύρας. Θεότεκνός τις γόης ὑποθήκῃ Μαξιμιανοῦ τὰ ἐπὶ Χριστοῦ δῆθεν παρὰ Πιλάτου πραχθέντα πλασάμενος, ὑπομνήματα πάσης βλασφημίας ἀνάπλεα κατὰ πόλιν καὶ κώμην ἔσταλκε, Μαξιμιανοῦ προστάξαντος τοῖς γραμματοδιδασκάλοις ταῦτα τοὺς παῖδας ἐκδιδάσκειν, ὡς ἂν διαγελῷτο τὸ καθ' ἡμᾶς μυστήριον.

## Κωνστάντιος ὁ πατὴρ τοῦ μεγάλου Κωνσταντίνου ὁ Χλωρός.

Κωνστάντιος ἐβασίλευσεν ἔτη δύο· Καῖσαρ δὲ ἔτη ιγ΄. ὃς ἐξ Ἑλένης ἐγέννησε Κωνσταντῖνον περὶ τὴν τῆς Δακίας πόλιν. Μαξέντιος δὲ καὶ Μαξιμῖνος ἀναιροῦνται ὑπὸ Λικινίου, καὶ οἱ Πέρσαι ἀπὸ Διοκλητιανοῦ καὶ Γαλλερίου, εἰρήνευον μετὰ Ῥωμαίων, ἀπολυθεισῶν αὐτοῖς καὶ τῶν βασιλικῶν γυναικῶν καὶ παίδων. Κωνστάντιος εὐσεβὴς ἦν, καὶ τὸν υἱὸν Κωνσταντῖνον ὁμοίως ἐξεπαίδευσε, καὶ τῷ καθ' ἡμᾶς διωγμῷ οὐδαμῶς ἐκοινώνησαν· ἀλλὰ καὶ τοὺς ὑπ' αὐτῶν χριστιανίζειν ἀδεῶς καὶ ἀκωλύτως ἐπέτρεπε, Κωνσταντῖνον Σεβαστὸν καὶ βασιλέα ἐν Ῥώμῃ ἀναδείξας. Μαξιμῖνος ἐν τῇ ἀνατολῇ πολλὰ δεινὰ κατὰ Χριστιανῶν εἰργάσατο· ὡσαύτως καὶ Μαξέντιος ἐν Ῥώμῃ. Κωνσταντῖνος οὖν ὁ θεῖος εἰς τὴν τῶν τυράννων διανέστη κατάλυσιν· καὶ Μαξέντιος μὲν ἐν Ῥώμῃ κτείνεται ὑπ' αὐτοῦ· ὅτε καὶ τὸ τοῦ σταυροῦ σημεῖον εἰς συμμαχίαν Θεὸς αὐτῷ παρέσχετο.

Μαξιμῖνος δὲ ὑπὸ Λικινίου οὔπω μανέντος ἐν τῇ ἀνατολῇ ἡττηθεὶς φεύγει, καὶ νόσῳ δεινῇ τελευτᾷ. Μαξεντίου καὶ Λικινίου ἀναιρεθέντων, πάσης κρατήσας τῆς ὑπὸ Ῥωμαίων γῆς Κωνσταντῖνος, πολλὰ ὑπὲρ Χριστιανικῆς θρησκείας ἐνομοθέτησε· καὶ τὴν παρασκευὴν καὶ τὴν κυριακὴν τιμᾶσθαι προσέταξε· τὴν μὲν, διὰ τὸν σταυρὸν τοῦ Κυρίου· τὴν δὲ, διὰ τὴν ἀνάστασιν· καὶ σταυρῷ μηκέτι καταδικάζεσθαι ἄνθρωπον· τὴν δὲ μητέρα πέμψας ἐν τοῖς ἁγίοις τόποις, καὶ τὸν τίμιον σταυρὸν ἀνευρούσης μέρος τοῦ τιμίου ξύλου· καὶ τοὺς ἥλους τῷ υἱῷ ἀπέστειλε· καὶ τὸν μὲν ἕνα περικεφαλαίαν σωτήριον, τὸν δὲ ἕτερον ἐν τῷ τοῦ ἵππου χαλινῷ κατεκόσμησε, προστάξας καὶ ἐν τοῖς αὐτοῦ νομίσμασι τὴν τούτου εἰκόνα καὶ τὸν τοῦ σταυροῦ τύπον ἐγχαράττεσθαι.

## Κωνσταντῖνος ὁ μέγας ὁ ἅγιος.

[28] Κωνσταντῖνος ὁ μέγας καὶ πρῶτος χριστιανικώτατος ἐν βασιλεῦσιν, ἐβασίλευσεν ἔτη λγ̄, ζήσας ἔτη ξε̄· ἐν Ῥώμῃ δὲ ὑπὸ Σιλβέστρου βαπτισθεὶς Χριστιανὸς γέγονε· δεδιὼς δὲ τὴν σύγκλητον Ῥώμης διὰ τὸ εἰς Χριστὸν πιστεῦσαι, ἐξῆλθε δῆθεν ἐπὶ τὸν τῶν Σκυθῶν πόλεμον· Λικίνιον δὲ γαμβρὸν ἐπ' ἀδελφῇ ποιησάμενος, βασιλέα κατέστησε· προσφυγόντες δέ τινες τοῦ Κωνσταντίνου τῷ Λικινίῳ ὡς ἀντάρτα ἐπιζητούμενοι παρ' αὐτοῦ, οὐκ ἐδίδοντο· καὶ ἐκστρατεύσας Κωνσταντῖνος κατὰ Λικινίου, ἐπολέμησεν αὐτὸν εἰς Παιονίαν· ἔνθα καὶ τὸ σημεῖον τοῦ σταυροῦ ἐθεάσατο· ἐπιγράφων, "ἐν τούτῳ νίκα." καὶ τοῦτο τὸ σημεῖον χρυσοῦν ποίησας, καὶ ἐπὶ δόρατος ἀναρτήσας, τοὺς ἐχθροὺς ἐτροποῦτο.

Λικίνιος δὲ τραπεὶς, ἔφυγεν εἰς Θράκην, κακεῖθεν καταπολεμηθεὶς εἰς Φιλιππούπολιν· ἔνθα λαμπρῶς καὶ περιφανῶς ἡττηθεὶς, εἰρήνευσεν· εἶτα πάλιν ἐχθρὸς ἐλεγχθεὶς κατεπολεμήθη ἐν Ἀδριανουπόλει, καὶ ἡττήθη· καὶ ἐλθὼν εἰς τὸ Βυζάντιον, ἐπέδρασεν ἐν Χρυσοπόλει· κακεῖ πάλιν ἡττηθεὶς, ἔφυγεν ἐν Νικομηδείᾳ. ἡ δὲ ἀδελφὴ Κωνσταντίνου εἰσελθοῦσα πρὸς αὐτὸν καὶ δεηθεῖσα, τῷ ἀνδρὶ αὐτῆς τὸ ζῆν χαρίζεται, ἐν ἰδιωτικῷ σχήματι αἱρετισαμένου Λικινίου ἀπελθεῖν ἐν Θεσσαλονίκῃ· κἀκεῖσε ταραχὰς ποιήσας, ἀνῃρέθη ὑπὸ τοῦ στρατοῦ· ἐφ' οὗ Λικινίου καὶ ὁ ἅγιος Θεόδωρος ἐμαρτύρησε· δέκα καὶ ὀκτὼ ἔτεσι τοῦ πολέμου ἱσταμένου μεταξὺ Λικινίου καὶ Κωνσταντίνου· ἡ δὲ γενομένη εἰρήνη μεταξὺ Περσῶν καὶ Ῥωμαίων, διελύθη δι' αἰτίαν τοιαύτην.

Μητρόδωρός τις Περσογενὴς προσποιησάμενος φιλοσοφεῖν, ἀπῆλθεν ἐν Ἰνδίᾳ· καὶ εἰς τοὺς Βραχμᾶνας χρησάμενος ἐγκρατείᾳ πολλῇ, γέγονεν ἐν αὐτοῖς σεβαστός· ἐργάζετο δὲ ὑδρομύλους καὶ λοετρὰ, μέχρι τότε μὴ γνωριζόμενα· οὗτος ἐν τοῖς ἀδύτοις εἰσιὼν ὡς εὐσεβὴς, λίθους καὶ μαργαρίτας πολλοὺς καὶ τιμίους

28 Ὁ δὲ Κωνσταντῖνος ἦν τὴν ἰδέαν μὲν τοῦ σώματος ἀναδρομὴν ὡς μήτε μακρὸν . . . . . . . . εὐρὺ τοὺς ὤμους καὶ παχὺς τράχηλον, καὶ τὴν τρίχα τῆς κεφαλῆς οὐ δασεῖαν οὐλὴν ἔχεν τὸ γένειον ψιλόν πως, τὴν ῥῖνα ἐπίγρυπος (Cod. ἐπίγριπος) χαριείς τε καὶ φαιδρὸς . . . μετρίας μετασχών· τὸ δὲ ἐγκρατὲς περὶ τὰς ἐπιθυμίας τῆς γαστρὸς ἄκρον κεκτημένος.

ὑφείλετο· ἔλαβε δὲ καὶ παρὰ τοῦ βασιλέως τῶν Ἰνδῶν, ὥστε τῷ βασιλεῖ δῶρα κομίσαι· καὶ ἐπανελθὼν εἰς τὸ Βυζάντιον δέδωκεν ὡς ἴδια τῷ βασιλεῖ· θαυμάζοντι δὲ αὐτῷ ἔφη, καὶ ἄλλα διὰ γῆς προπέμψαι, ἀλλ' ἀφαιρεθῆναι ὑπὸ Περσῶν. γράφει οὖν ἀποτόμως Κωνσταντῖνος πρὸς Σαβώρην, ἀποσταλῆναι αὐτά. καὶ δεξάμενος Σαβώρης οὐκ ἀνταπέστειλε, καὶ διὰ τοῦτο ἐλύθη ἡ εἰρήνη. ἐκ τούτων οὖν τῶν λίθων ἔργον ποιήσας[29] ὁ βασιλεὺς, ἀπέστειλε τοῖς πέρα τοῦ Δανουβίου ἔθνεσιν· ἐπιγράψας, "τῷ μείζονι τὸ δῶρον·" ὅπερ γέγονεν αὐτοῖς ὀλέθρου αἴτιον διὰ τὴν ἐπιγραφήν. φασὶ δὲ αὐτὸν πρῶτον πάντων τῶν βασιλέων διαδήματι χρήσασθαι, καὶ μαργαρίτας καὶ ἄλλοις λίθοις περιεργότερον κοσμηθῆναι, ἀλλὰ καὶ πτύχας εὐαγγελίων χρυσᾶς διὰ μαργαρίτων καὶ λίθων κατασκευάσας ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ προσήγαγε θαύματος ἀξίας. οὗτος ἐξέθετο νόμον, ὥστε τοὺς τῶν εἰδώλων ναοὺς καὶ τὰς τούτων προσόδους ἀποδίδοσθαι τοῖς Χριστιανῶν ἱερεῦσι· καὶ μόνους Χριστιανοὺς ἄρχειν καὶ στρατεύεσθαι.

[30]Τῷ εἰκοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ γέγονεν ἡ ἐν Νικαίᾳ πρώτη σύνοδος κατὰ Ἀρείου πρεσβυτέρου Ἀλεξανδρείας, ὑπὸ πατέρων ἁγίων τιη. τὸν δὲ χρόνον ὡς ἐν παρασημειώσεσιν εὕρομεν, ἔτι ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος τελευτῆς, χλς, καθὰ Σωκράτῃ τῷ Ἱστορικῷ δοκεῖ. ὑπῆρχον δὲ πατέρες, Σίλβεστρος Πάπας Ῥώμης, Μητροφάνης τῆς Κωνσταντινουπόλεως τῆς Βυζαντίδος, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας, Μακάριος Ἱεροσολύμων· συνῆλθον δὲ κατὰ Ἀρείου βλασφημοῦντος τὸν Θεὸν Λόγον κτίσμα εἶναι, καὶ ἑτεροούσιον τοῦ Πατρὸς, καὶ ὅτι ἦν ὅτε οὐκ ἦν.

Κτίζει δὲ τὴν πόλιν, ἀπὸ μὲν τῆς ἐλεύσεως αὐτοῦ τῆς πρὸς τὸ Βυζάντιον, εἰκοστὸν πρῶτον ἔτος· ἀπὸ δὲ τῆς ἀρχῆς τῆς βασιλείας αὐτοῦ, ἔτη κε· ἀπὸ δὲ Ἀδὰμ ἔτος ἦν ,εωλζ. ἐντεῦθεν ἦλθεν εἰς τὸ Βυζάντιον, ἀναλαβὼν καὶ τοὺς ἁγίους καὶ ἐμφανεῖς πατέρας, πρὸς τὸ εὐλογηθῆναι παρ' αὐτῶν τὴν πόλιν ἣν ἔκτισεν. ἦν δὲ

29 Ex correctione: prius erat ποιησάμενος.

30 Σύνοδος α' ἐπὶ τούτου Ἄρειος αἱρεσιάρχης ἐγνωρίζετο· δι' ὃν ἡ μεγάλη καὶ πρώτη σύνοδος ἐν Νικαίᾳ ἐγένετο.

οἰκοδομήσας παλάτιον, καὶ ἱππικὸν, καὶ τοὺς δύο τερπνοὺς ἐμβόλους, καὶ τὸν φόρον· ἐν ᾧ κιόνα μονόλιθον καὶ ὁλοπόρφυρον ἔστησεν, ἐκ Ῥώμης ἀγαγών· ἐκδήσας αὐτὸν διὰ χαλκῶν ζώνων γεγραμμισμένων. ἱδρύσατο δὲ ἐπάνω αὐτοῦ ἀνδριάντα ἐπ' ὀνόματι αὐτοῦ ἐπιγράψας διὰ τὰς ἐν αὐτῷ ἀκτῖνας, "Κωνσταντίνῳ λάμποντι "ἡλίου δίκην." ὃς ἦν μὲν ἔργον Φειδίου, ἤχθη δὲ ἐξ Ἀθηνῶν.

Οὗτος ἐν Κωνσταντινουπόλει λείψανα τῶν ἁγίων Ἀποστόλων εἰσῆξεν, Ἀνδρέου, καὶ Λουκᾶ καὶ Τιμοθέου, καὶ κατέθηκεν ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων· εἶτα κατὰ Περσῶν νικήσας, ἀπὸ Νικομηδείας ἐν τοῖς Πυθίοις θερμοῖς παραγίνεται, καὶ κακωθεὶς, ἐκεῖθέ τε δι' Ἑλενοπόλεως ἐν τῷ χάρακι ἐλθὼν, πυρετοῦ λάβρου κατασχόντος αὐτὸν ἐτελεύτησε· μετὰ ἔννατον τοῦ οἰκισμοῦ Κωνσταντινουπόλεως, καὶ ἀπεκομίσθη τὸ λείψανον αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, καὶ ἀπέτεθη ἐν λάρνακι πορφυρῷ, ἤτοι Ῥωμαίῳ· αὐτός τε καὶ ἡ μητὴρ αὐτοῦ Ἑλένη, πρὸ δώδεκα ἐτῶν τῆς αὐτοῦ τελευτῆς θανοῦσα, καὶ ἡ γυνὴ αὐτοῦ Φαύστα, θυγάτηρ Μαξιμιανοῦ τοῦ Ἑρκουλίου· καταλείψας τρεῖς υἱοὺς, Κωνστάντιον, Κώνσταντα, καὶ Κωνσταντῖνον· διορισάμενος Κωνστάντιον μὲν ἔχειν τὰ Θρᾴκης καὶ ἑῴας μέρη· Κώνσταντα δὲ Κρήτην, καὶ Ἀφρικὴν, καὶ τὸ Ἰλλυρικόν· Κωνσταντῖνον δὲ τὰ πρὸς Ὠκεανὸν ἑσπέρια. Κωνσταντίνου τοῦ θείου ὑπὸ Ἑλλήνων φιλοσόφων ὀνειδισθέντος εἰς τὸ Βυζάντιον, ὡς οὐ πράττοι καλῶς παρὰ τὰ ἔθη[31] τῶν παρὰ Ῥωμαίοις βασιλευσάντων, διαγινόμενος, ἀλλὰ νεωτερίζοι, τὴν θρησκείαν μεταθέμενος· ἔδοξεν αὐτῷ ἕνα τῶν φιλοσόφων διαλεχθῆναι Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ τοῦ Βυζαντίου περὶ τῆς πίστεως. οὗτος Ἀλέξανδρος πατριάρχης ἦν πρὸς τὸ τέλος τοῦ μεγάλου Κωνσταντίνου· λόγων δὲ ἄπειρος ὢν ὁ Ἀλέξανδρος, τὰ δὲ ἄλλα θεῖος, ἐν τῇ ἡμέρᾳ τῆς διαλέξεως εἶπε τῷ διαλεκτικῷ φιλοσόφῳ· "ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἐπιτάττω σοι σιωπᾶν, καὶ μὴ "φθέγγεσθαι·" ἅμα δὲ τῷ λόγῳ ἐφιμώθη, καὶ διέμεινεν ἄλαλος. Εὐσεβίῳ δὲ τῷ Παμφίλου βίβλους ἱερὰς Κωνσταντῖνος κατασκευᾶσαι προσέταξε λόγῳ τῶν ἐκκλησιῶν Κωνσταντινουπόλεως· παρασχόμενος αὐτῷ δημόσια χρήματα· ὃς, ἄτερ τῶν λοιπῶν

31 ἔσθη Cod.

ἱερῶν βιβλίων, ἑξήκοντα βίβλους ἐκ δορκάδων βεμβράνων γράψας, ἐφιλοκάλησε τὸν ναὸν τῆς ἁγίας Εἰρήνης καὶ τῶν θείων Ἀποστόλων καὶ τοῦ ἁγίου Μωκίου, καὶ τοῦ ἁγίου μάρτυρος Ἀγαθονίκου, καὶ τοῦ Ἀρχαγγέλου Μιχαὴλ, ἐν τῷ Ἀνάπλῳ καὶ Σωσθενίῳ, ἔνθα καὶ θείας ὀμφὰς θαυμαστῶς ἤκουσέ τε, καὶ ἐθεάσατο, ὁ θεῖος Κωνσταντῖνος κτίζει. Μητροφάνης ὁ ἐν ἁγίοις πρὸ Ἀλεξάνδρου ἐπίσκοπος Βυζαντίου ἦν· πρώην τῷ βασιλεῖ κτίζειν ἀρξαμένῳ πόλιν εἰς ὄνομα ἴδιον ἐν τῷ πανδίῳ τῷ πρὸ τοῦ Ἰλίου, ὑπὲρ τὸν Αἴαντος τάφον, ὁ Θεὸς αὐτῷ κατ' ὄναρ ἐκέλευσε ἐν τῷ Βυζαντίῳ κτίσαι τὴν νῦν Κωνσταντινούπολιν[32]. ὀλίγους δὲ ὁρῶν τοὺς οἰκήτορας, ἀπό τε Ῥώμης τοὺς ἀξιολόγους κατὰ γένος ἐπιδεξάμενος, ἀπό τε τόπων ἑτέρων, καὶ οἴκους αὐτοῖς μεγάλους οἰκοδομήσας, καὶ χαρισάμενος, οἰκῆσαι τὴν πόλιν ἐποίησεν. ἐπὶ αὐτοῦ πολλὰ τῶν ἐθνῶν τὸν Χριστιανισμὸν προσεδέξαντο, ἀπό τε Κελτῶν καὶ Γαλατῶν τῶν ἑσπερίων, ἀλλὰ καὶ Ἰνδοὶ οἱ ἐνδότεροι ἐπίσκοποι παρὰ Κωνσταντινουπόλεως ἀποσταλέντες πρὸς αὐτούς· ἅμα μὲν καὶ ἐπὶ ἱστορίᾳ τῶν τόπων, ἅμα δὲ καὶ τὴν πίστιν κηρύξαι· ὡσαύτως καὶ Ἴβηρες καὶ Ἀρμένιοι χριστιανίζουσιν· ἀρχὴν ἐκ Τηριδάτου τοῦ ἐκ Πάρθων καταγομένου λαβόντες, καὶ Πέρσαι ὁμοίως ἐπὶ Συμεὼν[33] Ἐπισκόπου Κτησιφῶντος· μεθ' οὗ καὶ Οὐσταξάδης εὐνοῦχος παιδαγωγὸς Σαβώριου ἐμαρτύρησεν.

## ΚΩΝΣΤΆΝΤΙΟΣ, ΚΏΝΣΤΑΣ, ΚΑῚ ΚΩΝΣΤΑΝΤῖΝΟΣ ΥἹΟῚ ΤΟΥ͂ ΜΕΓΆΛΟΥ ΚΩΝΣΤΑΝΤΊΝΟΥ.

͵εωξέ β΄ τῆς σοκ΄.

[34] Κωνστάντιος μὲν ἐβασίλευσεν ἔτη κδ, Κώνστας ἔτη ιζ, Κωνσταντῖνος δὲ ταχὺ τετελεύτηκε· τετελεύτηκε δὲ τρόπῳ τοιῷδε. πρὸς τὸν ἀδελφὸν Κωνστάντιον κοινωσάμενος ἤει περί τινων, μετὰ πολλῆς ἰσχύος τε καὶ δυνάμεως, ὃ τὸν Κωνστάντιον εἰσῆγεν εἰς

[32] Ἰστέον ὅτι ἐθεματίσθη ἡ Κωνσταντινούπολις πρὸς τὰ τοῦ βασιλέως Κωνσταντ(ίνου) παρὰ Οὐάλεντος ἀστρονόμου, ἐν τῇ ἡμέρᾳ τῶν ἐγκαινίων αὐτῆς, μηνὶ Μαίῳ ιά, ἡμέρᾳ β΄, ὥρᾳ γ΄, ἔτους ἀπὸ κτίσεως κόσμου ͵εωλή· περιέχει δὲ τὸ ὅλον συμπέρασμα τοῦ αὐτοῦ θεματίου, ὁπόσα καὶ μέλλει συστῆναι ἡ πόλις αὕτη ἔτη χξϛ΄.   [33] Sic.   [34] Κωνστάντιος Κώνστας καὶ Κωνσταντῖνος υἱοὶ τοῦ μεγάλου Κωνσταντίνου. Ἰστέον ὅτι Κωνσταντῖνος εὐμήκης ἦν τὸ σῶμα, ἐπίξανθος, χαροποιὸς τὴν ὄψιν, εὐμετάβολος τὴν γνώμην, σώφρων τὰ πρὸς Ἀφροδίτην, ἐγκρατὴς τὰ πρὸς τροφὴν, ὀπωρῶν τε παντάπασιν ἀφεστηκώς.

ἔκπληξιν, μή τι νεωτερίσων ἀφικνεῖται ἐπ' αὐτὸν, καὶ πονηρῶν συμβούλων ἐπιτυχὼν, πλέον ἐναγόντων αὐτὸν εἰς ἀγῶνα καὶ φόβον, καὶ διὰ τούτων εἰς πόλεμον, ἢ ἀνατρεπόντων αὐτὸν τῶν τοιούτων λογισμῶν, ἐξῆλθε κατ' αὐτοῦ· καὶ πολέμου γεγονότος, ἐν τοῖς ἐσχάτοις τῶν φευγόντων εὑρεθεὶς ὁ Κωνσταντῖνος ἀναιρεῖται, τρίτος ὢν ἀδελφός· καὶ Κώνστας ἐγκρατὴς πάντων τῶν ἑσπερίων ἐγένετο, ὃν τῷ ἑπτακαιδεκάτῳ τῆς ἀρχῆς ἔτει, Μαγνέντιος τύραννος ἐν Γαλλίαις ἀναφανεὶς, ἀνεῖλε μετὰ θήραν Κώνσταν ὕπνῳ κατεχόμενον· ὅπερ μαθὼν ἐν Ἀντιοχείᾳ ὢν ὁ Κωνστάντιος, προβάλλεται μὲν Γάλλον Καίσαρα, γαμβρὸν ἐπ' ἀδελφῇ τὰ ἑσπέρια διοικεῖν· αὐτὸς δὲ εἴχετο τοῦ κατὰ Περσῶν πολέμου, τρίτον ἤδη ἐκστρατεύσας κατ' αὐτῶν· καὶ Γάλλος κατεπολέμει μὲν Μαγνέντιον, ὃν καὶ ἀνεῖλεν, εἶτα καὶ μετὰ Κωνσταντίου γίνεται· ὃν ὁ Κωνστάντιος θωπείᾳ καὶ κολακείᾳ χειρωσάμενος ἀναιρεῖ, καὶ τὴν τούτου ἀρχὴν μηδενὶ τότε δοὺς, μετ' οὐ πολὺν χρόνον ἐπεὶ μεγάλως τὸ Περσῶν κεκίνητο στράτευμα, τῷ τοῦ Γάλλου ἀδελφῷ Ἰουλιανῷ ταύτην παραδίδωσιν, ἐξ Ἀθηνῶν αὐτὸν ἀγαγὼν καὶ προχειρισάμενος Καίσαρα· οὐκ ἔλαττον εἰς τοῦτο σφαλεὶς, ἢ τὸ Αρείου προΐστασθαι, ὡς εἰς Ἀθανάσιον ἐπίσκοπον Ἀλεξανδρείας καὶ Παῦλον Κωνσταντινουπόλεως πολλὰ κακὰ ἐνδείξασθαι.

Κατὰ Περσῶν δὲ ἐκστρατεύσας, καὶ μαθὼν ὡς ἀντῆρεν Ἰουλιανὸς αὐτῷ, ὑπὸ τῆς συνεχείας τῶν φροντίδων, νόσου ἐπιγενομένης ἐκ μελαίνης χολῆς, εἰς Μόψου κρήνην ἐτελεύτησεν, ἐν ταῖς ὑπορίαις τοῦ Ταύρου κειμένην· τὸ δὲ σῶμα αὐτοῦ Ἰουλιανὸς μετὰ ταῦτα βασιλεύσας, προτίκτων ὢν μετὰ Εὐσεβίας τῆς αὐτοῦ πρώτης γυναικὸς, ἀποκομίσας, ἀπέθετο πλησίον τοῦ πατρὸς αὐτοῦ ἐν τῷ Ἡρῴῳ. Κωνστάντιον κουφότητι γνώμης[35] Εὐσέβιος ὁ Νικομηδείας παρέπεισεν ἀρειανίζειν, καὶ τὴν λέξιν τοῦ ὁμοουσίου ὡς ἄγραφον ἐκβαλεῖν. Ἀλεξάνδρου Πατριάρχου τελευτήσαντος, Παῦλος ὁ ὁμολογητὴς χειροτονεῖται. τούτου ἐκβληθέντος, ἑαυτὸν Εὐσέβιος δώροις ὁ Νικομηδείας ἐνθρονίζει εἰς Πατριάρχην· εἶθ' οὕτως πάλιν Παῦλος τὸν θρόνον ἀπολαμβάνει, καὶ μετ' αὐτὸν Μακεδόνιος ὁ πνευματομάχος· ὃς διωγμὸν κατὰ Χριστιανῶν ἐκίνησε τῶν εἰδωλολατρῶν οὐχ ἧττονα.

[35] γρ. λογισμοῦ in margine.

Κωνστάντιος κτίζει τὴν τοῦ Θεοῦ Σοφίαν πλησίον Εἰρήνης ἐκκλησίαν περικαλλῆ, ἀλλ' οὐ κατὰ τὸ νῦν ὁρώμενον σχῆμα καὶ κάλλος καὶ μέγεθος, καὶ ταύτης τὰ ἐγκαίνια ποιεῖ. ἐπὶ Εὐδοξίου Πατριάρχου μαθητοῦ Εὐνομίου, ὁ ἐν ἁγίοις Ἐφραὶμ ὁ Σύρος ἐπὶ Κωνσταντίνου ἦν, μέγας ἐν ἔργῳ καὶ λόγῳ· ὃς πολλὰ ἐγγράφων ὠφέλιμα καταλέλοιπε. τοῦ στρατοῦ ἀνελόντος τὸν νέον Δαλμάτιον, Γάλλον μὲν νόσος, Ἰουλιανὸν δὲ υἱοὺς ὄντας τοῦ ἀναιρεθέντος Γάλλου Καίσαρος, ἡ ἡλικία ἐρρύσατο· δοθέντων δὲ παρὰ Κωνσταντίνου ἐν χωρίῳ τινὶ πλησίον Καισαρείας παιδεύεσθαι, Ἰουλιανὸς ἐν χρῷ κειράμενος, μοναχικὴν ὑπεκρίνατο ἄσκησιν· ἀναγνῶσται δὲ ἄμφω γενόμενοι, ἐκκλησίαν κτίσαι προεθυμήθησαν, τῷ μάρτυρι Μάμαντι· εἰς δὲ τὸ μέρος ἐν ᾧ Ἰουλιανὸς κτίζειν ἔλαχεν, ἡ γῆ οὐχ ἐδέχετο τὰ τῶν θεμελίων βάθρα.

### Ἰουλιανὸς ὁ παραβάτης.

ϛωξζ β' τῆς σπδ'. Ἰουλιανὸς ὁ παραβάτης ἐβασίλευσεν ἔτη δύο· Καῖσαρ δὲ γέγονεν ἔτη τέσσαρα καὶ μῆνας ἕξ· ἐξάδελφος ὢν Κωνσταντίου, ὃς ἐτράφη ὑπὸ Εὐσεβίου τοῦ Νικομηδείας ἐπισκόπου. ἦν δὲ βραχὺς τὸ σῶμα, εὐπώγων, τιτανόθριξ, καὶ ὕπνου μὲν καὶ τροφῆς καὶ ἀφροδισίων ὅτι μάλιστα ἐγκρατής· τῷ δὲ ἄλλῳ τρόπῳ σκαιός, καὶ πρὸς εὐσέβειαν πονηρός. τοῖς Χριστιανῶν μυηθεὶς μυστηρίοις, ὕστερον αὐτὰ παριδών, τὰ τῶν Ἑλλήνων προείλετο· δυσσεβείᾳ μέν, τὴν εὐσέβειαν ἀπωσάμενος, πονηρίᾳ δὲ καὶ ποικιλίᾳ γνώμης, τὴν ἀρετήν. οὗτος τὴν μὲν τοῦ προδρόμου θήκην ἀνοίξας, πυρὶ τὰ λείψανα παραδέδωκε, καὶ τὴν κόνιν διελικμήσατο· τὴν δὲ τοῦ Χριστοῦ εἰκόνα τὴν ἐν τῇ Πανεάδι, ἣν ἡ αἱμόρρους ἀνέστησε, κατεαγῆναι καὶ συρῆναι προσέταξεν· εἴδωλον ἐκεῖσε τοῦ Διὸς ἀναστήσας, ἀντὶ τῆς Χριστοῦ εἰκόνος, ὁ δυσσεβής τε καὶ ἀλιτήριος· καὶ πολλὰ λείψανα τῶν ἁγίων κατέκαυσεν· οὐκ ἀτιμωρητίου δέ. στρατεύσας γὰρ ἐπὶ Πέρσας ἐδελεάσθη ὑπὸ τῶν αὐτομόλων ἐμπρῆσαι τὰς ναῦς· εἶτα δι' ἐρημίας καὶ ἀνωμάλων χωρίων τὴν πορείαν[36] ποιούμενος, ἐφ' ἱκανὸν πάντων ἀπολελοιπότων, τῶν τε χρειωδῶν καὶ τῶν ἀναγκαίων, καὶ πολλὰ ταλαιπωρησάντων τῶν

36 πορίαν Cod.

μετ' αὐτοῦ· ἐπειδὴ καιρὸς τοῦ πολέμου καὶ μάχης ἀφίκετο, τραπεὶς εἰς φυγὴν, τιτρώσκεται δόρατι, καὶ τοῦ αἵματος διὰ τῶν ῥινῶν φερομένου, λαβὼν αὐτοῦ ταῖς χερσὶ, καὶ εἰς τὸν ἀέρα λικμήσας, ἔφη, "νενίκηκας, Χριστὲ, κορέσθητι Ναζωραῖε," καὶ οὕτως ἀπέρριψε τὴν δολίαν αὐτοῦ ψυχήν· οὗ τὸ σῶμα ἀπεκομίσθη ἐν Ταρσῷ, καὶ ἐτάφη πλησίον τοῦ τάφου Μαξιμιανοῦ υἱοῦ Γαλλερίου. ἀπεκομίσθη δὲ αὖθις ἐν Κωνσταντινουπόλει, καὶ ἐτέθη ἔνθα καὶ τοῦ Ἰοβιανοῦ, ἐν λάρνακι πορφύρῳ κυλινδροειδεῖ μετὰ Ἑλένης θυγατρὸς Κωνσταντίνου καὶ γυναικὸς αὐτοῦ. τῆς δὲ ἐκκλησίας τότε ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου ἐκράτει Εὐδόξιος Ἀρειανός. Κωνσταντίου τελευτήσαντος, Ἰουλιανὸς μονοκράτωρ γενόμενος, ἀναιδῶς ἑλλήνιζε, καὶ τὸ ἅγιον βάπτισμα αἵματι θυσιῶν ἀπεπλύνατο· Εὐσέβιον πρῶτον τὸν βασιλεῖον εὐνοῦχον ἀνεῖλεν, ὡς ἀδικητὴν, τοῦ δικαίου δῆθεν δόξαν θηρώμενος. ἐδίωξε δὲ καὶ πάντας εὐνούχους τοῦ παλατίου, διὰ τὸ καὶ τὴν γαμετὴν ἀποβαλεῖν, διὰ τὸ εἶναι ἀδελφὴν Κωνσταντίνου, μίσει τῷ πρὸς αὐτὸν, ἀλλὰ καὶ μαγείρους καὶ κουρεῖς· ἐκ δὲ τοῦ δημοσίου δρόμου, καμήλους, βόας, ὄνους, καὶ ἡμιόνους· μόνους δὲ τοὺς ἵππους τῷ δημοσίῳ δρόμῳ ὑπουργεῖν συνεχώρησεν. ὁ αὐτὸς ἐνομοθέτησεν, μὴ μετέχειν Χριστιανοὺς Ἑλληνικῶν μαθημάτων. Ἀπολλινάριος δὲ, τὴν μὲν θείαν γραφὴν ὑληχρησάμενος, πάντων δὲ ποιητῶν τοὺς χαρακτῆρας μιμησάμενος, ἔγραψε τοῦ δι' αὐτῶν παιδεύεσθαι Χριστιανούς. Ἰουλιανὸς δὲ μαντείαις καὶ θυσίαις καὶ δαιμόνων ἀπάταις φραξάμενος, κατὰ Περσῶν ἐστράτευσεν· ὅτι καὶ χρησμὸν λέγεται λαβεῖν, ἔχοντα οὕτως· "νῦν δὲ πάντες ὡρμήθημεν θεοὶ "νίκης τρόπαια κομίσασθαι περὶ θηρὶ ποταμῷ· τὸν δὲ ἐγὼ ἡγε-"μονεύσω, θοῦρος πολεμόκλονος Ἄρης."

## Ἰοβιανός.

Ἰοβιανὸς ἐβασίλευσε μῆνας ὀκτὼ ἔτος ἕν. ὃς ἐν μὲν τῷ στρατῷ Χριστιανὸν αὐτὸν ὡμολόγει. ἦν δὲ καὶ γνωστὸς τῷ Ἰουλιανῷ· ὃς καὶ ὄπισθεν αὐτοῦ περιπατῶν, τὴν Ἰουλιανοῦ χλαμίδα διαπεπάτηκε· πρὸς ὅνπερ ἐπιστραφεὶς Ἰουλιανὸς, καὶ ἰδὼν οὐκ ἄλλον ἀλλ' αὐτὸν, εἶπεν· "εἴθε γοῦν ἄνθρωπος οὗτος Ἰοβιανὸς "ὑπὸ τοῦ στρατοῦ παντὸς ἡρέθη βασιλεύς· τῷ τε εὐσεβὴς εἶναι

“περιφανῶς, καὶ τῷ πραῢς καὶ ἐπιεικής.” ὃς εἰρηνικὰς σπονδὰς καὶ μετὰ Περσῶν ποιήσας, ἐν τῷ ὑποστρέφειν εἰς τὸ Βυζάντιον ἐν Ἀγκύρᾳ τῆς Γαλατίας ἐν χωρίῳ Δαδαστάνῳ μύκητα πεφαρμαγμένον φαγὼν, ἐτελεύτησε. ἀπεκομίσθη δὲ τὸ σῶμα αὐτοῦ, καὶ ἀπετέθη ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν λάρνακι πορφυρᾷ. Ἰουβιανὸς δὲ τὸν περιλειφθέντα στρατὸν σῶσαι θέλων, ἠναγκάσθη Νησίβην μεγάλην καὶ πολυάνθρωπον τοῖς Πέρσαις παραχωρῆσαι· ὁ αὐτὸς προέτεινε τῷ στρατῷ, ὡς ἄρχειν οὐ δύναμαι στρατοῦ ἐν τοῖς χρόνοις Ἰουλιανοῦ ἑλλήνιζειν ἐθίσαντος· πρὸς ὃν πᾶς ὁ στρατὸς, Χριστιανοὶ ὑπάρχειν ὡμολόγησαι. Ἰουβιανὸς οὗτος ἦν τῇ ἡλικίᾳ εὐμήκης· ὥστε μὴ δὲ τῶν βασιλικῶν ἱματίων ἁρμόσαι αὐτῷ. Γυνὴ δὲ ἦν αὐτῷ Χαριτὼ, ἥτις οὐδὲ αὐτὸν βασιλεύσαντα ἐθεάσατο. τὴν δὲ ἐκκλησίαν κατεῖχεν ἐπὶ αὐτοῦ Δημόφιλος Ἀρειανός.

## ΟΥΑΛΕΝΤΙΝΙΑΝΟΣ.

Οὐαλεντινιανὸς οὗτος ἀνηγορεύθη ἐν Νικαίᾳ τῆς τῶν Βιθυνῶν ἐπαρχίας παρὰ τοῦ στρατοπέδου, διὰ τὸ εὐδοκιμῆσαι αὐτὸν ὡς Χριστιανὸν ἐν τῇ ὁμολογίᾳ ἐπὶ Ἰουλιανοῦ. ἦν δὲ τὴν μορφὴν τοῦ σώματος ἀνὴρ εὐμεγέθης, τὴν χωρὰν ἐρυθρός· τὴν τρίχα τῆς κεφαλῆς ἐπίξανθον ἔχων, τοὺς ὀφθαλμοὺς ὡραίους. ἰστέον ὅτι γυναῖκες Οὐαλεντινιανοῦ δύο ὑπῆρχον, Σιβῆρα καὶ Ἰουστίνα· ἥντινα διὰ κάλλος, ἔτι ζώσης Σιβήρας, ἔγημε, καὶ νόμον ἔθετο τοὺς θέλοντας δύο γυναῖκας ἐπὶ τὸ αὐτὸ ἀναγέσθαι, ἀκωλύτους εἶναι. ἀνηνέχθη δὲ τὸ σῶμα αὐτοῦ ἀπὸ τῶν Γαλλιῶν ἐν Κωνσταντινουπόλει, καὶ ἐτέθη ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων· κατεῖχε δὲ τὴν ἐκκλησίαν Εὐδόξιος καὶ Δημόφιλος Ἀρειανός. Οὐαλεντινιανὸς ἐβασίλευσεν ἔτη τρία· οὗ καὶ τὸ αὐστηρὸν διὰ τὸ δίκαιον ἐπῄνειτό τε καὶ ἐθαυμάζετο. οὐ γὰρ ἄνευ λογισμοῦ τὸ αὐστηρὸν ὡς ἐκέκτητο ᾔδεισαν· ἀλλ' ἀεὶ τῷ δικαίῳ τὰ πρῶτα παρεῖλεν· ὑπ' οὐδενὸς ἐκ τούτου περιτρεπόμενος, οὐδὲ μετατιθέμενος ὑπό τινος, ἐξ ὧν ἅπαξ ἐβουλεύσατο· ὃς ὑπὸ τοῦ στρατοῦ, μετὰ Ἰοβιανὸν ἀνηγορεύετο· καὶ ἐπεὶ ἐν Κωνσταντινουπόλει ἠξίουν αὐτὸν κοινωνὸν προλαβέσθαι τῆς βασιλείας, ἔφη· “λήψομαι κοινωνὸν, ὃν ἂν ἐθέλω,” καὶ φθάσας εἰς Νικομήδειαν, ἐπυνθάνετο τῶν ἐν τέλει περὶ τοῦ σὺν αὐτοῦ

βασιλεύσαντος. πρὸς ὃν Δαιλάφος συγκλητικὸς ἀπεκρίνατο· "εἰ[37] "τοὺς σοὺς φιλεῖς, κράτιστε αὐτοκράτορ, ἔχεις ἀδελφὸν, εἰ δὲ "τὴν πολιτείαν, σκόπησον ὅτῳ ἂν τὴν ἁλουργίδα περιβάλῃς." ὁ δὲ τῇ φύσει μᾶλλον πιστεύσας, τὸν ἀδελφὸν Οὐαλέντα προσελάβετο. καὶ ἑαυτοῦ μὲν τὴν δύναμιν ἀπένειμεν, ἐθνῶν τινῶν ἐπανάστασιν ἐνταῦθα μαθὼν, τῷ Οὐάλεντι τὴν ἀνατολήν. ἣν δὲ περὶ τῆς ἀρχῆς τῆς βασιλείας παρὰ Σαλουστίου τινὸς μεμαθηκὼς, ὡς ἐγκρατὴς αὐτῆς γενήσοιτο· ὃν καὶ μηδενὸς ἀποτεύξασθαι ἐπειδὰν ἐπὶ τῆς τοιαύτης ἀρχῆς γένηται· δὲ καὶ ἀπαιτούμενος κατὰ τὴν ὑπόσχεσιν ὑπὸ τὴν ἐπάρχου ἀρχὴν, ἔφη· μὴ δεῖν ἴσως τὴν φυλάττεσθαι πίστιν, ὅταν τοῦτο βλάβος τῇ πολιτείᾳ· ἐπὶ τούτου γυναικός τινος διηρπάγη ὑπὸ Ῥοδάνου πραιποσίτου· ὁ δὲ βασιλεὺς κρίνας προσέταξε τῷ πραιποσίτῳ ἀποδοθῆναι ἴδια· ὁ δὲ οὐκ ἐπείσθη· ὅπερ μαθὼν ὁ βασιλεὺς ἐλθεῖν αὐτῷ ἔφη τὴν γυναῖκα· ἡ δὲ, ἐν ἱπποδρομίᾳ τοῦ βασιλέως· ἐρωτηθεῖσά τε καὶ εἰποῦσα τὴν τοῦ πραιποσίτου, ἐκέλευσε τὸν πραιπόσιτον .... ιστάμενον αὐτῷ μετὰ τῶν ἀμφίων τῆς ἀξίας μεγάλην ἀνάψαντες εἰς τὴν σφενδόνην καῦσαι αὐτόν· καὶ τὴν οὐσίαν αὐτοῦ πᾶσαν ἀποδοθῆναι τῇ γυναικί. οὗτος καὶ τὴν πόλιν Καλχηδόνα καταλύσας, τοῖς λίθοις αὐτῆς τὸν μέγαν ὑδραγωγὸν τῆς πόλεως ἔκτισε, καὶ τὸ ὕδωρ εἰσήγαγεν ἐν τῇ πόλει. καταπολεμήσας δὲ τοὺς Σαυρομάτας, πρέσβεις ἐπ' αὐτῶν ἰδὼν ἐλθόντας, ἠρώτησεν εἰ τοιοῦτοι εἶεν Σαυρομάται· καὶ μαθὼν ὡς οἱ ἄριστοι πρὸς αὐτὸν ἥκασι, πλησθεὶς θυμοῦ, καὶ πρηνῇ τῇ χειρὶ τὸν μηρὸν πλήξας· ἔφη, "δεινὰ Ῥωμαίοις, εἰ τοιοῦτοι ὄντες πρεσ"βεύειν ἀξιοῦσιν·" ἐκ δὲ τοῦ θυμοῦ φασὶ ἀναστομωθῆναι φλέμα, καὶ ἀρτηρίαν διαρραγῆναι, καὶ αἵματος πολλοῦ ἐκχυθέντος τελευτῆσαι τὸν αὐτὸν βασιλέα Οὐαλεντινιανόν. Οὐαλεντινιανὸς ὀρθοδοξότατος ὢν, Ἀμβρόσιον ἐν Μεδιολάνῳ προεχειρίσατο ἐπίσκοπον· ὃν φασὶ τοὺς ἀδίκους ἄρχοντας ἐπὶ τοῦ βασιλέως διελέγχειν. οἱ Γότθοι κακῶς ἐχρῶντο Οὐάλεντι· ὁ δὲ, αἰτεῖ τὸν θειότατον Οὐα-

[37] Sic.

λεντινιανὸν πέμψαι αὐτῷ στρατὸν εἰς βοήθειαν· ὁ δὲ οὐ μόνον οὐ δέδωκεν, ἀλλὰ καὶ ἐπωνείδισεν εἰπὼν, ὅτι οὐ χρὴ ἐπαμύνειν ἀνδρὶ πολεμοῦντι Θεῷ. ἐπὶ αὐτοῦ ἐν Ἀθήναις Βασίλειος καὶ Γρηγόριος ἤκμαζον, παιδευόμενοι παρὰ Ἱμερίῳ καὶ Προαιρεσίῳ εὐδοκίμοις σοφισταῖς. ἐμαθήτευσαν δὲ καὶ παρὰ Λιβανίῳ τῷ ἐν Ἀντιοχείᾳ σοφιστῇ.

## Οὐάλης.

ϛωπβ΄ τῆς σπη.

[38]Οὐάλης ἐβασίλευσεν ἔτη τρία. ἐπὶ αὐτοῦ οἱ Γότθοι περάσαντες τὴν Μαιῶτιν λίμνην, ἐλάφου ἡγησαμένης, ἦλθον εἰς τὴν Θρᾴκην, καὶ δύο γεγονότες μέρη, ἀλλήλοις ἐμάχοντο. καὶ συμμαχίαν αἰτήσαντες οἱ τοῦ ἑνὸς μέρους παρὰ Οὐάλεντος ἐν ὑποσχέσει τοῦ Χριστιανοὺς γενέσθαι, ὅθεν καὶ βαπτισθέντες Ἀρειανοὶ ἀπεκατέστησαν, καθὼς ἦν καὶ Οὐάλης. μετὰ τοῦτο οὖν ἐν Συρίᾳ τοῦ Οὐάλεντος διατρίβοντος, οἱ Σκῦθαι περάσαντες, κατὰ τῆς πόλεως εἰσέφρησαν, σπονδὰς μὴ φυλάξαντες μετὰ τὸ βαπτισθῆναι αὐτούς· ὁ δὲ καταλαβὼν καὶ πολεμήσας, ἡττηθεὶς κατέφυγεν ἐν ἀχυρῶνι, ἐν χωρίῳ Ἀδριανουπόλεως, καὶ κατεκάη ἐκεῖσε. γυνὴ δὲ τούτῳ Δομνίκα Ἀρειανὴ διάπυρος· Δημόφιλος δὲ Ἀρειανὸς τὴν ἐκκλησίαν ἔτι κατεῖχε. πολλὰ δὲ δεινὰ Οὐάλης κατὰ τῶν ὀρθοδόξων εἰργάσατο, ἐμπρησμοὺς θαλαττίους σὺν αὐταῖς νηυσὶ, καὶ πνιγμοὺς ἐν ὕδασι, καὶ βασάνους ἄλλας πολλάς. πᾶσαν οὖν ἐκκλησίαν πορθήσας ἧκεν εἰς Καισάρειαν, κατὰ Βασιλείου πράξας, οἷα καὶ ὁ Θεολόγος εἰς τὸν ἐπιτάφιον γέγραφεν. ὅταν καὶ Γαλάτιος υἱὸς Οὐάλεντος, καὶ ἡ σύμβιος Δομνίκα νόσῳ χαλεπῇ ἐχειμάσθησαν. καὶ Δημοσθένους δὲ ἑνὸς τῶν ὀψοποιῶν Οὐάλεντος ἐν τῇ ὁμιλίᾳ τῇ πρὸς Οὐάλεντα μεμφομένου Βασίλειον, καὶ βαρβαρίσαντος, εἰπεῖν τὸν διδάσκαλον, ἰδοὺ ἐθεασάμεθα καὶ Δημοσθένην ἀγράμματον. πολλοὺς Οὐάλης ἐφόνευσεν ὑπονοηθέντας βασιλεύειν ἀπὸ τοῦ θῆτα γράμματος.

[38] Οὐάλης ὁ ἀδελφὸς αὐτοῦ. οὗτος ἦν τὴν ἡλικίαν διμοιρίαν ἔχων, αὐθάδης τὸν τρόπον καὶ ὑπερήφανος, καὶ πρὸς αἱμάτων χύσεις ἑτοιμοτάτους ἔχων τὰς φρένας, ἀσυμπαθής τε καὶ παντὸς ἐλέους ἀλλότριος.

## Γρατιανὸς Οὐαλεντινιανοῦ.

[39] Γρατιανὸς υἱὸς Οὐαλεντινιανοῦ ἐβασίλευσεν ἔτη τρία, καὶ μετὰ Θεοδοσίου ἔτη τρία. οὗτος γὰρ τὸν μέγαν Θεοδόσιον προεχειρίσατο εἰς βασιλέα ἐν Βυζαντίῳ, ἀγαγὼν ἐξ Ἱσπανίας πρὸς τὸ πολεμεῖν τοὺς Σκύθας τὴν Θρᾴκην ληϊζομένους, αὐτὸς ἐν Ῥώμῃ διέτριβε. Μάξιμος δέ τις Βρεττανὸς δυσανασχ Θεοδόσιος ὑπὸ Γρατιανοῦ βασιλείας ἠξίωται· αὐτοῦ μηδεμιᾶς ἔχοντος τιμῆς, διήγειρε τοὺς ἐν Βρεττανίᾳ ἀν Γρατιανῷ· καὶ ἀποστέλλει Ἀνδραγάθιον κατ᾽ αὐτοῦ· ὁ δὲ ἦλθεν ἐν φορίῳ καταστέγῳ, φημίσας τὴν γυναῖκα Γρατιανοῦ εἶναι, ἐκ Βρεττανίας ἐπανήκουσαν. ἧς τῇ ἀγάπῃ Γρατιανὸς κρατηθεὶς, τῷ φορίῳ προσῆλθε, καὶ ἀνακαλύψας βλέπει τὸν Ἀνδραγάθιον, ὃς παραυτίκα διὰ στρατιωτῶν παρεσκευασμένων ὄντων ἐπὶ τούτῳ, Γρατιανὸν διεχειρίσατο. μετετέθη δὲ ὑπὸ Θεοδοσίου Γρατιανὸς εἰς τοὺς βασιλικοὺς τάφους, ὅστις τοσοῦτον εὐστόχως καὶ ἐπὶ πολὺ ἐτόξευε, ὡς λέγειν τινὰς τὰ Γρατιανοῦ βέλη φρένας ἔχειν. ἐπὶ Γρατιανοῦ Μελέτιος ἀρχιεπίσκοπος Ἀντιοχείας ἐν Κωνσταντινουπόλει γενόμενος, καὶ Δημόφιλον εὑρὼν τὰς ἐκκλησίας κατέχοντα, Γρηγόριον τὸν Θεολόγον ἐκ Ναζιανζοῦ ἤγαγεν πρὸς τὴν τῆς Ἀρειανικῆς πλάνης κατάλυσιν.

## Θεοδόσιος ὁ μέγας.

Θεοδόσιος ὁ μέγας ἐβασίλευσεν ἔτη ις̅. οὗτος ἦν τὴν μὲν ἀναδρομὴν τοῦ σώματος σύμμετρος, ἄμεμπτος, ὑπέρυθρος τῷ προσώπῳ, ξανθὴν ἔχων τὴν τρίχα, τὴν ῥῖνα λεπτὴν καὶ ἐπίγρυπον, χαρίεις τὴν ὁμιλίαν, τὸν τρόπον δὲ χαριέστερος, καὶ εὐγενὴς ἐξ Ἰβήρων τῶν καὶ Ἱσπανῶν· ἔχων γυναῖκα ὀνόματι Πλακίλλαν, ἐξ ἧς ἔσχεν Ἀρκάδιον καὶ Ὀνώριον. τελευτησάσης, Γάλλαν ἀδελφὴν Γρατιανοῦ ἔγημε, καὶ κατὰ τῶν Σκυθῶν χωρήσας πάντας ἀνεῖλε· τοὺς δὲ τοὺς συγγενεῖς Γρατιανοῦ ἀνελόντας τυράννους ἐν Ῥώμῃ, καὶ Ἀνδραγάθιον τὸν αὐτὸν διαχειρισάμενον, πάντας θανάτῳ παρέδωκεν· ἐπὶ δευτέρῳ δὲ τῷ δευτέρῳ ἔτει αὐτοῦ γέγονεν ἡ δευτέρα

39 Γρατιανὸς υἱὸς Οὐαλεντινιανοῦ, ἀνεψιὸς δὲ Οὐάλεντος.

σύνοδος ἐν Κωνσταντινουπόλει ὑπὸ πατέρων ρν̅, κατὰ Μακεδονίου τοῦ πνευματομάχου· ὑπῆρχον δὲ Τιμόθεος Ἀλεξανδρείας· Μελέτιος Ἀντιοχείας· Κύριλλος Ἱεροσολύμων· Γρηγόριος ὁ θεολόγος. ἀνεθεμάτισαν Μακεδόνιον, περὶ τοῦ ἁγίου πνεύματος . . . . φημοῦντα, καὶ σὺν αὐτῷ Σαβέλλιον καὶ Ἀπολινάριον. ἀπέχει οὖν ἡ δευτέρα σύνοδος ἀπὸ τῆς πρώτης, ἔτη ἐξ . . . . · ὅτε καὶ Γρηγόριος ὁ θεολόγος τῆς ἐκκλησίας ἐξεβλήθη. ἤχθη δὲ ἐπὶ αὐτοῦ ἐπὶ Κωνσταντινουπόλει ἡ κεφαλὴ Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ τὰ λείψανα τῶν ἁγίων μαρτύρων Τερεντίου καὶ Ἀφρικάνου, καὶ ἀπετέθησαν εἰς τὴν ἁγίαν Εὐφημίαν ἐν τῇ πέτρᾳ. ὁ αὐτὸς ἤγαγε τὸν μέγαν Ἀρσένιον ἐκ Ῥώμης, ἀκούσας τῆς αὐτοῦ φιλοσοφίας καὶ θείου γνώσεως, καὶ τούτῳ Ἀρκάδιον καὶ Ὀνώριον τοὺς αὐτοῦ παῖδας δέδωκε παιδεύεσθαι παρ' αὐτοῦ τὰ ἱερὰ γράμματα· ὃν καὶ βασιλεοπάτορα πεποίηκεν. οὗτος ἐν νυκτὶ δεόμενος τοῦ Θεοῦ, ἤκουσε φωνῆς λεγούσης· Ἀρσένιε φεῦγε τοὺς ἀνθρώπους καὶ σώζῃ.

Οὗτος ὁ Θεοδόσιος, οὓς Κωνσταντῖνος ὁ μέγας τῶν Ἑλλήνων ναοὺς οὐ κατέλυσεν, ἀλλὰ κλεῖσθῆναι μόνον προσέταξε, πάντας ἕως ἐδάφους κατέλυσε· τελευτῶν δὲ, τὸν μὲν Ἀρκάδιον, ἀποκαθίστησι βασιλέα Κωνσταντινουπόλεως καὶ τῆς ἑῴας ἁπάσης· Ὀνώριον δὲ σὺν Πλακιδίᾳ χειροτονεῖ τῆς δύσεως βασιλεῖς. καὶ ὁ μὲν Ὀνώριος ἔσχε τὰ βασίλεια εἰς Ῥάβενναν· Πλακίδα δὲ ἡ θυγάτηρ Γρατιανοῦ, ἐν τῇ Ῥώμῃ. ἐπὶ τούτων Γιζέριχος εἷλε Ῥώμην, καὶ αἰχμαλώτους ἤγαγε τὰς βασιλίδας. ἐπὶ Θεοδοσίου τοῦ μεγάλου Γρηγόριος ὁ Θεολόγος τῇ νῦν ἐκκλησίᾳ Ἀναστασίας τῆς μάρτυρος, εὐκτηρίῳ ἔτι οὔσῃ μικρῷ, τοὺς ὀρθοδόξους ἐδίδασκεν· Ἀναστασίαν δὲ τὸν μέγαν οἶκον ὁ ἱστορῶν φησὶν ὀνομάζεσθαι, ἢ διὰ τὴν τῆς ὀρθῆς πίστεως ἀνάστασιν, ἢ διὰ τὸ γυναῖκα ἐγκύμονα πεσοῦσαν ἄνωθεν τελευτῆσαι· κοινῆς δὲ ὑπὸ τῶν ὀρθοδόξων γενομένης εὐχῆς, ἀναστῆναι τὴν τελευτήσασαν· τὸ δὲ τὴν τοῦ ναοῦ ἐπωνυμίαν, παρά τισι δισσῶς ὀνομάζεσθαι τοῖς ἱστόρουσιν οὕτως ἡρμήνευται· τὸ μὲν Ἀναστασίαν αὐτὴν κεκλῆσθαι διὰ τὸν τῆς ὀρθοδοξίας λόγον ἐν αὐτῇ τὴν ἀνάστασιν δέξασθαι· τὸ δὲ Ἀναστασίαν καλεῖσθαι αὐτὴν διὰ τὸ συμβᾶν ἐν αὐτῇ θαυματούργημα. Θεοδόσιος ἐδήλωσε Δημοφίλῳ, ἢ τῆς Ἀρείου πλάνης ἀποστῆναι, ἢ τῶν ἐκκλησιῶν ὑπεκστῆναι. ἐξῆλθεν οὖν κατησχυμένος·

τεσσάρακοντα ἔτη τῶν Ἀρειανῶν κατασχόντων τὰς ἐκκλησίας. ἡ σύνοδος οὖν καὶ ὁ βασιλεὺς, Γρηγόριον καὶ ἄκοντα βιασάμενοι, τῷ θρόνῳ τῆς ἀρχιερωσύνης ἐνίδρυσαν, ὡς πολλὰ κάμοντα, καὶ τῆς λώβης τῶν αἱρέσεων τὴν πόλιν ἐλευθερώσαντα· τοὺς ἐξ Αἰγύπτου δὲ μαθὼν ὁ Γρηγόριος τῷ λόγῳ τούτου φθονήσαντας, τὸν συνακτήριον λόγον ἐπιδεξάμενος, ἑκουσίως τῆς ἐπισκοπῆς ὑπεχώρησε· Νεκταρίου ἀντ' αὐτοῦ ὑπὸ τοῦ βασιλέως προχειρισθέντος. τὸ σῶμα Παύλου τοῦ ὁμολογητοῦ Θεοδόσιος εἰς τὴν πόλιν εἰσήγαγε, καὶ ἐν τῇ ἐπὶ Παῦλον ὀνομαζομένῃ ἐκκλησίᾳ ἀπέθετο· ἣν ᾠκοδόμησε Μακεδόνιος Παύλῳ ἐπιβουλεύων. Ἡλιόδωρος γράψας τὰ λεγόμενα Αἰθιοπικὰ ἐπίσκοπος ἦν Τρίγκης ἐπὶ Θεοδοσίου· γράφει δὲ καὶ διὰ στίχων ἰάμβων τὴν τοῦ χρυσοῦ ποίησιν πρὸς τὸν αὐτὸν Θεοδόσιον[38].

Διὰ τοὺς γενομένους[39] ἐν Θεσσαλονίκῃ, σὺν τῷ πλήθει καὶ τῷ ἐπάρχῳ καὶ τῷ παιδὶ αὐτοῦ, ἐν Μεδιολάνῳ Θεοδόσιος ἀπιὼν, εἴργετο τῆς ἐκκλησίας παρὰ Ἀμβροσίου ἐπιπολύ· μετὰ πολλῆς οὖν ἱκεσίας καὶ μετανοίας μόλις δεχθεὶς, ὡς ἔθος τὰ δῶρα προσενεικὼς τοῦ θυσιαστηρίου, τοῦτον ἐκστῆναι ἐκέλευσεν Ἀμβρόσιος, διδάξας ἱερέων καὶ βασιλέων τύπον· ὃς ἐν Κωνσταντινουπόλει ἐλθὼν ἐτύπωσε τοῦτο· τῶν βασιλέων πρὸ τούτου ἔνδοθεν τοῦ θυσιαστηρίου ἱσταμένων. ἐν Ἀντιοχείᾳ ἡ τῆς γυναικὸς αὐτοῦ Πλακίλλης εἰκὼν, φόρων ἕνεκα πλείστων ἐπιθέσεως· δι' ἣν ὀργισθεὶς ὁ βασιλεὺς, ὄλεθρον ἄρδην ἠπείλησε τῇ πόλει· ἐκεκώλυτο δὲ διὰ τὸν τοῦ θυμοῦ νόμον, ὃν ὁ Ἀμβρόσιος γράψαι τοῦτον πεποίηκε. τότε καὶ Ἰωάννης ὁ Χρυσόστομος πρεσβύτερος ἐν Ἀντιοχείᾳ ὢν, τοὺς ἀνδριάντας ἔγραψε. Θεοδοσίου ἐν Μεδιολάνῳ τελευτήσαντος, τὸ σῶμα αὐτοῦ Ἀρκάδιος ἐν τῇ πόλει ἀποκομίσας, κατατίθησιν ἐν τῷ ἡρώῳ, ὅπερ ὁ ἐν ἁγίοις Κωνσταντῖνος κατεσκεύασεν εἰς ταφήν· τὴν δὲ τῆς ἀρχιερωσύνης καθέδραν κατεῖχεν Νεκτάριος.

## Ἀρκάδιος.

Ἀρκάδιος ἐλθὼν ἀπὸ Ῥώμης, ἐβασίλευσεν ἔτη κβ, ἐάσας ἐν τῇ Ῥώμῃ Ὀνώριον. οὗτος ἐποίησεν ἴδιον ἀριθμὸν, οὓς Ἀρκαδιακοὺς

38 Cf. Fabr. Bibl. Gr. t. vi. p. 156.

39 Suppl. θορύβους.

ἐκάλεσεν· ἔστησε δὲ καὶ τὸν κίονα τοῦ ξηρολόφου, ἱδρύσας ἐν αὐτῷ τὸν ἑαυτοῦ ἀνδριάντα, καὶ πόλιν ἐν τῇ Θράκῃ κτίσας, ἐκάλεσεν Ἀρκαδίου πόλιν. ἐπὶ τούτου ἐξωρίσθη Ἰωάννης ὁ Χρυσόστομος· συσκευῆς γεγονυίας ὑπ' Εὐδοξίας Αὐγούστης καὶ Θεοφίλου Πάπα Ἀλεξανδρείας· ἐπέμφθη ἐν Κουκουσῷ. ἀσπασαμένου δὲ αὐτοῦ Ὀλυμπίαδα θυγατέρα Σελεύκου ἀπὸ ἐπάρχων καὶ ἑτέρας σεμνὰς γυναῖκας, ἐξῆλθε τῆς ἐκκλησίας, καὶ παρ' εὐθὺ πῦρ ἐξελθὼν ἐκ τοῦ θυσιαστηρίου κατέκαυσε πάντα. τῷ αὐτῷ δὲ χρόνῳ ἀντῆραν οἱ Ἴσαυροι πραιδεύοντες μέχρι Καππαδοκίας. ἐπὶ τοῦ αὐτοῦ Ἀρκαδίου εἰσῆλθε καὶ τὰ λείψανα τοῦ ἁγίου Σαμουὴλ τοῦ προφήτου, καὶ ἀπετέθησαν ἐν τῷ ναῷ αὐτοῦ πλήσιον τοῦ ἑβδόμου.

Ἀρρωστήσας δὲ ὁ αὐτὸς βασιλεὺς τελευτᾷ, καταλιπὼν Θεοδόσιον τὸν υἱὸν αὐτοῦ· πάντας τοὺς ὑπ' αὐτὸν ὄντας ἀρίστους προαποκτείνας, διὰ τὸ μεῖζον εἶναι τὸ ἐκείνου φρόνημα· ἐν οἷς ἦν καὶ Ῥουφῖνος ὁ παρ' αὐτῷ μέγα δυνάμενος· ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, ἐν τῇ μεσεμβρινῇ στοᾷ, ἔνθα καὶ ἡ γυνὴ αὐτοῦ Εὐδοξία προαπετέθη ἐν λάρνακι Ῥωμαίῳ. Νεκταρίου τελευτήσαντος, Ἀρκάδιος Ἰωάννην ἀπὸ Ἀντιοχείας ἀγαγὼν ποιεῖ πατριάρχην· τῶν εὐγενῶν δὲ ὢν ὁ Ἰωάννης καὶ ἐλλόγιμος· ᾧ καὶ Λιβάνιος ἐμαρτύρησε· πυθομένων δὲ γὰρ τῶν αὐτοῦ φοιτήτων, τίνα ἀντ' αὐτοῦ προίστησι τῷ διδασκαλίῳ· Ἰωάννης, ἔφη, εἰ μὴ ἐσυλήθη ὑπὸ τῶν Γαλιλαίων. μεταξὺ Ἰωάννου καὶ Ἐπιφανίου τῆς Κύπρου γογγυσμὸς . . . . . . Εὐδοξίαν γέγονεν· ἐδήλωσε δὲ Ἰωάννης Ἐπιφανίῳ τὴν ἐν τῷ πλοίῳ αὐτοῦ τελευτήν· ὡσαύτως καὶ Ἐπιφάνιος τὴν ἐπ' ἐξορίας αὐτοῦ τελευτήν· μέλλων δὲ ἀποπλεῖν Ἐπιφάνιος ἐπὶ Κύπρον τοῖς παραπέμπουσι φίλοις ἔφη· "σπεύδω "ἐγὼ, σπεύδω, ἀφίημι δὲ ὑμῖν τὰ βασίλεια, τὴν πόλιν, καὶ τὴν "ὑπόκρισιν." τελευτήσαντος Ἰωάννου ἐν τῇ ἐξορίᾳ, χειροτονεῖται Ἀρσάκιος πατρίαρχης. Γαινᾶς Ἀρκαδίῳ ἀντάρας, πολλὰ δεινὰ κατὰ τῆς πόλεως εἰργάσατο· πολέμου δὲ συρραγέντος κατά τε γῆν καὶ θάλασσαν, αὐτὸς καὶ οἱ σὺν αὐτῷ ἀπώλοντο.

### Θεοδόσιος ὁ νέος υἱὸς Ἀρκαδίου.

Θεοδόσιος ὁ νέος υἱὸς Ἀρκαδίου ἐβασίλευσεν ἔτη λγ. οὗτος ἔγημε βουλῇ Πουλχερίας τῆς ἰδίας ἀδελφῆς καὶ Παυλίνου φιλουμένου παρ᾽ αὐτοῦ, Εὐδοκίαν Ἀθηναίαν ὡραιοτάτην πάνυ, θυγατέρα οὖσαν Λεοντίου τοῦ φιλοσόφου. ἐν τῇ μεγάλῃ δὲ ἐκκλησίᾳ ἀπιόντος αὐτοῦ, προσήγαγεν αὐτῷ πένης μῆλον μέγα καὶ ὑπερφυές· ὅπερ ἰδὼν ὁ βασιλεὺς καὶ ἡ σύγκλητος, ἐξεπλάγησαν, καὶ δεδωκὼς τῷ πένητι νομίσματα ἑκατὸν ἀπέστειλε τῇ Αὐγούστῃ· αὐτὴ δὲ νοσοῦντι τῷ Παυλίνῳ τῷ συμπράξαντι τοῖς γάμοις αὐτῆς, ἀπέστειλε· πάλιν δὲ ὁ Παυλῖνος εἰσερχομένῳ τῷ βασιλεῖ ἐν τῷ παλατίῳ ἀγνοῶν ἀπέστειλεν· ὁ δὲ, γνωρίσας ἀπέκρυψε, καὶ εἰσελθὼν ἠρώτησε τὴν Αὐγούστην περὶ τοῦ μήλου. ἡ δὲ, εἶπε φαγεῖν αὐτό· ὁ δὲ, ὥρκωσεν αὐτὴν εἰς τὴν σωτηρίαν αὐτοῦ, μή τινι τοῦτο πέπομφεν· ἡ δὲ, εἶπε φαγεῖν αὐτό· καὶ τοῦ μήλου ἐνεχθέντος, γέγονεν ἔκτοτε μεταξὺ αὐτῶν λύπη καὶ ἀπομερισμός· τὸν δὲ Παυλῖνον ἀποστείλας ἀνεῖλεν ὁ βασιλεὺς νυκτί· καὶ γνοῦσα τοῦτο ἡ Αὐγούστα, ὡς ὑβρισθεῖσα ἐξώρμησεν εἰς τοὺς ἁγίους τόπους, κἀκεῖ τελευτᾷ ἐν Ἱεροσολύμοις· ἐν δὲ τῷ μέλλειν τελευτᾶν ἐπωμόσατο μὴ συνειδέναι τῇ κατηγορίᾳ τῇ κατ᾽ αὐτῆς ἕνεκε Παυλίνου.

Οὗτος δὲ ὁ Θεοδόσιος ἦν τὸ σῶμα μέσος, ὄμματα ἐς κύκλον τῶν βλεφάρων μείζονα ἔχων, μέλανά τε καὶ ὀξὺ βλέποντα, ῥὶς λεπτὴ καὶ ὀρθία, μελίθριξ· πάσης παιδείας μετασχὼν καὶ ἀστρονομίας· ἱππεύειν τὲ καὶ τοξεύειν ἀσκηθεὶς τοῦ μετρίου πέρα· μειλίχιος ὢν τὸν τρόπον, καὶ ἐς ἄγραν ἐπιτήδειος· ὥστε διὰ τοῦτο καὶ πολλὰ τῶν κοινῶν διαπεσεὶς τῇ πρὸς τοὺς εὐνούχους κρατηθέντα αἰδῶ· οἵτινες ἦσαν Εὐτρόπιος, Λαῦσος καὶ Καλοπόδιος, καὶ πρὸς τούτοις Χρυσάφιος αὐτὸν κατεδουλώσατο. ὁ δὲ αὐτὸς βασιλεὺς Θεοδόσιος πέμψας εἰσήγαγε τὸ λείψανον Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ ἀπέθετο ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγίων Ἀποστόλων· ἐπὶ αὐτοῦ δὲ ἀπετέθη καὶ τὰ λείψανα τῶν ἁγίων Στεφάνου καὶ Λαυρεντίου.

Ἐν δὲ τῷ τρισκαιδεκάτῳ αὐτοῦ ἔτει γέγονε καὶ ἡ τρίτη σύνοδος ἡ ἐν Ἐφέσῳ ὑπὸ διακοσίων πατέρων· ἐξ ὧν Κύριλλος

Ἀλεξανδρείας· Κελεστῖνος Πάπας Ῥώμης· Ἰουβενάλιος Ἱεροσολύμων, κατὰ Νεστορίου ἐπισκόπου Κωνσταντινουπόλεως, καὶ Ἀλεξάνδρου Ἱεραπόλεως, λέγοντος μὴ εἶναι θεοτόκον, ἀλλὰ Χριστοτόκον· καὶ τοῦτον ἀναθεματίσαντες, ἐκύρηξαν θεοτόκον κυρίως καὶ ἀληθῶς τὴν ἁγίαν παρθένον Μαρίαν· ἀπέχει δὲ τῆς δευτέρας ἡ τρίτη ἔτη ὀκτώ· ὅτε καὶ οἱ ἑπτὰ παῖδες ἀνέστησαν οἱ κοιμηθέντες ἐπὶ Δεκίου.

Ἐξῆλθε δὲ ὁ βασιλεὺς Περσῶν κατὰ Ῥωμαίων· ἀπέστειλε δὲ ὁ βασιλεὺς Προκόπιον στρατηλάτην κατ᾽ αὐτῶν· ὁ δὲ Περσῶν βασιλεὺς δηλοποιεῖ Προκοπίῳ, ὡς ὅτι ποιῶ πάκτα εἰρήνης μετὰ Ῥωμαίων ἐπὶ πεντήκοντα ἔτη, ἐὰν ἡττηθῇ ὃν προβάλλομαι Πέρσην εἰς τὸ μονομαχῆσαι· εἰ δὲ ἡττηθῇ παρ᾽ αὐτοῦ ὁ ἐξ ὑμῶν μέλλων μονομαχεῖν, αὐτὸν λαμβάνειν μεκεντηνάρια πεντήκοντα καὶ τὰ ἐξ ἔθους δῶρα πάντα. τοῦτο δοξάντων, ἐξῆλθε ὁ Πέρσης· ὁ δὲ στρατηλάτης προεβάλετο Ἀρεόβινδον Κόμητα φοιδεράτων· καὶ ἐξελθόντες ἔνοπλοι καὶ ἔφιπποι, τοῦ Ἀρεοβίνδου σώκιστρον κατέχοντος, καὶ πρώτου τοῦ Πέρσου ὁρμήσαντος κατ᾽ αὐτοῦ, ὑποπλαγίασας ὁ Ἀρεόβινδος, ἐσώκισεν αὐτὸν τῷ σωκίστρῳ, ᾧ ἐπεφέρετο, καὶ κατενεγκὼν ἐκ τοῦ ἵππου ἔσφαξε· καὶ ἐποίησε πάκτα εἰρήνης ὁ βασιλεὺς Περσῶν. εἰσελθὼν δὲ ἐν τῇ πόλει Ἀρεόβινδος, καὶ μεγάλως παρὰ τοῦ βασιλέως ἀποδεχθεὶς, προήχθη ὕπατος· ὁ δὲ αὐτὸς βασιλεὺς καταλύσας τὸ χερσαῖον τεῖχος τῆς πόλεως, καὶ προσθεὶς ἄλλα διαστήματα δύο, ᾠκοδόμησεν ἕτερον τεῖχος, διὰ Κύρου ἐπάρχου σοφωτάτου καὶ ἱκανοῦ, δι᾽ ἡμερῶν ἑξήκοντα.

Μετὰ δέ τινα χρόνον ἐξῆλθεν ὁ βασιλεὺς ἱππασθῆναι, καὶ συμπεσόντος αὐτῷ τοῦ ἵππου, πληγεὶς εἰσῆλθεν ἐν λεκτικίῳ, καὶ καλέσας τὴν ἀδελφὴν Πουλχερίαν, εἶπεν αὐτῇ, διὰ Μαρκιανὸν τὸν μετ᾽ αὐτὸν βασιλεύσαντα, "τοῦτο γάρ μοι," φησὶν, "ὁ Θεολό-" "γος Ἰωάννης ἀπεκάλυψεν ἐν Ἐφέσῳ μοι ὄντι." καὶ μεταστειλάμενος Μαρκιανὸν, εἶπεν αὐτῷ "ἐπὶ Ἄσπαρος καὶ τῆς συγκλή-" "του ἐδείχθη μοι, ὅτι σὲ δεῖ γενέσθαι βασιλέα μετ᾽ ἐμέ·" καὶ μεθ᾽ ἡμέρας δύο ἐτελεύτησε.

Πουλχερία ἡ βασιλὶς, καίπερ νέα οὖσα, ἄριστα τὴν βασιλείαν ἐδιῴκει, διὰ τὸ τὸν ἀδελφὸν αὐτῆς καὶ βασιλέα Θεοδόσιον πάνυ μικρὸν εἶναι· ἐπαίδευσε δὲ καὶ τὸν ἀδελφὸν σωφρόνως βιοῦν, καὶ

αὐτὴ τὴν ἰδίαν παρθενίαν Θεῷ προσανέθηκε, καὶ τὰς ἀδελφὰς Ἀρκαδίαν καὶ Μαρίναν τὰ ὅμοια πράττειν ἐδίδαξεν. Ἀρσακίου τελευτήσαντος, Ἀττικὸς ὁ ἐν ἁγίοις χειροτονεῖται πατριάρχης. ἐπὶ Θεοδοσίου Ἄσπαρ καὶ Ἀρδαβούριος προχειρίζονται δομέστικον[40] ἀνατολῆς τε καὶ δύσεως. Ἀττικοῦ τελευτήσαντος, Σισίνιος προχειρίζεται· τούτου τελευτήσαντος, Νεστόριος γέγονε πατριάρχης· τούτου καθαιρεθέντος, Πρόκλος ἀντ᾽ αὐτοῦ χειροτονεῖται· ὅτε καὶ τὸ λείψανον τοῦ Χρυσοστόμου ἐν τῇ πόλει μετετέθη ὑπὸ Θεοδοσίου παρακλήσει Πρόκλου πατριάρχου· ἐπὶ αὐτοῦ ἐν τῇ λιτῇ τοῦ κάμπου ἤρθη παιδίον μετέωρον, ἐπὶ ὥρας πολλὰς, ὃ καὶ ἐπήκουσε θείας φωνῆς, μὴ προστιθέναι ἐν τῷ τρισαγίῳ ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς, ὃ καὶ μέχρι τοῦ νῦν ᾄδεται.

Θεοδόσιος ὁ βασιλεὺς εὐμετάγωγος ἦν σφόδρα, πειθόμενος τοῖς ὑποβάλλουσιν αὐτῷ οἰκείοις, ὥστε καὶ χάρτας ἀπαραγνώστως ὑπέγραφεν· ὅπερ γνοῦσα Πουλχερία ἡ αὐτοῦ ἀδελφὴ σοφὸν ὑπῆλθεν αὐτὸν δωρεὰν ὑποβάλλουσα Θεοδοσίῳ ἐκχωροῦσα πρὸς δουλείαν Εὐδοκίαν τὴν γαμετὴν αὐτοῦ, ἣν καὶ ὑπέγραψε, καὶ δεινῶς ὑπὸ τῆς Πουλχερίας ὠνειδίσθη. Πρόκλου τελευτήσαντος, Φλαβιανὸς ἀνὴρ ἱερώτατος τῆς ἐκκλησίας προέστη.

Ἐκ τῶν Γότθων, ἔθνη γέγονε τέσσαρα, Γότθοι, Ὑπόγοτθοι, Γήπεδες, καὶ Οὐανδίλοι, ἐξ ὧν Ἄβαρις ἤρξατο διαπερᾶν ἐν τῇ Ῥωμαίων γῇ. Χρυσάμφιον εὐνοῦχον πολλὰ δυνάμενον παρὰ τῷ βασιλεῖ Θεοδοσίῳ, ὡς καὶ Νεστορίῳ προσκείμενον, μετὰ θάνατον Θεοδοσίου Πουλχερία ἀνεῖλε. Κῦρος ἔπαρχος τῆς πόλεως, ἀνὴρ σοφώτατος καὶ ἱκανὸς, ἔκτισε τὰ τείχη τῆς πόλεως, ὅπερ ἐξέπληξε τὸν δῆμον, διὰ τὸ κάλλος καὶ τὸ τάχος τῆς τοῦ τείχους κτίσεως· καὶ ἐποίησεν ἐκβοῆσαι καθελομένου τοῦ βασιλέως ἐν τῷ ἱππικῷ, "Κωνσταντῖνος ἔκτισε, Κῦρος ἀνενέωσε." φθονηθεὶς οὖν διαβάλλεται ὡς ἑλληνόφρων· δεσμευθεὶς οὖν καὶ ἀποκαρεὶς, χειροτονεῖται ἐν Σμύρνῃ ἐπίσκοπος. ἐπὶ τούτου τὰ τέλη γέγονεν ἐν Κωνσταντινουπόλει σεισμὸς μέγας, ὥστε πολὺ μέρος τῆς πόλεως καταπεσεῖν.

40 Sic.

### Μαρκιανὸς ὁ γαμβρὸς Θεοδοσίου.

ε λξα'. Μαρκιανὸς ἐβασίλευσεν ἔτη ἕξ, καὶ μῆνας πέντε, στεφθεὶς ὑπὸ Ἀνατολίου Πατριάρχου. οὗτος ὁ Μαρκιανὸς ἦν πρεσβύτης τὴν ἡλικίαν, αἰδέσιμος, ἱεροπρεπὴς τῇ καταστάσει, ἐρύθημα[41] ἐπὶ τοῦ προσώπου φέρων κεκερασμένον χάριτι, μεγαλόψυχος, φιλαργυρίας ὑπέρτερος, σώφρων, καὶ περὶ τὰ θεῖα εὐλαβὴς, πρὸς τοὺς ἁμαρτάνοντας συμπαθὴς, ἄπειρος δὲ παιδείας τῆς ἔξωθεν. ἔγημε δὲ ὁ αὐτὸς θειότατος Μαρκιανὸς Πουλχερίαν τὴν ἀδελφὴν Θεοδοσίου τοῦ βασιλέως, οὖσαν πεντηκοντατεσσάρων ἐτῶν παρθένον, καὶ μὴ διαφθαρεῖσαν.

Ἐπὶ τούτου γέγονεν ἡ τετάρτη σύνοδος ἐν Καλχηδόνι ὑπὸ πατέρων χλ', κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου καὶ Νεστορίου τῶν ματαίων, λεγόντων μὴ εἶναι τὴν σάρκωσιν τοῦ Κυρίου ὁμοούσιον ἡμῖν, ἀλλ' ἐκ δύο φύσεων τὴν ἕνωσιν λέγεσθαι, μίαν δὲ ἀποτελεσθῆναι μετὰ τὴν ἕνωσιν, καὶ ὡς ἐν φαντασίᾳ φορέσαι τὴν σάρκα τὸν Κύριον καθομολογούντων, καὶ θεότητι πάθος ἀπονεμόντων. ἡγοῦντο δὲ Λεόντιος Ῥώμης, Ἀνατόλιος Κωνσταντινουπόλεως, Ἰουβενάλιος Ἱεροσολύμων. εἰσῆλθον δὲ καὶ τὰ λείψανα τοῦ ἁγίου προφήτου Ἡσαΐου ἐνεχθέντα ἀπὸ Νεάδος, καὶ κατετέθησαν εἰς τὸν ἅγιον Λαυρέντιον. τῷ δὲ τρίτῳ ἔτει αὐτοῦ ἐκοιμήθη Πουλχερία, ἥτις κτίζει τὸν ναὸν τῆς ὑπεραγίας θεοτόκου, τὸν ἐν τοῖς Χαλκοπρατίοις καὶ τὸν ἐν Βλαχέρναις, καὶ τοὺς αὐτῶν ὀρόφους χρυσῷ ἐποίκιλλέ τε καὶ ἐκαλλώπισε.

Τυφθεὶς δὲ τοὺς πόδας αὐτοῦ Μαρκιανὸς ἔτι ἐν στρατείᾳ ὢν, καὶ νοσήσας, ὑπελείφθη ἐν πόλει Σύδιμα· ἀναρρωσθεὶς οὖν ᾠκειώθη δυσὶν εὐπόροις ἀδελφοῖς, ἅμα δὲ αὐτοῖς ἐπὶ θήραν ἐξιὼν, ὡς μεσημβρίας πάντες ἀναπαυσάμενοι ὕπνωσαν. ἔξυπνοι δὲ γενόμενοι οἱ αὐτάδελφοι, ὁρῶσιν ὑπνοῦντα ἐν ἡλίῳ Μαρκιανὸν, ὑπὸ ἀετοῦ δὲ περισκεπόμενον· ἐκπλαγέντες οὖν διϋπνισθέντι λέγουσιν αὐτῷ, "εἰ "βασιλεύσεις, τί ἡμῖν χαρίσῃ;" ὁ δὲ διαπιστῶν ὅμως ἔφη, "ἀντὶ "πατρὸς ἔχειν ὑμᾶς·" δόντες οὖν αὐτῷ νομίσματα διακόσια, ἀπέστειλαν ἐν τῇ πόλει, "μέμνησο ἡμῶν ὁπόταν εὐτυχῇς·" φήσαντες· ὁ δὲ εἰσελθὼν προσεκολλήθη τῷ Ἄσπαρ, καὶ Ἀρδαβουρίῳ· εἶθ' οὕτω

41 ἐρύθιμα Cod.

μετὰ Ἄσπαρος εἰς Ἀφρικὴν ἐλθὼν, ἐζωγρήθη· ὑπνοῦντος δὲ ἐν τῇ αὐλῇ ἐξ οἴκου ἀετὸς αὖθις κατελθὼν, ἐπέσκεπεν αὐτόν· ὁραθεὶς δὲ παρὰ Γιζερίχου, τοῦτον ἀνελεῖν ᾠήθη, ὡς βασιλεύσειν μέλλοντα Ῥωμαίων. λογισάμενος δὲ ὡς τὴν τούτων βουλὴν κωλῦσαι ἀδύνατον, σπονδὰς εἰρήνης μετ' αὐτοῦ ποιήσας ἐξαπέστειλε. Φλαβιανοῦ τελευτήσαντος, ἐπὶ Μαρκιανοῦ, Ἀνατόλιος προχειρίζεται. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν τῷ ἡρῴῳ.

## Λέων ὁ μέγας ὁ Μακέλλης.

ε͵ϡοη, Ἰνδικτιῶνος ζ'.

Λέων ὁ μέγας, ὁ Μακέλλης, ἐβασίλευσεν ἔτη ιη̄ διὰ τὴν ἀρετὴν αὐτοῦ, καὶ διὰ τὸ εἶναι ὀρθόδοξος, προβληθεὶς παρὰ Ἄσπαρ καὶ Ἀρδαβουρίου· τούτους γὰρ βουληθέντας τῆς βασιλείας κρατῆσαι, οὐκ εἴασεν ἡ σύγκλητος, Ἀρειανοὺς ὄντας· οὓς ὁ βασιλεὺς Λέων βλέπων μὴ ὀρθὴν πίστιν πρὸς αὐτὸν ἔχοντας, ἀλλὰ πάντα τὰ πράγματα ὑπὸ τὴν διοίκησιν αὐτῶν βουλομένους εἶναι, ἀνεῖλεν αὐτούς· γράψας καὶ πρὸς Ἀνθέμιον βασιλέα Ῥώμης ἐπιστολήν τινα περιέχουσαν καὶ τοῦτο· "ὅτι ἐγὼ ἐφόνευσα Ἄσπαρα καὶ "Ἀρδαβούριον, ἵνα μηδείς μοι ἐναντιοῦται κελεύοντι." μάκελ δὲ λέγεται Ῥωμαϊστὶ ὁ φονεύς[41].

Οὗτος δὲ ὁ Λέων ἦν κάτισχνος μὲν τὸ σῶμα, ὑπόσπανος δὲ τὴν γενειάδα, καὶ τὰς ὄψεις ἄγαν ἐκτετηκώς· φρονήσει δὲ κεκοσμημένος, εἰ καὶ παιδείας καὶ μαθημάτων ἐκτός· Ἄσπαρ δὲ ᾐτήσατο τὸν βασιλέα Λέοντα ἐγκαταστῆσαι τῇ πόλει ἔπαρχον τῆς ἑαυτοῦ γνώμης ὁμόφρονά τε καὶ ὁμόδοξον· ὃ κατένευσε μὲν ὁ βασιλεὺς ποιῆσαι, μὴ βουλομένου δὲ, Εὐνύχιον[42] δεδήλωκεν ἑνὶ τῶν συγκλητικῶν τοῦ παραγενέσθαι ἕωθεν ἐν τῇ προελεύσει· τοῦ δὲ παραγενομένου, προσκαλεσάμενος αὐτὸν ὁ βασιλεὺς, τῆς πόλεως ἔπαρχον προεβάλετο. Ἄσπαρ δὲ παρ' ἐλπίδας ἰδὼν καὶ ἐκπλαγεὶς ἐπὶ τοῦτο, εἰσελθὼν, ἐκράτησε τοῦ ἱματίου τοῦ βασιλέως, καὶ φησὶ πρὸς αὐτὸν, "βασιλεῦ τὸν ταύτην τὴν ἁλουργίδα "περιβεβλημένον, οὐ χρὴ διαψεύδεσθαι." "ἀλλὰ μὴν καὶ τοῦτο," φησὶν ὁ βασιλεὺς, "προσήκει τῷ βασιλεῖ τὸ μὴ ὑπείκειν τινὶ καὶ "ὑποκεῖσθαι, μάλιστ' ὅταν τοῦ κοινοῦ σύμφορον ᾖ."

41 In marg. σφαγεύς. 42 Sic.

Ἐπὶ τούτου δὲ ἠνέχθη ἐσθὴς τῆς ὑπεραγίας θεοτόκου ἐξ Ἱεροσολύμων, εὑρεθεῖσα παρά τινι γυναικὶ εὐλαβεστάτῃ Ἑβραΐδι καὶ παρθένῳ· καὶ τὰ λείψανα τῆς ἁγίας Ἀναστασίας, καὶ κατετέθη ἐν τῷ μαρτυρίῳ αὐτῆς. ἐπὶ αὐτοῦ δὲ γέγονε καὶ ὁ μεγάς ἐμπρησμὸς ἀπὸ τοῦ νεωρίου ἀρξάμενος καὶ μέχρι τοῦ ἁγίου Θωμᾶ κατελθὼν, ἀφ' οὗ καὶ κόνις ἐξ οὐρανοῦ κατηνέχθη, ὥστε κεῖσθαι εἰς τοὺς κεράμους ἕως σπιθαμῆς· ἐν δὲ ταῖς ἡμέραις αὐτοῦ ἦν καὶ ὁ ἅγιος Δανιὴλ ὁ Στυλίτης ἐν τῷ Ἀνάπλῳ, εἰς ὃν καὶ πολλὴν πίστιν εἶχεν ὁ αὐτὸς βασιλεὺς, νόσῳ δὲ τελευτᾷ.

Ἐπὶ Λέοντος. Ἀνατολίου τελευτήσαντος, Γεννάδης προχειρίζεται πατριάρχης· προεβάλλετο δὲ Μαρκιανὸν οἰκονόμον τῆς τῶν καθαρῶν ὄντα θρησκείας, εἰς δὲ τὴν ἐκκλησίαν μετελθόντα. ὃς ἐν τῷ ἐμπρησμῷ εἰς τοὺς κεράμους ἀνελθὼν τῆς ἁγίας Ἀναστασίας, κατέσχων τὸ Εὐαγγέλιον, ἀβλαβῆ τὸν οἶκον διέσωσε, τοῦ πυρὸς καμαροειδῶς ὑπερβάντος ἄνωθεν αὐτῆς.

Ἐπὶ Γενναδίου ἡ χεὶρ τοῦ ζωγράφου ἐξηράνθη τοῦ ἐν σχήματι διὰ[43] τὸν Σωτῆρα ζωγραφίσαντος, ὃν δι' εὐχῆς ἰάσατο ὁ Γεννάδιος. φασὶ δὲ ἄλλο σχῆμα τοῦ Σωτῆρος τοῦ οὖλον καὶ ὀλιγότριχον· ὑπάρχει δὲ τὸ ἀληθέστερον. ἐπὶ Λέοντος Στούδιος δυνάστης ἔκτισε τὸν ναὸν τοῦ ἁγίου Ἰωάννου, καὶ μοναχοὺς ἐκ τῶν ἀκοιμήτων αὐτῷ ἐγκατέστησεν. ἐπὶ Λέοντος τὸ τοῦ προφήτου Ἐλισσαίου σῶμα μετετέθη ἐν Ἀλεξανδρείᾳ ἐν τῇ μονῇ Παύλου τοῦ λεπροῦ. λεπρὸν γὰρ ἰάσατο, καὶ λεπρὸν ἐποίησε, καὶ εἰς τὰ τοῦ λεπροῦ ἐτέθη. ἐπὶ αὐτοῦ Ἰσοκάσιος κοιέστωρ, ὡς Ἕλλην διαβληθεὶς, εἰσήχθη πρὸς τὸν ἔπαρχον τῆς πόλεως δεδεμένος ὀπιθάγκονα· ἔφη οὖν αὐτῷ πόλεως[44] ἔπαρχος, "ὁρᾷς ἑαυτὸν Ἰσοκάσιε ἐν ποίῳ σχήματι καθέστηκας;" ὁ δὲ εἶπεν, "ὁρῶ καὶ οὐ ξενίζομαι, ἄνθρωπος γὰρ ὢν, ἀνθρωπίναις περιέπεσα συμφοραῖς· ἀλλὰ δίκασον ἐπ' ἐμοὶ, ὡς ἐδίκαζες σὺν ἐμοί·" ταῦτα μαθὼν ὁ βασιλεὺς, καὶ σπλαγχνισθεὶς ἐπὶ τούτῳ, ἐλεύθερον εἴασεν.

Ἐπὶ Λέοντος μετὰ χίλια τριακόσια ἔτη τῆς τοῦ Ῥωμύλου βασιλείας, τοῦ τὴν Ῥώμην κτίσαντος, βασιλεύει Ῥωμῦλος, καὶ κατέπαυσεν ἡ βασιλεία ἐπὶ Ῥωμύλου, ἀρξαμένη ἐπὶ Ῥωμύλου,

43 Leg. Διὸς. 44 πασέως Cod.

Ὀδοάκρου Γότθου ῥηγὸς τὴν ἀρχὴν χειρωσάμενος. οὗτος δὲ ὁ Λέων Ζήνωνα στρατηλάτην προχειρισάμενος, εἰσεποιήσατο γαμβρὸν εἰς Ἀριάδνην[44] τὴν ἰδίαν θυγατέρα τὴν ἐκ Βερνίκης· νόσῳ δὲ ληφθεὶς ὁ αὐτὸς Λέων, ἐτελεύτησε, προσχειρισάμενος εἰς βασιλέα Λεόντα τὸν αὐτοῦ ἔγγονον· ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν λάρνακι πρασίνῃ ἐν τῷ τοῦ ἁγίου Κωνσταντίνου Ἡρώῳ· ἡ γυνὴ δὲ τούτου Βερνίκη ἀδελφὴ Βασιλίσκου.

## ΛΕΩΝ Ὁ ΜΙΚΡΟΣ.

Λέων ὁ μικρὸς ὁ ἔγγονος αὐτοῦ, ὁ ἀπὸ Ζήνωνος καὶ Ἀριάδνης, ἐβασίλευσεν ἔτος ἕν, καὶ στέψας τὸν ἴδιον πατέρα Ζήνωνα, ἐτελεύτησε.

## ΖΗΝΩΝ.

Ζήνων ἐβασίλευσεν ἔτη ἑπτά. [45] ἰνδικτιῶνος $\overline{\beta}$. ἐπὶ αὐτοῦ ἐκτίσθη τὸ Ἀμώριον· ἐστέφθη δὲ ὑπὸ Ἀκακίου πατριάρχου ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου, τὴν δὲ τῆς ἀρχιερωσύνης τιμὴν κατεῖχε Φραβίτας πρεσβύτερος τῆς ἁγίας Θέκλης, καὶ μετ' ἐκεῖνον Ἀκάκιος. τελευτήσαντος δὲ αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν τῷ Ἡρώῳ ἐν λάρνακι τεθέντος πρασίνῃ· ὁ δὲ Ζήνων διωχθεὶς μὲν τῆς βασιλείας ὑπὸ Βασιλίσκου, τοῦ γὰρ Ζήνωνος ἐν τῇ Θράκῃ διατρίβοντος, συνεργούσης Βερίνης τῷ αὐτῆς ἀδελφῷ Βασιλίσκῳ, καὶ Ἁρμάτῳ ἀνεψιῷ, ἐστασίασαν κατὰ Ζήνωνος· οὓς φοβηθεὶς ὁ Ζήνων, ἐλθὼν ἐκ τῆς Θράκης σὺν Ἀριάδνῃ καὶ χρημάτων ἱκανῶν, φεύγει ἐν Ἰσαυρίᾳ εἴς τι φρούριον ὀχυρόν.

Μετὰ δέ τινας χρόνους τοῦ Βασιλίσκου κακῶς διοικοῦντος, καὶ διὰ τοῦτο ἄχθος τῆς συγκλήτου πρὸς αὐτὸν ἐχούσης, Ζήνων πάλιν σὺν τῇ Ἀριάδνῃ τὴν βασιλεύουσαν καταλαβὼν, ἐδέχθη ὑπὸ τῆς συγκλήτου, ἀνελὼν Βασιλίσκον καὶ Ἁρμάτιον. ἐπὶ αὐτοῦ δὲ γέγονε σεισμὸς ὁ φοβερὸς ἐν Κωνσταντινουπόλει, καὶ ἔπεσον ἐκκλησίαι πολλαὶ, οἰκίαι τε καὶ ἔμβολοι ἕως ἐδάφους· ἔπαθέ τε καὶ Νικομήδεια μητρόπολις.

Οὗτος δὲ ὁ Ζήνων ἦν τῆς κακίστης καὶ εἰδεχθοῦς γενεᾶς τῶν

[44] ἀρεάδνην Cod. [45] Sic.

Ἰσαύρων· ἀπόγονοι γὰρ τοῦ προπάτορος αὐτῶν Ἡσαῦ ἐτύγχανον· δασὺς καὶ αὐτὸς ὁ Ζήνων καὶ εἰδεχθέστατος, ὥσπερ Ἕλληνες ζωγραφοῦσι τὸν Πάνα, τραγοσκέλην τε καὶ δασύκνημον· τὴν χροιὰν μέλας, τὴν ἡλικίαν ἀσύμβλητος, ὀργίλος, μνησίκακος καὶ φθόνου μέστος. Μαριανὸς δέ τις προεῖπεν αὐτῷ "ὅτι καὶ τὴν "βασιλείαν καὶ τὴν γυναῖκά σου διαδέχεταί τις ἀπὸ Σελευτια- "ρίων." Πελάγιον δέ τινα ἀπὸ Σελευτιαρίων ὄντα πατρίκιον, ἄνδρα σοφώτατον, ἐκέλευσε φυλάττεσθαι ἐν εἱρκτῇ· ὃν οἱ φυλάττοντες ἐν νυκτὶ ἀπέπνιξαν κατὰ κέλευσιν Ζήνωνος. μετὰ δὲ χρόνον ὀλίγον δυσεντερίᾳ ληφθεὶς ὁ Ζήνων, ἐτελεύτησεν, τῶν ἀκεφάλων ὤν.

Ζήνων ἡδοναῖς ἀτόποις καὶ πράξεσιν ἀτόποις ἐσχόλαζεν· ἐφ᾽ ᾧ τὸ τοῦ Ἀποστόλου Βαρνάβα λείψανον εὑρέθη ἐν Κύπρῳ ὑπὸ δένδρον κερατέαν, ἔχον ἐπὶ στήθους τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἰδιόγραφον τοῦ Βαρνάβα, ἐξ ἧς προφάσεως γέγονε μητρόπολις, καὶ μὴ τελεῖν ὑπὸ Ἀντιόχειαν, ἀλλ᾽ ὑπὸ Κωνσταντινούπολιν· τὸ δὲ τοιοῦτον Εὐαγγέλιον Ζήνων ἀπέθετο εἰς τὸ παλάτιον ἐν τῷ ἁγίῳ Στεφάνῳ.

Ἐπὶ αὐτοῦ Περίζης ὁ Πέρσης ἡττηθεὶς ἐν πολέμῳ ὑπὸ Οὕννων, τὸν μάργαρον, ὃν ἐφόρει λευκότατον καὶ μέγαν εἰς ὑπερβολήν, ὡς Προκόπιος ὁ Καισαρεὺς γράφει, ἐξ ὠτὸς τοῦ δεξιοῦ ἀφελόμενος, ἔρριψεν· ὅπως μήτις αὐτὸ τῶν Περσῶν βασιλεὺς ὀπίσω αὐτοῦ φορέσῃ. ἐπὶ δὲ τοῦ γεγονότος σεισμοῦ, ἔπεσε καὶ ἡ σφαῖρα τοῦ ἀνδριάντος τοῦ φόρου, καὶ ἡ στήλη τοῦ μεγάλου Θεοδοσίου, εἰς τὸν κίονα τοῦ ταύρου.

Ὁ αὐτὸς τὴν ἰδίαν πενθερὰν Βερίναν ἐξώρισεν εἰς τὸ Παπυρίου καστέλλον, βουλῇ Ἴλλου μαγίστρου· ἡ δὲ Ἀριάδνη μηνιῶσα διὰ τὴν μητέρα, παρεγγύησεν Οὐρβικίῳ ἀνελεῖν τὸν Ἴλλον. καὶ ἀνερχόμενος ὁ Ἴλλος ἐν τῷ ἱππικῷ εἰς τὸν μέγαν Κοχλίαν, μετὰ ξίφους λαβὼν, ἀπετμήθη τὸ δεξιὸν ὦς· ἐκ τούτου ἀνταρσίαν κατὰ Ζήνωνος ἐμελέτησε, προβληθεὶς καὶ δομέστικος τῆς ἀνατολῆς.

### Ἀναστάσιος ὁ δίκορος.

Ἀναστάσιος ὁ δίκορος ἀπὸ Σελευτιαρίων, ὁμοίως ἀκέφαλος ὤν, ἐβασίλευσεν ἔτη εἰκοσιεπτά. οὗτος καὶ τὸ σῶμα εὐμήκης τε, τὸν

δὲ ὀφθαλμὸν χαροπός τε καὶ γλαυκὸς μετρίως, φαλακρὸς ἠρέμα καὶ πολιός. ἄγει δὲ αὐτὸν ἐπὶ μοναρχίαν Οὐρβίκιος, ὁ τότε μεγίστην περὶ τὰ βασίλεια καὶ τοῖς εὐνούχοις ἔχων δύναμιν· ἐφ' οὗ Ἀναστασίου Βιταλιανὸς ὁ Θρᾷξ ἀντάρας, καὶ παραλαβὼν Θρᾷκας καὶ Σκύθας, ἦλθεν ἕως τοῦ ἀνάπλου πραιδεύων· ἀλλὰ ναυμαχήσαντος αὐτῷ Μαριανοῦ τοῦ ἐπάρχου σοφωτάτου μετὰ τοῦ μηδικοῦ πυρὸς καὶ θείου ἀπύρου[45], οὗ κατεσκεύασε Πρόκλος ὁ φιλόσοφος, κατέφλεξε τὰς ναῦς τῶν βαρβάρων· ὁ δὲ Βιταλιανὸς ἔφυγε μετ' ὀλίγων διασωθείς.

Τοῦ δὲ βασιλέως βουληθέντος προσθεῖναι εἰς τὸν τρισάγιον, τὸ "ἅγιος ὁ σταυρωθεὶς δι' ἡμᾶς ἐλέησον ἡμᾶς," οἷα πειθομένου Σεβήρῳ τῷ ἀκεφάλῳ· τοῦ λογοθέτου δὲ καὶ τοῦ ἐπάρχου ἀνελθόντων ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας τοῦτο ἐκφωνῆσαι, γέγονε δημοτικὴ στάσις, ἐπιβοωμένων ἄλλον βασιλέα τῇ πόλει· ἐμπρήσαντες πολλοὺς οἴκους καὶ ταραχὰς ποιήσαντες, καὶ τὸν βασιλέα ὑβρίσαντες, ἦλθον ἕως τῆς κινστέρνης, τῆς οὔσης πλησίον τοῦ ἁγίου Μωκίου, ἣν ὁ αὐτὸς βασιλεὺς ἔκτισε· καὶ τὸν ἡγούμενον τῆς μονῆς τοῦ ἁγίου Φιλίππου, ὃς ὑπὸ τοῦ βασιλέως ἠγαπᾶτο, φονεύσαντες, καὶ τὴν κεφαλὴν αὐτοῦ ἐπὶ δόρατος ἀναρτήσαντες, ἔκραζον "οὗτος ἐστὶν ὁ φίλος τοῦ ἐχθροῦ τῆς ἁγίας Τριάδος." ἀλλὰ καὶ γυναῖκα ἐγκλειστὴν, εἰς ἣν ὁ βασιλεὺς εἶχε πίστιν, ἀνεῖλον, καὶ σύραντες ἀμφοτέρους, ἔκαυσαν ἐν τῇ μονῇ τῶν Στουδίων. ὁ δὲ βασιλεὺς φοβηθεὶς, πρὸς μικρὸν ἐπαύσατο τῆς αἱρέσεως.

Ἐπὶ τούτου Μούνδαρος ὁ τῶν Σαρακηνῶν φύλαρχος, ἐβαπτίσθη ὑπὸ ὀρθοδόξων. Σευῆρος δὲ, ἐπισκόπους ἔπεμψε πρὸς αὐτὸν δύο, θέλων αὐτῷ μεταδοῦναι τῆς οἰκείας αἱρέσεως· ὧν τοῦ δόγματος τὸ ἄτοπον αἰσθόμενος, ἔφη μεθ' ὑποκρίσεως πρὸς τοὺς ἐπισκόπους, "ἐδεξάμην γράμματα σήμερον, ὅτι Μιχαὴλ ὁ ἀρχάγγελος ἀπέ-" θανε·" τῶν δὲ εἰπόντων ἀδύνατον εἶναι τοῦτο, "καὶ πῶς," φησι, "Θεὸς γυμνὸς ἐσταυρώθη καθ' ὑμᾶς, εἰ μὴ ἐκ δύο φύσεων ὁ Χριστὸς, εἰ δὲ μὴ ἄγγελος ἀποθνήσκει, ὡς φατὲ," ὅπερ ἀκούσαντες, καὶ σφόδρα ἐκπλαγέντες εἰς τὸ φυσικὸν φρόνημα τῆς προτάσεως αὐτοῦ, ἀνεχώρησαν μετ' αἰσχύνης.

45 ἀπείρου Cod.

Ἀναστάσιος εἶδε καθ' ὕπνους φοβέρον τινὰ τῇ χειρὶ κατέχοντα κώδικα γεγραμμένον, καὶ λέγοντα αὐτῷ· "ἰδοὺ διὰ τὴν ἀπιστίαν "σου, ἀπαλείφω[46] τῆς σῆς ζωῆς ἔτη ιδ'." καὶ βροντῶν καὶ ἀστραπῶν περὶ τὸ παλάτιον εἰλουμένων, τοῦ βασιλέως μονωτάτου καταλειφθέντος, καὶ φεύγοντος ἀπὸ τόπου εἰς τόπον ἐν ἑνὶ τῶν κοιτωνίσκων τῷ λεγομένῳ ὤτω, κατέλαβεν αὐτὸν ἡ ὀργὴ, ὥστε αἰφνίδιον εὑρεθῆναι νεκρόν. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, ἐν λάρνακι λιθίνῃ Ἀκυντάνῃ, μετὰ Ἀριάδνης τῆς αὐτοῦ γυναικὸς προτελευτησάσης. οὗτος λέγεται καῦσαι καὶ τὰ βιβλία τοῦ χρυσοῦ καὶ ἀργύρου.

Τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον, κατεῖχέ τις Τιμόθεος. φασὶ δὲ αὐτὸν μετὰ τὸ ταφῆναι, μεθ' ἡμέρας τινὰς βοᾶν· "ἐλεήσατέ "με, καὶ ἀνοίξατε·" τῶν μνημοραλίων δὲ εἰπόντων, "ἄλλος βασι-"λεύει," ἔφη· "οὐδέν μοι μέλει, εἰς μοναστήριον ἀπαγάγετέ με·" οἱ δὲ εἴασαν αὐτόν. λέγεται δὲ μετ' οὐ πολὺ τὸ μνῆμα ἀνοιγῆναι, καὶ εὑρηθῆναι αὐτὸν ὑπὸ πείνης φαγόντα τοὺς βραχίονας αὐτοῦ, καὶ τὰ καλήγια ἃ ἐφόρει. διὰ τὸ εἶναι αἱρετικὸν Ἀνάστασιον, Εὐθύμιος Πατριάρχης προσέκειτο ταῖς ἀντάρασιν· ὅπερ γνοὺς Ἀναστάσιος ὁ βασιλεὺς μετὰ τὸ χειρώσασθαι αὐτοὺς ἐδήλωσεν Εὐθυμίῳ ἁγίῳ· "αἱ εὐχαί σου ὁμέσας τοὺς φίλους σου ἠσβόλωσε·" προεχειρίσατο δὲ ἀντ' αὐτοῦ Μακεδόνιον· εἰς ὃν, διὰ τὸ μὴ ὑπείκειν τῇ αἱρέσει αὐτοῦ, πολλὰ δεινὰ ἐνεδείξατο. φασὶ γὰρ τελευτήσαντος Μακεδονίου ἐν ἐξορίᾳ φοβερόν τι συμβῆναι· νεκρὸν γὰρ ὄντα καὶ ἐν κραββάτῳ τεθειμένον, βλεπόντων πάντων, σφραγίσασθαι ἑαυτὸν τῷ σταυρῷ. μέλλοντος δὲ ἐν Νεοκαισαρείᾳ γίνεσθαι σεισμοῦ ὁδεύων, δύο τινὰς εἶδεν ἐπὶ τὴν πόλιν βαδίζοντας, καὶ ὄπιθεν ἄλλον βοῶντα· "φυλάξατε τὸν οἶκον ἐν "ᾧ ἡ θήκη Γρηγορίου ἐστί." γενομένου δὲ τοῦ σεισμοῦ, τὸ πλεῖστον μέρος τῆς πόλεως ἐπτοήθη, πλὴν τοῦ ἁγίου Γρηγορίου.

Ἀναστάσιος πολλὰ τῶν χαλκουργημάτων ζωδαχωνεύσας, ἐξ αὐτῶν στήλην ἰδίαν ἔστησεν εἰς τὸν κίονα ταύρου. ἡ γὰρ πρώην ἑστῶσα, Θεοδοσίου ἦν τοῦ μεγάλου· ἥτις ἀπὸ σεισμοῦ πεσοῦσα συνετρίβη. ἐφ' ᾧ ἀνὴρ τίς ἐκ τῆς χείμης τεχνῶν εὐφυὴς ὢν, ἐπεδείκνυεν ἀργυροπράτας τὲ καὶ ἑτέρας χεῖρας καὶ πόδας ἀνδρι-

[46] ἀπαλάφω Cod.

άντων, καὶ ἕτερα εἴδη χρυσᾶ· λέγων θησαυροὺς εὑρηκέναι· καὶ διὰ τοῦτο πολλοὺς ἀπατῶν εἰς πένιαν ἤνεγκε· φήμης οὖν περὶ αὐτοῦ διαθεούσης, κρατηθεὶς, ἤχθη Ἀναστασίῳ[46]· προσήνεγκε δὲ τῷ βασιλεῖ ἵππου ὁλόχρυσον χαλινὸν διὰ μαργαρίτων· ὃν λαβὼν ὁ βασιλεὺς ἔφη αὐτῷ· "ὄντως σὺ ἐμὲ οὐ κομπάγεις." ἐξώρισε δὲ αὐτὸν εἴς τι φρούριον, ἔνθα καὶ τελευτᾷ. ἐπὶ αὐτοῦ Δευτέριος ἐπίσκοπος Βυζαντίου Ἀρειανὸς, βάρβαρόν τινα βαπτίζων, ἐτόλμησε εἰπεῖν· "βαπτίζεται ὁ δεῖνα. εἰς ὄνομα Πατρὸς δι' Υἱοῦ ἐν "Ἁγίῳ Πνεύματι·" καὶ εὐθέως ἐξηράνθη ἡ κολυμβήθρα. ὁ δὲ βάρβαρος ἔμφοβος γενόμενος γυμνὸς ἔφυγεν ἐν τῇ ἀμφόδῳ, ὡς ἐξ αὐτοῦ πᾶσι γνωσθῆναι τὸ θαῦμα. δύο[47] ἐπισκόπων ἀμφισβητούντων ἐπὶ Ἀναστασίου, ὀρθοδόξου καὶ Ἀρειανοῦ· καὶ τοῦ μὲν Ἀρειανοῦ διαλεκτικοῦ ὄντος, τοῦ δὲ ὀρθοδόξου θεσσεβοῦς καὶ πιστοῦ· ὁ ὀρθόδοξος προὔτεινεν ὥστε ἀφεμένων τῶν λόγων, εἰς πυρὰν εἰσελθεῖν, καὶ οὕτως δειχθῆναι τοὺς εὐσεβεστέρους· τοῦ δὲ Ἀρειανοῦ τοῦτο παραιτησαμένου, αὐτὸς εἰσελθὼν, ἀπὸ τῆς πυρᾶς διελέγετο, καὶ ἀπαθὴς ἐφυλάττετο.

## Ἰουστῖνος ὁ Θρᾷξ ὁ μέγας.

Ἰουστῖνος ὁ Θρᾷξ, ὁ μέγας ἐν πολέμοις, καὶ ζηλωτὴς ὢν τῆς ὀρθοδόξου πίστεως, ἦν καὶ τῷ σώματι μεσῆλιξ, εὐρὺς τοὺς ὤμους καὶ τὰ στέρνα· πολιὸς μετὰ οὐλότητος καὶ δασείας κόμης. ἐπήνθει δὲ τῷ προσώπῳ αὐτοῦ ἔρευθος, βλοσυρῷ ὄντι καὶ πλατεῖ· ὃς καὶ Βιταλιανὸν τὸν προρρηθέντα ᾠκειώσατο, καὶ στρατηγὸν ἐτίμησε· καὶ παρρησίαν ἔχειν πρὸς αὐτὸν ὑπὲρ τοὺς λοιποὺς ἐποίησεν. ἐδολοφονήθη δὲ ὁ Βιταλιανὸς, παρὰ τῶν Βυζαντίων, μηνιώντων αὐτὸν, διὰ τὴν προειρημένην ἐπανάστασιν. Ἀμάντιον δὲ τὸν πραιπόσιτον, ὃς τὸν ναὸν τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ θαυμαστῶς ᾠκοδόμησε, καὶ ποικίλως ἐκόσμησε, λέγεται χρήματα δεδωκέναι Ἰουστίνῳ ὄντι Κόμητι τῶν ἐξ κουσάτρων[48] ἐπὶ Ἀναστασίου, ὅπως Θεόκτιτον τὸν ἀνεψιὸν αὐτοῦ ἀναγορεύσῃ εἰς βασιλέα· τοῦτον ἀνεῖλεν Ἰουστῖνος, καὶ τοὺς τὴν ἀνταρσίαν σὺν αὐτῷ μελετήσαντας, τὴν βασιλείαν αὐτὸς κατασχών.

46 Ἀναστάσιος Cod. 47 διὸ Cod. 48 Leg. fors. κουρσόρων.

Ἐπὶ αὐτοῦ τὰ κατὰ τὸν ἅγιον Ἀρέθαν καὶ τοὺς ἐν Νεγρᾶ τῇ πόλει ἐπράχθη, καὶ τὰ κατὰ τῶν Ὁμηριτῶν δι' Ἐλεσβαὰν τοῦ βασιλέως Αἰθίοπων. ἐτυπώθη δὲ ἐπὶ αὐτοῦ τοῦ ἑορτάζειν ἡμᾶς, καὶ τὴν ἑορτὴν τῆς ὑπαπαντῆς, μέχρι τότε μὴ ἑορταζομένης· ἀφ' οὗ ἀστὴρ ἐφάνη ἐν τῷ οὐρανῷ ἐπάνω τῆς χαλκῆς πύλης ἐν τῷ παλατίῳ· φαίνων ἐπὶ ἡμέρας καὶ νύκτας εἰκοσιεννέα· καὶ γέγονε σεισμὸς φοβερώτατος· καὶ ἡ μὲν Κωνσταντινούπολις ἐν διαφόροις τόποις ἀπέλαβεν.

Ἡ δὲ μεγάλης Ἀντιοχείας πάθος ἔπαθεν ἀνεκδιήγητον· ὡς κατατηωθῆναι[49] πᾶσαν[50] σχεδὸν τὴν πόλιν, καὶ τάφον γενέσθαι τῶν οἰκητόρων· τοσαύτη γὰρ ἡ ὀργὴ τοῦ Θεοῦ ἐπῆλθεν, ὡς καὶ τοὺς ὑπολειφθέντας πῦρ ἐξελθεῖν ἀπὸ τῆς γῆς, καὶ οἰκτρῶς καταφλέξαι· ἀλλὰ καὶ ἡ Πομπηϊούπολις τῆς Μυσίας διαρραγεῖσα μέσον κατεπόθη μετὰ τῶν οἰκητόρων· καὶ ἔκραζον ὑπὸ τὴν γῆν ὄντες οἱ ἄνθρωποι τὸ "ἐλεήσατε." καὶ γυνὴ δέ τις ἐπὶ αὐτοῦ ἀνεφάνη ἐκ Κιλικίας οὖσα γιναντογενής, ὑπερέχουσα τῇ ἡλικίᾳ πάντα ἄνθρωπον μακρὸν, πῆχυν ἕνα· καὶ πλατεῖα σφόδρα, ὡς ἐπὶ θαύματος δὲ οἱ ἀδόμενοι ὁρῶντες αὐτὴν ἐν ταῖς ἐργαστηρίοις καὶ οἴκοις, ἐδίδον αὐτῇ ἀνὰ ὀβολοῦ.

Ὁ δὲ αὐτὸς βασιλεὺς πολλὰ ἐφιλοφρονήσατο τῇ τε πόλει Ἀντιοχείᾳ πρὸς ἀνοικοδομὴν, καὶ τοὺς ἐν αὐτῇ ζῶντας ὑπολειφθέντας· τοσοῦτον δὲ ἐπ' αὐτῇ ἤλγησεν, ὡς καὶ τὸ διάδημα ἀποθεῖναι καὶ τὴν πορφύραν, καὶ σάκκον καὶ σποδὸν περιβαλέσθαι, καὶ πενθεῖν ἐπὶ πολλὰς ἡμέρας. ἐτελεύτησε δὲ καταλιπὼν βασιλέα Ἰουστινιανὸν τὸν ἴδιον ἀνεψιόν· ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῇ μονῇ τῆς Αὐγούστης, ἐν λάρνακι πρασίνῳ, μετὰ δὲ τῆς γυναικὸς αὐτοῦ Εὐφημίας· ἐν ᾧ καὶ αἱ στολαὶ εὑρέθησον. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον διεῖπεν, Ἰωάννης ὁ λεγόμενος Καππαδόκης.

Ἰουστῖνος ἀνεκαλέσατο πάντας ἱερεῖς καὶ ἄνδρας εὐσεβεῖς ὀρθοδόξους, οὓς Ἀναστάσιος ἀδίκως ἐξώρισεν. ἐπὶ αὐτοῦ Ἔδεσα πόλις, τοῦ Σκιρτοῦ ποταμοῦ μέσον αὐτῆς διερχομένου, καὶ πλοῦτον καὶ τέρψιν αὐτῇ παρεχομένου, πλημμυρήσαντος αὐτῆς σὺν τοῖς συνοίκοις ἐποντίσθη. μετὰ δὲ τὸ παύσασθαι τὰ ὕδατα, πλάξ λιθίνη ἀνέθη ἐν τῇ τοῦ ποταμοῦ ὄχθῃ, ἱερογλυφικοῖς γράμμασιν

49 Leg. καταπτοηθῆναι. 50 πᾶς Cod.

ἐγκεκολαμένη περιέχουσαν οὕτως· "Σκιρτὸς ποταμὸς σκιρτήσει "κακὰ σκιρτήματα πολίταις." Εὐλαλίου τινὸς ἀπὸ πλουσίων πένητος τελευτήσαντος, καὶ γράψαντος Ἰουστίνου βασιλέα κληρονόμον ἐν διαθήκαις, καὶ παρακαλεσαμένου ὥστε τὰς τρεῖς αὐτοῦ θυγατέρας μικρὰς καταλειφθείσας ἀναθρέψαι, καὶ ἐκπροικίσαι, καὶ πάντα αὐτοῦ τὰ χρέα δοῦναι τοῖς δανεισταῖς, καὶ τὰ γραμματεῖα αὐτοῦ ἀναρρύσασθαι· πάντα βασιλικῶς Ἰουστῖνος ἐπλήρωσε, καταπλήξας ἐν τούτῳ πάντα ἀκούσαντα ἄνθρωπον.

### Ἰουστινιανὸς ὁ μέγας.

Ἰουστινιανὸς ἐβασίλευσεν ἔτη λθ', ἐτῶν ὢν μέ· οὗτος τὴν μὲν τοῦ σώματος ἀναδρομὴν βραχὺ μείζων τοῦ μέσου, ἐρυθρὸς τὴν χροιὰν, χαροπὸν καὶ εὐπερίστροφον βλέπων, καὶ τὴν κεφαλὴν πρὸς κόμης κάλλος μικρὸν ἐψιλωμένην ἔχων· ὑπατεύσας ἐν μέσῃ τῇ πόλει, καὶ δοὺς χρήματα πάμπολλα. οὗτος οὖν ἐποιήσε καὶ τὰς νεαρὰς διατάξεις ἐκφωνήσας, καὶ τύπον περί τε ἐπισκόπων καὶ ξενοδόχων καὶ οἰκονόμων καὶ ὀρφανοτρόφων, ὥστε μὴ κληρονομεῖσθαι πλὴν ὧν πρὸ τοῦ γενέσθαι ἐκέκτηντο. οὗτος διωγμὸν κατὰ Ἑλλήνων καὶ πάσης αἱρέσεως ἐκίνησεν· εὑρὼν δὲ πολλοὺς τῶν Ἑλλήνων ἐν τέλει τούτῳ νοσοῦντας, δεσμεύσας καὶ τιμωρησάμενος, φόβον πολὺν εἰργάσατο, θεσπίσας μόνους ὀρθοδόξους πολιτεύεσθαι.

Ἐπλήρωσε δὲ καὶ τὸ δημόσιον λουτρὸν τὸ εἰς τὸν διηγηστέα[51]· ὃ ἤρξατο κτίζειν Ἀναστάσιος ὁ βασιλεύς. ἡ δὲ Ἀντιόχεια σειομένη οὐκ ἐπαύετο, μέχρι οὗ ἐφάνη θεοσεβεῖ ἀνθρώπῳ ἐπιγράψαι εἰς τὰ ὑπέρθυρα τῶν φλιῶν· "Χριστὸς μεθ' ἡμῶν, στῆτε·" καὶ τούτου γενομένου ἔστη ἡ ὀργὴ τοῦ Θεοῦ, καὶ ἔκτοτε ἡ πόλις ὠνομάσθη Θεούπολις.

Ἐπὶ αὐτοῦ γέγονε δημοτικὴ ἀνταρσία, καὶ τήν τε ἁγίαν Σοφίαν καὶ τὸν τοῦ ὁσίου Σαμψὼ οἶκον μετὰ τῶν ἀρρώστων καὶ τὴν εἴσοδον τοῦ παλατίου τὴν χαλκόστεγον, τὴν ἔκτοτε καὶ νῦν χαλκὴν προσαγορευομένην, διὰ τὸ ἐκ χαλκῶν κεράμων κεχρυσωμένην ἐστεγᾶσθαι αὐτὴν, καὶ τοὺς δύο ἐμβόλους μέχρι τοῦ φόρου κατέκαυσαν· καὶ Ἰουστινιανὸν βασιλέα ἀναθεματίζοντες, ἐφύβριζον· Ὑπάτιον δὲ πατρίκιον εὐφήμησαν ἐν τῷ καθίσματι στέψαντες·

51 Sic.

ἥτις ἀνταρσία ἐπαύθη, διὰ Βελισαρίου καὶ Μούνδου καὶ Ναρσῆ, ἀνελόντων τρίακοντα πέντε χιλιάδας, καὶ αὐτὸν Ὑπάτιον ἐν τῷ ἱπποδρόμῳ. ἀνεκαινισε δὲ ἐκ θεμελίων ὁ Ἰουστινιανὸς τὴν τοῦ Θεοῦ μεγάλην ἐκκλησίαν.

Ἰστέον δὲ ὅτι τῷ ἑξακισχιλιοστῷ μ' ἔτει ἀπὸ κτίσεως κοσμοῦ, ἰνδικτιῶνος ιε', ὥρᾳ πρώτῃ τῆς ἡμέρας, τοῦ Φεβρουαρίου μηνὸς εἰκοστῇ γ' τὸν τῆς μεγίστης ἐκκλησίας ἀνοικισμὸν ἤρξατο ποιεῖν ὁ Ἰουστινιανὸς εἰς κάλλος καὶ μέγεθος ὑπὲρ τὸ πρότερον παραδοὺς κα . .[52] αὐτῇ ὑπ' αὐτοῦ μελισθέντα ψάλλεσθαι· ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ· ἀλλὰ καὶ ἡ ὑπαπ. . . ἔλαβε δωρον ἑορτάζεσθαι, μὴ συναριθμουμένη πρότερον ταῖς δεσποτικαῖς ἑορταῖς.

Τῷ δὲ ιδ' ἔτει αὐτοῦ, γέγονε καὶ ἡ πέμπτη σύνοδος ἡ κατὰ Σευήρου. τῷ δὲ δεκάτῳ αὐτοῦ ἔτει, γέγονε τὰ πρῶτα ἐγκαίνια μεγάλης ἐκκλησίας. γενομένης δὲ τῆς πέμπτης συνόδου κατὰ Σευήρου, τοῦ ἀκεφάλου καὶ δυσσεβοῦς, καὶ κατὰ Ὠριγένους ἐν Κωνσταντινουπόλει, Ἀπολλινάριος Ἀλεξανδρείας, Δόμνος Ἀντιοχείας, ἐπὶ Βιγελίου Πάπα Ῥώμης, κατὰ Ὠριγένους καὶ τῶν αὐτοῦ δογμάτων, ἐν οἷς ἐληρώδουν[53] τὰς ψυχὰς προυπαρχούσας τῶν σωμάτων, τήν τε μετεμψύχωσιν δοξάζοντες· τέλος τὲ τοῦ τῆς κολάσεως, καὶ τὰ σώματα ἡμῶν μὴ ἀνίστασθαι ἐν τῇ ἀναστάσει τὰ αὐτὰ, καὶ τὴν τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστας τι καὶ τὸν παράδεισον ἀλληγορεῖσθαι· μὴ γεγενῆσθαι μήτε εἶναι ὑπὸ Θεοῦ αἰσθητον παράδεισον, μὴ δὲ ἐν σαρκὶ πλασθῆναι τὸν Ἀδάμ.

Τελευτησάσης δὲ Θεοδώρας τῆς αὐτοῦ γυναικὸς, γέγονε τὰ ἐγκαίνια τῶν ἁγίων Ἀποστόλων· ἐφ' οὗ καὶ θανατικὸν γέγονεν ἐν Κωνσταντινουπόλει, ὥστε μένειν ἀτάφους τοὺς ἀποθνήσκοντας, διὰ τὸ μὴ ἐξαρκεῖν τοὺς κραββάτους τῶν ἐκκλησίων καὶ τῶν ἐναγῶν οἴκων ἐκφέρειν αὐτούς· τοῦ δὲ βασιλέως κραββάτους ποιήσαντος χιλίους, ἐπεὶ μὴ ἐξήρκουν μὴ δὲ οὗτοι, ἁμάξας προσέταξε πλείστας εὐτρεπισθῆναι, καὶ ἄλογα καὶ τοὺς τεθνεῶτας ἐν αὐτοῖς ἐκφέρειν. ἐκράτησε δὲ ἡ θνῆσις αὕτη μῆνας δύο, Ἰούλιον καὶ

[52] κα . . πρα τεθ Cod. vid. esse τροπάριον. [53] ἐληρώδουντας Cod.

Αὔγουστον. γεγόνασι δὲ βρονταὶ καὶ ἀστραπαὶ μεγάλαι καὶ φοβεραὶ σφόδρα, ὥστε πολλοὺς ὑπ᾿ αὐτῶν κατακαῆναι.

Ἀλλὰ καὶ σεισμὸς μέγιστος καὶ παγκόσμιος· καὶ ἔπεσον οἶκοι καὶ ἐκκλησίαι πολλαί ἐν Κωνσταντινουπόλει, ὥστε πολλοὺς τελευτῆσαι· ἀλλὰ καὶ τὸ τεῖχος τῆς χρυσῆς πόρτης καὶ ἡ λόγχη, ἣν κρατεῖ ὁ ἀνδρίας τοῦ φόρου, καὶ ἐπεκρότει ἡ γῆ σειομένη ἐπὶ πολύ· ἐκ δὲ τῆς λύπης ὁ βασιλεὺς, εἰς τὰ γενέθλια τοῦ Χριστοῦ καὶ εἰς τὰ ἅγια Θεοφάνια, ἄνευ στέμματος προῆλθε, καὶ τὰ ἐξ ἔθους ἀριστόδειπνα τοῦ δωδεκαημέρου οὐκ ἐτέλεσεν· ἀλλὰ πάντα τοῖς πτωχοῖς διένειμε· τὴν δὲ θάλασσαν ἀναρριχάναι φασὶν ἐκ τοῦ σεισμοῦ μίλια δύο, καὶ ἀπολέσθαι πλοῖα πολλὰ ἐν τῇ τοῦ ὕδατος ἀναχαιτίσει· ἔπεσε δὲ ὁ γροῦλλος τῆς μεγάλης ἐκκλησίας, ὃν καὶ ἀνέκτισεν ὑψηλότερον καὶ κρείττονα· ποιήσας καὶ τὰ δεύτερα ἐγκαίνια τῆς αὐτῆς ἐκκλησίας φαιδρότερον καὶ λαμπρότερον.

Οὗτος μαθὼν περὶ ἀρρενοφθόρων, ἐρευνήσας καὶ τούτους εὑρὼν, τοὺς μὲν ἐκαυλοτόμωσε, τοὺς δὲ καλάμους ὀξεῖς ἐμβαλλέσθαι εἰς τοὺς πόρους τῶν αἰδοίων ἐκέλευσε, καὶ γυμνοὺς κατὰ τὴν ἀγορὰν θριαμβευθῆναι· ὑπῆρχον δὲ, τῶν μὲν πολιτικῶν καὶ συγκλητικῶν πολλοὶ, τῶν δὲ ἀρχιερέων οὐκ ὀλίγοι, οἱ δεσμευθέντες οὕτως περιαγόμενοι κατὰ τὴν ἀγορὰν . . . μιοὶ δεινῶς ἐτελεύτησαν. καὶ γενομένου φόβου μεγάλου, οἱ λοιποὶ ἐσωφρονίσθησαν· "ὀλολύζεται γὰρ," φησι, "πίτυς, ὅτι πέπτωκε κέδρος."

Ἔστησε δὲ καὶ τὸν κίονα τὸν ἐπιλεγόμενον Αὐγουστέα, ἐπιθεὶς ἐπάνωθεν ἔφιππον τὴν αὐτοῦ στήλην, κρατοῦσαν, τῇ μὲν ἀριστερᾷ χειρὶ μῆλον σφαιροειδὲς, ὡς τῆς γῆς ἁπάσης αὐτοῦ κυριεύσαντος· τὴν δὲ δεξιὰν ἀνατεταμένην ἔχουσαν, καὶ οἷον εἰς πρὸς Πέρσας ἐμφαίνουσαν, καὶ διακελευομένην "στῆτε, καὶ τῆς Ῥωμαίων γῆς "μὴ ἐπιβῆτε."

Ἀπέστειλε δὲ καὶ Βελισάριον στρατηγὸν μετὰ πλήθους ἀναριθμήτου, καὶ πλοίων καὶ χρυσοῦ πολλοῦ, καταπολεμῆσαι Οὐανδήλους, καὶ Ἀφρικὴν ἐκπορθῆσαι. ὃς ἀγχινοίᾳ καὶ φρονήσει πάντα ληϊσάμενος, καὶ Γελήμερον ἐγκρατῆ ποιησάμενος, ἀνήγαγεν ἐν τῇ πόλει μετὰ πλούτου πολλοῦ· καὶ ἐθριάμβευσεν ἐν τῷ ἱππικῷ ὑπατείαν ποιήσας ἐν τῇ πόλει· τὸν δὲ Ἰουστινιανὸν ἀμειβόμενον

αὐτὸν τῆς τοιαύτης μεγίστης καὶ παραδόξου πράξεως, ἐν μὲν τῷ ἑνὶ μέρει τοῦ νομίσματος ἑαυτὸν ἐγχαράξας, ἐν δὲ τῷ ἑτέρῳ Βελισάριον ἔνοπλον· καὶ ἐπιγράψας· "Βελισάριος ἡ δόξα τῶν "Ῥωμαίων·" ἀλλ' οἷα ὁ φθόνος ἐν μεγάλῃ εὐδαιμονίᾳ οἶδε ποιεῖν, ὤδινε καὶ εἰς Βελισάριον· διαβληθεὶς γὰρ μετέστη τῆς ἀρχῆς καὶ τῆς δόξης, καὶ Σολομὼν ἀντ' αὐτοῦ στρατηγὸς ἐπέμφθη· ὃς τὰ κτηθέντα Βελισαρίῳ φυλάξασθαι μὴ δυνηθεὶς, τοῖς Οὐανδήλοις πάντα παρεχώρησεν.

Ἦν δέ τις χαλκεὺς Ἀνδρέας τοὔνομα, ἔχων μετ' αὐτοῦ κύνα ξανθὸν καὶ τυφλὸν, ὃς ἐποίει τέρατα· παρεστῶτος γὰρ αὐτοῦ ὄχλου λάθρα τοῦ κυνὸς, ἐκομίζετο τὰ τῶν ἐνεστώτων δακτυλίδια χρυσᾶ τὲ καὶ ἀργυρᾶ καὶ σιδηρᾶ, καὶ ἐτίθει εἰς τὸ ἔδαφος· περισκέπων αὐτὰ χώματα, καὶ ἐπέτρεπε τῷ κυνὶ, καὶ ἐλάμβανε καὶ ἐδίδου ἑκάστῳ τὸ ἴδιον· ὁμοίως καὶ διαφόρων βασιλέων νομίσματα μιγνύμενα ἀπεδίδου κατ' ὄνομα, ἀλλὰ καὶ τῶν παρεστώτων ἀνδρῶν τὲ καὶ γυναικῶν, ἐπεδείκνυε τὰς ἐν γαστρὶ ἐχούσας, καὶ πορνοὺς καὶ μοιχοὺς, καὶ ἀνελεήμονας καὶ κνιποὺς, ἀπλανῶς καὶ μετὰ ἀληθείας ἐδείκνυε· ὅθεν ἔλεγον τὸν κύνα πνεῦμα Πύθωνος ἔχειν.

Ὁ δὲ αὐτὸς βασιλεὺς κτίζει καὶ τὸν ἐν τῇ πηγῇ ναὸν τῆς ὑπεραγίας θεοτόκου, καὶ πάμπολλα κτίσματα ἐποίησεν ἐκκλησίων τε καὶ πόλεως, καὶ τὴν πενταγέφυραν τοῦ Σαγάρου[50]· ἅπερ Προκόπιος ἱστορικὸς ἐν ὀκτὼ λόγοις ἀνεγράψατο· εἰς δὲ τὰ τέλη αὐτοῦ, τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου κινήσας δόγμα, ἀλλότριος τῆς εὐσεβείας Θεοῦ ἐτελεύτησε· προβαλλόμενος Ἰουστῖνον ἀνέψιον αὐτοῦ εἰς βασιλέα, Κουροπαλάτην τότε ὄντα. κατετέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων πρὸς βορρὰν ἐν λάρνακι βοθυνῇ· ἡ δὲ γυνὴ αὐτοῦ Θεοδώρα προετελεύτησεν. τὴν δὲ τῆς ἀρχιερωσύνης τιμὴν, ἐπὶ αὐτοῦ εἴληφε πρῶτον μὲν Ἰωάννης, ἔπειτα Ἐπιφάνιος· τρίτον Μηνᾶς, τέταρτον Εὐτύχιος, καὶ μετὰ τούτων πάλιν Ἰωάννης.

Γελίμερ Βελισάριον ἐκφεύγων, εἰς ὄρον ὀχυρὸν κατέφυγεν ἔθνους τῶν Μαρουσίων· παρ' αὐτοῖς δὲ οὔτε ἄρτος οὔτε οἶνος οὔτε ἔλαιον γεωργεῖται· ἀλλὰ κριθὰς καὶ ὀλύρας, ὡς ἄλογα ζῶα, ἐφθὰ

50 Leg. Σαγγαρίου.

σιτίζονται· γράφει οὖν πρὸς Φαρὰ Γελίμερ, ὃν Βελισάριος κατέλιπε φυλάσσειν αὐτὸν, πεμφθῆναι αὐτὸν, ἄρτον καὶ σπόγγον καὶ κιθάραν· ὁ δὲ Φαρὰς διηπόρει περὶ τούτων, ἕως ὁ τὴν ἐπιστολὴν κομίσας, ἔφη, ὅτι ἄρτον μὲν αἰτεῖ, διότι τοῦτον ἐπιθυμεῖ γεύσασθαι καὶ ἰδεῖν· σπόγγον δὲ διὰ τὰ δάκρυα καὶ τὴν ἀλουσίαν, ὥστε παραμυθήσασθαι τοὺς ὀφθαλμούς· κιθάραν δὲ, ὅπως τὰς συμφορὰς αὐτοῦ ἐκτραγῳδοίη. ταῦτα Φαρὰς ἀκούσας, περιαλγήσας τὲ, καὶ τὴν ἀνθρωπείαν τύχην ἐκμυκτηρίσας, πάντα ἐξέπεμψεν ὅσων ἔχρηζε.

Χοσρόου δὲ τοῦ Περσοῦ τὴν ἅπασαν ἀνατολὴν ληϊζομένου, Ἰουστινιανὸς Βελισάριον ἐκ τῆς δύσεως ἀγαγὼν, στρατηγὸν ἀνατολῆς ποιήσας, κατὰ Περσῶν ἔστειλεν· ὁ δὲ καθοπλισθεὶς, καὶ κατὰ Περσῶν στρατεύσας, τοσοῦτον τοὺς πρέσβεις Χοσρόου[51] τῇ καθοπλίσει καὶ στρατείᾳ ἐξέπληξεν, ὡς ἐπὶ θύραν δῆθεν ἐξιὼν ὀφθεὶς αὐτοῖς, ὥστε ἀφικόμενον πρὸς Χοσρόην, ὑπόσπονδον αὐτὸν Ῥωμαίοις ποιῆσαι. τοσοῦτον δὲ Βελισάριος ἐθαυμάσθη παρὰ Πέρσαις, καὶ Ῥωμαίοις εὐδοκίμησεν, ἢ ὅτε Γελίμερα δορυαλωτὸν καὶ ὁ Υἱτίγην τοὺς δύο βασιλεῖς ἐν Βυζαντίῳ ἤγαγε· κατηγορηθεὶς οὖν μετὰ ταῦτα ὡς ἐπιβουλεύων Ἰουστινιανῷ βασιλεῖ, ἐκ θλίψεως τελευτᾷ, δεσμευθείσης ἁπάσης αὐτοῦ τῆς ὑποστάσεως.

## ἸΟΥΣΤΙ͂ΝΟΣ Ὁ ΜΙΚΡῸΣ ἈΝΈΨΙΟΣ ἸΟΥΣΤΙΝΙΑΝΟΥ͂.

Ἰουστῖνος ὁ μικρὸς, ἐβασίλευσεν ἔτη δεκατρία, μεγαλόδωρος τὲ ὢν καὶ φιλοκτίστης· ἔσχε δὲ γυναῖκα Σοφίας ὀνόματι· εὐσεβὴς δὲ ὢν καὶ ὀρθόδοξος ἐπεκόσμησε τὰς ἐκκλησίας τὰς κτισθείσας ὑπὸ Ἰουστινιανοῦ· τήν τε μεγάλην ἐκκλησίαν, καὶ τοὺς ἁγίους Ἀποστόλους, ἀπό τε κειμηλίων καὶ ἀμφίων καὶ πάσης προσόδου. οὗτος ἦν τῇ ἰδέᾳ εὐῆλιξ, πλατὺς, εὔογκος, ὑπόγλαυκος, ἐπίξανθος, σπανίζων τὴν γενειάδα, δειλὸς, ὀξύθυμος, ἀπονενοημένος, ἀσύμβουλος, καὶ, καθάπερ εἶπον, φιλοκτίστης καὶ μεγαλόδωρος. ὁ αὐτὸς ἀνελθὼν ἐν τῷ ἱπποδρομίῳ, καὶ τῶν δήμων στασιαζόντων, ἐδήλωσε τοῖς μὲν βενέτοις[52], ὅτι Ἰουστινιανὸς ὁ βασιλεὺς ἐτελεύτησε· τοῖς δὲ πρασίνοις, ὅτι ὑμῖν ὁ βασιλεὺς ζῇ· καὶ ἀκούσαντα τὰ μέρη ἡσύχασαν.

51 δαρείων Cod. 52 βαινέτοις Cod.

Ὁ αὐτὸς κτίζει καὶ τὰ παλάτια Σοφιανῶν ἐξαίσια καὶ λαμπρὰ καὶ ὑπερθαύμαστα, ἐπ' ὀνόματι τῆς γυναικὸς αὐτοῦ Σοφίας, καὶ τὴν νῆσον τὴν Πρίγκιπον, ὃ ἦν προάστειον αὐτοῦ, κατασκευάσας, καὶ ἐκεῖ παλάτιον· ἔκτισε δὲ καὶ τὸν λεγόμενον χρυσοτρίκλινον, τὸν ἐν τῷ παλατίῳ. ἐκ θεμελίων ὁ αὐτὸς ἔκτισε καὶ τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων Πέτρου καὶ Παύλου ἐν τῷ ὀρφανοτροφείῳ· ἀλλὰ καὶ τὰς δύο ἀψῖδας τῶν Βλαχερνῶν ὁ αὐτὸς προσέθηκεν, ὡς εἶναι τὴν ἐκκλησίαν σταυρωτὴν, καλλωπίσας τῇ τῶν κιόνων καὶ μαρμάρων ποικιλίᾳ. Ναρσῆς δὲ ὁ Κουβικουλάριος ἠγαπᾶτο παρὰ τοῦ βασιλέως· διὸ καὶ ἐλοιδορεῖτο εἰς αὐτὸν ὑπὸ τῶν εἰωθότων ἴσως πάντα ὑπονοεῖν· ὃν καὶ ἀπέστειλεν εἰς Ἀλεξάνδρειαν κατὰ ἐχθρῶν πολεμίων, καὶ διεπράξατο πράξεις ἀρίστας. οὗτος ὁ Ναρσῆς ἔκτισε τὸν ναὸν τῆς ὑπεραγίας θεοτόκου· ἐν ᾧ καὶ λείψανα τῶν ἁγίων μαρτύρων, Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου ἀπέθετο· ὅς τις ναὸς τὰ Ναρσοῦ λέγεται.

Οὗτος ὁ Ἰουστῖνος συνεχῶς ἐνοσηλεύετο· ὅθεν οἱ δυνάσται τὰ τῶν πτωχῶν ἥρπαζον, καὶ οὐδενὸς ἐφείδοντο, καί ποτε τοῦ βασιλέως ἐπὶ πρόκενσον ἐξελθόντος, ἐπεβόων ὅτι πλεῖστοι παρὰ τῶν δυνατῶν βλαπτόμενοι· τοῦ δὲ βασιλέως ἀγανακτήσαντος, εἷς τίς τῶν ἐν τέλει παρρησιασάμενος φησὶ τῷ βασιλεῖ· "προχειρισάτω "με, δέσποτα, ἡ βασιλεία σου ἐνώπιον ἁπάντων ἔπαρχον, καὶ "βεβαιῶ σε μέχρι λ' ἡμερῶν, μὴ εὑρίσκεσθαι τὸν ἀδικοῦντα "ἢ ἀδικούμενον." καὶ εὐθέως προεχείρισθη ἔπαρχος· ὡς καὶ τοῦ βασιλέως ἀποδεξαμένου τοῦτον. τῇ δὲ ἕωθεν ἐπὶ τὸ τοῦ ἐπάρχου καθίσαντος βῆμα, καὶ γυναικὸς χήρας αὐτῷ προσελθούσης, καὶ φησάσης, ὡς μάγιστρός τις καθήρπασεν αὐτῆς τὴν ἅπασαν οὐσίαν, καὶ διὰ τοῦτο εἰς ἀπόριαν κατέστη, ἔφη ὁ ἔπαρχος ἀπελθεῖν αὐτὴν μετὰ σφραγῖδος αὐτοῦ, καὶ εἰπεῖν τῷ μαγίστρῳ παραγενέσθαι πρὸς αὐτὸν δικαιολογηθησόμενον. ἀπελθοῦσα οὖν ἡ γυνὴ οὐκ ἠκούσθη, ἀλλὰ καὶ μᾶλλον ἐτύφθη. ὁ δὲ ἔπαρχος αὖθις ἕνα τῶν κουρσόρων ἀποστείλας, ἐλθεῖν τὸν μάγιστρον ἠξίου· ἐκεῖνος δὲ παραλογισάμενος, ἧκεν ἐν τῇ προελεύσει· τοῦ δὲ ἐπάρχου ἐν τῷ ἱππικῷ τοῦτον ἐκδεχομένου, κληθέντος αὐτοῦ εἰς ἑστίασιν παρὰ τοῦ βασιλέως, εἰσῆλθεν ὁ ἔπαρχος ἐν τῷ παλατίῳ· καὶ μηνυθεὶς, ἐκελεύσθη εἰσελθεῖν, τοῦ βασιλέως ἑστιωμένου. καὶ

εἰσελθὼν, ἔφη πρὸς τὸν βασιλέα· “ εἰ μὲν ἃ προέταξάς μοι, ὦ “ βασιλεῦ, μὴ φείδεσθαι τῶν τοὺς πτωχοὺς ἀδικούντων, οἵτινες “ ἂν ὦσι, φυλάττεις, γνῶθι με τελειοῦντα τὴν ἐμὴν ὑπόσχεσιν· “ εἰ δὲ μεταμελλόμενος φίλους μᾶλλον σεαυτῷ ποιεῖς καὶ συνε- “ στιᾶς, γνῶθι κἀμὲ παραιτούμενον τὴν τοιαύτην δουλείαν·” ὁ δὲ βασιλεὺς φησὶ πρὸς αὐτόν· “ εἰ ἐγώ εἰμι ὁ ἀδικῶν, ἐξανάστη- “ σόν με ἀπὸ τοῦ θρόνου· εἰ δὲ ἕτερός τις τῶν ἐμοὶ συνεστιω- “ μένων, μὴ φείδου·” ὁ δὲ, αὐτίκα τὸν μάγιστρον βιαίως ἁρπάσας, καὶ τῇ χαλκῇ καταβὰς, καὶ ἀκούσας τῆς γυναικὸς καὶ τοῦ μαγίστρου, καὶ γνοὺς ὡς οὐ μικρῶς αὕτη ὑπ' αὐτοῦ ἠδικήθη, τύψας αὐτὸν, καὶ τῆς κεφαλῆς αὐτοῦ τρίχας κείρας, καὶ γυμνῷ ὄνῳ ἐπικαθίσας, διὰ μέσης τῆς πόλεως αὐτὸν ἐθριάμβευσεν· τῇ δὲ γυναικὶ τὴν ἅπασαν αὐτοῦ περιούσιαν ἀπέδωκεν. ἐκ τούτου οὖν ἅπαντες ἐσωφρονίσθησαν.

Οὗτος δὲ ὁ Ἰουστῖνος, Τιβέριον τὸν Κόμητα τῶν ἐξ κουσσατόρων[53] ἀπέστειλε κατὰ τῶν Οὔννων, ἐξελθόντων καὶ λεηλατούντων τὰ Θρᾳκῶα μέρη· εἶτα νόσῳ ληφθεὶς, καὶ Τιβέριον ἰδιοποιησάμενος διὰ τὰς ἀνδραγαθίας αὐτοῦ, Καίσαρα ἀνηγόρευσε. κτίζει δὲ καὶ τὰ παλατία τὰ ἐν τῷ Ἰουλιανοῦ λιμένι, ἐπ' ὀνόματι τῆς γυναικὸς αὐτοῦ Σοφίας· ἀποκαθάρας τὸν λιμένα, καὶ μέσον τοῦ λιμένος ἱδρύσας στήλας δύο, αὐτοῦ τε καὶ τῆς γυναικός· μετονομάσας τὸν λιμένα Σοφίας.

Νόσῳ δὲ βαρηθεὶς, προσεκαλέσατο τόν τε ἀρχιερέα καὶ τὴν σύγκλητον πᾶσαν, καὶ ἀγαγὼν τὸν Τιβέριον παρουσίᾳ πάντων· προσεβάλλετο αὐτὸν βασιλέα, εἰπὼν τάδε· “ ὁ θεὸς ἀγαθόν σε “ ποιήσας, αὐτὸς, οὐκ ἐγὼ, σοι τὸ σχῆμα τῆς βασιλείας δίδωσι· “ τίμησον αὐτὸν, ἵνα τιμηθῇς ὑπ' αὐτοῦ· μὴ ἐπιχαίρῃς αἵμασι· “ μὴ κοινωνῇς φόνοις· μὴ κακὸν ἀντὶ κακοῦ ἀποδιδῷς· μὴ μηνιῇς “ τινὶ, ὡς κἀγὼ, κἀγὼ γὰρ μηνιεὶς ἔπταισα, καὶ σφαλεὶς ἀπέ- “ λαβον κατὰ τὰς ἀνομίας μου· ἀλλὰ δίκασον ἐν τῷ Θεῷ, μετὰ “ τῶν ὑποβαλόντων μοι ταῦτα· μὴ ἐπαρθῇς ἐπὶ τιμῇ τῆς βασι- “ λείας σου· οὕτως ἔχε τοὺς πάντας ὡς σεαυτόν· γνῶθι τίς ἦς, “ καὶ τίς εἶ νῦν· μὴ ὑπερήφανος ᾖς τοῖς ὁμοφύλοις, καὶ οὐχ

53 ἐξ κουβιτόρων Cedren.

“ ἁμάρτῃς· οἶδα τίς ἤμην, καὶ τίς εἰμὶ νῦν, τὸν θάνατον ἐν “ ὀφθαλμοῖς ὁρῶν· πάντες οὗτοι παριστάμενοι, δοῦλοι εἰσὶ καὶ “ τέκνα σου. τῷ στρατῷ πρόσεχε· ἀνάνδρους καὶ ἀσυνέτους μὴ “ προχειρίζῃ· μή σε πεισάτωσαν, ὅτι καὶ οἱ πρὸ σοῦ οὕτως “ διεγένοντο· ταῦτα παρεγγυῶ σοι καὶ παραινῶ ἀφ' ὧν ἔπαθον· “ περιουσίαν οἱ ἔχοντες, ἀπολαυέτωσαν αὐτῶν, χρησίμως τοῖς μὴ “ ἔχουσιν, εἰ ἀγαθοὶ, δώρησαι· οἶδας ὅτι τῶν σπλάγχνων μοῦ σε “ προετίμησα· τὴν μητέρα σου τὴν ποτέ σου δέσποιναν γενομένην, “ σέβου καὶ τίμα· δοῦλος γὰρ ἦσθα πρότερον· νῦν δὲ γενοῦ υἱὸς “ αὐτῆς.”

Ταῦτα εἰπόντος τοῦ βασιλέως, καὶ τοῦ Καίσαρος ἐν τοῖς ποσὶν αὐτοῦ πεσόντος, ἔφη ὁ βασιλεὺς, “ εἰ θέλεις εἰμὶ, εἰ οὐ θέλεις “ οὐκ ὦ· ὁ Θεὸς ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν ποιήσας, ἐμβάλοι[54] εἰς “ τὴν σὴν καρδίαν ἄλλα ἃ ἐπελαθόμην εἰπεῖν σοι.” τελευτήσαντος δὲ αὐτοῦ, ἐκράτησε Τιβέριος. οὗτος οὖν ὁ Ἰουστῖνος τὸν ναὸν τοῦ ἀρχιστρατήγου, τὸν ἔκ τινος Ἀδᾶ ἐκεῖσε κατοικοῦντος προσαγορευόμενος, ἔκτισέ τε καὶ ἐκαλλώπισε. ἐπὶ αὐτοῦ Ἰουστίνου Ναρσῆς κτίζει τὴν τῶν καθαρῶν ἐπιλεγομένην μονὴν, ἐκκλησίαν περικαλλῆ κατασκευάσας. Ἰουστῖνος ἀνακαινίζει καὶ τὸν μέγαν ἀγωγὸν Οὐαλέντος ὑπὸ σεισμοῦ καταποθέντα[55]· κτίζει δὲ καὶ ἕτερον ἀγωγὸν τὸν λεγόμενον Ἀδράνην· δαψίλειαν ὕδατος τῇ πόλει χορηγήσας. ἐπὶ αὐτοῦ χειροτονεῖται Ἰωάννης Πατριάρχης ὁ νηστευτής. τελευτήσαντος τοῦ βασιλέως, ἐτέθη τὸ σῶμα αὐτοῦ ἐν τῷ ἡρώῳ ἐν λάρνακι λευκῇ Προικονησίῳ, ὡσαύτως καὶ ἡ γυνὴ αὐτοῦ Σοφία. τὴν δὲ τῆς ἀρχιερωσύνης ἀρχὴν διεῖπε πάλιν Εὐτύχιος, ἀνακληθεὶς τῆς ἐξορίας.

## Τιβέριος.

Τιβέριος ἐβασίλευσεν ἔτη πέντε· οὗτος ἦν τὴν μὲν τοῦ σώματος ἀναδρομὴν τέλειος, εὔστηθος, εὐόμματός τε καὶ ὀλίγον ὑπόγλαυκος, ξανθὴν ἔχων τὴν τρίχα τῆς κεφαλῆς καὶ τὸ γένειον, λευκὸς τὴν χροιὰν, καὶ τὸ πρόσωπον ἀνθηρὸς, ἀγαθός τε καὶ μεγαλόψυχος εἰς ὑπερβολήν. τούτου ἀνελθόντος ἐν τῷ ἱπποδρομίῳ,

54 ἐμβάλει (οι written above) Cod. 55 καταπεθέντα Cod.

ἔκραξαν τὰ μέρη· "εἴδωμεν, εἴδωμεν τὴν Αὐγούσταν Ῥωμαίων." ὁ δὲ, ἐδήλωσεν, ἡ ἀντικρὺ τοῦ δημοσίου λοετροῦ διηγήσεως ἐκκλησία οὖσα, ὁμώνυμός ἐστι τῇ Αὐγούστῃ. εὐφήμησαν οὖν τὰ μέρη· "Ἀναστασίας Αὐγούστης πολλὰ τὰ ἔτη·" ἡ δὲ Σοφία τοῦ Ἰουστινοῦ γυνὴ ἐπλήγη τὴν ψυχήν· οὐ γὰρ ᾔδει ἔχειν αὐτὸν γυναῖκα· καὶ διὰ τοῦτο προσεφιλιώσθη αὐτῷ ἐπὶ Ἰουστίνου, καὶ ἔπεισεν αὐτὸν προβαλέσθαι εἰς βασιλέα τὸν Τιβέριον, βουλομένη γῆμαι αὐτὸν, καὶ μεῖναι Αὐγούσταν· ταύτην δὲ κατήγαγε Τιβέριος εἰς Παλάτιον τὸ ἐν τῷ Ἰουλιανοῦ λιμένι· κελεύσας κουβικουλαρίους καὶ ἑτέρους τινὰς εἶναι εἰς ὑπουργίαν αὐτῆς, καὶ διατηρεῖν αὐτήν· ἐτίμα δὲ αὐτὴν, ἴσα μητρὶ ποιῶν πᾶσαν θεραπείαν αὐτῆς.

Οὗτος ἔκτισέ τε καὶ κατεκόσμησε καὶ τὸ δημόσιον τῶν Βλαχερνῶν λοετρὸν, καὶ πολλὰς ἐκκλησίας καὶ ξενῶνας ἀνενέωσεν· οὗτος καὶ τὸν λεγόμενον χρυσοτρίκλινον ἐν τῷ παλατίῳ ἐπεκόσμησέ τε καὶ κατελάμπρυνε· τὸν πρώην ὑπὸ Ἰουστινοῦ ἐκ θεμελίων κτισθέντα. οὗτος Μαυρίκιον καὶ Ναρσῆν κατὰ Περσῶν ἀπέστειλε. Μαυρίκιον δὲ ὑποστραφέντα μετὰ νίκης μεγάλης ἐδέξατο ὁ βασιλεὺς μετὰ τιμῆς πολλῆς, καὶ γαμβρὸν[56] αὐτὸν εἰσεποιήσατο, ἐπὶ θυγατρὶ αὐτοῦ Κωνσταντίνᾳ· ὡσαύτως καὶ Γερμανὸν Πατρίκιον τὸν ἐν Ἀφρικῇ στρατηγοῦντα, ἐπὶ τῇ ἑτέρᾳ αὐτοῦ θυγατρί· ἀμφοτέρους ποιήσας Καίσαρας. φαγὼν δε καὶ συκόμωρα πρώϊμα ἀξιοθέατα πεφαρμαγμένα, καὶ μέλλων τελευτᾶν, Μαυρίκιον βασιλέα ἀνηγόρευσεν.

## Μαυρίκιος ὁ γαμβρὸς Τιβερίου.

Μαυρίκιος ἐβασίλευσεν ἔτη εἴκοσι· οὗτος ἔσχε γαμβρὸν ὀνόματι Φιλιππίκον, ὃς ἔκτισε μόνην ἐν Χρυσοπόλει ἐπ' ὀνόματι τῆς θεοτόκου. στρατηγὸς δὲ παρὰ Μαυρικίου προχειρισθεὶς, καὶ ἀναλαβὼν τὰ στρατεύματα, κατὰ Περσῶν ἐχώρησε· πολλὰς ἀνδραγαθίας κατ' αὐτῶν ἐνδεικνύμενος, ἅμα Ἡρακλείῳ στρατηγῷ. κτίζει δὲ Μαυρίκιος τὰ Καριανοῦ, καὶ τὸν ἐν αὐτῷ ἔμβολον· ὑπογράψας ἐν αὐτῷ τὰς αὐτοῦ πράξεις καὶ ἀριστείας· καὶ τὴν λιτὴν τὴν ἐν Βλαχέρναις τὴν καλουμένην πρεσβείαν, τὴν κατὰ

[56] γαμβρὸς Cod.

παρασκευὴν τελουμένην, ὁ αὐτὸς τελεῖσθαι διετύπωσεν· ὡσαύτως καὶ τὴν προέλευσιν τῆς ὑπεραγίας θεοτόκου ἀπαρτίσας, καὶ τὸ ἐν αὐταῖς δημόσιον λοετρόν· οὗτος κτίζει καὶ τὸν ναὸν τῶν ἁγίων τεσσαράκοντα, ὄντα πλησίον τοῦ σωτηρίου.

Οὗτος οὖν ὁ Μαυρίκιος ὥρμητο ἐκ τῆς τῶν Καππαδοκῶν χώρας· ἦν δὲ τῇ ἰδέᾳ μεσῆλιξ, εὐσθενὴς, λευκόχρους, στρογγύλην ἔχων τὴν ὄψιν, πυρράκης ἀναφάλας, εὔριν, ἀπώγων, κειρόμενος τὸ γένειον καθὸ Ῥωμαίοις ἐστὶν ἔθος. ἐπὶ τούτου Χαγάνος, ὁ τῶν Ἀβάρων ἀρχηγὸς, τὰς σπονδὰς διαλύσας, ἐπὶ τὴν Θρᾴκην χωρεῖ, καὶ πολλὰ στρατεύματα τῶν Ῥωμαίων ἀνεῖλε· τοῦ δὲ βασιλέως κατ᾽ αὐτοῦ ἐξιόντος, καὶ ἐν τῷ Δαονίῳ γενομένου, τῇ νυκτὶ ἐκείνῃ γύναιον ἔτικτε, καὶ οἰκτρὰς φωνὰς ἠφίει· ὁ δὲ βασιλεὺς ἀπέστειλε μαθεῖν τὸ συμβᾶν, καὶ εἶδεν παιδίον γεννηθέντα ἄνευ ὀφθαλμῶν καὶ βλεφάρων, μήτε χεῖρας μήτε βραχίονας ἔχον· πρὸς δὲ τὸ ἰσχίον ἰχθύος οὐρὰ προσπεφυκυῖα ὑπῆρχεν αὐτῷ· ἀλλὰ καὶ εἰς τὰ ἔξωθεν τοῦ Βυζαντίου χωρία ἐτέχθησαν, ἓν μὲν παιδίον τετράπουν καὶ ἕτερον δικόρρυφον· οἱ δὲ τὰς ἱστορίας γράφοντες λέγουσιν, ἢ ἐν αἷς τοιαῦτα τίκτονται, μὴ σημαίνειν ἀγαθὰ ταῖς πόλεσιν· τῇ δὲ αὐτῇ ἡμέρᾳ καὶ ὁ ἵππος τοῦ βασιλέως διερράγη πεσών. ὁ δὲ τούτοις οἰωνισάμενος, ὑπέστρεψεν ἐν τῇ πόλει, Πρίσκον ἀποστείλας τὸν ἴδιον γαμβρὸν κατὰ Σκύθων μετὰ παντὸς τοῦ στρατοῦ· οἳ τοὺς Σκύθας νικήσαντες, ἀντάραι κατὰ τοῦ βασιλέως ἐβουλεύοντο· ἔμεινε δὲ ἐπ᾽ αὐτοῖς ὁ βασιλεὺς, πολέμου συγκροτηθῆναι μέλλοντος μεταξὺ Ῥωμαίων καὶ Ἀβάρων. ὑπέθετο Μαυρίκιος ὁ βασιλεὺς τῷ στρατηγῷ τῷ καταπιστευθέντι τὸ στράτευμα προδοῦναι τούτους τοῖς πολεμίοις δι᾽ ἣν ἀνταρσίαν κατ᾽ αὐτοῦ ἐμελέτησαν· ὅπερ καὶ γέγονε.

Συνελήφθη οὖν πλῆθος πολὺ, καὶ ἤγαγον αὐτοὺς οἱ Σκύθαι ἐξωνηθῆναι παρὰ Ῥωμαίων. ἐδήλωσε δὲ ὁ βασιλεὺς τῷ Χαγάνῳ δωρεὰν αὐτῷ πάντας ἀπολυθῆναι, εἰ τὴν εἰρήνην φιλεῖ· ὁ δὲ, ἀντεδήλωσεν· "ἀποδίδωμι πάντας κατὰ ψυχὴν ἓν νόμισμα κομι-"ζόμενος·" τοῦ βασιλέως μὴ ἀνασχομένου δοῦναι, ἀνὰ ἥμισυ νόμισμα ἠξίωσε λαβεῖν ὁ βάρβαρος· καὶ μὴ δὲ τοῦτο καταδεξαμένου τοῦ βασιλέως, θυμωθεὶς ὁ βάρβαρος, ἀπέκτεινε χιλιάδας

δώδεκα ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου τὸ ὂν πλησίον τοῦ ἑβδόμου· ὅθεν ἐκ τούτου ἐμισήθη Μαυρίκιος ὑπὸ πάντων. ὁ δὲ μεταμεληθεὶς, καὶ τὸ μέλλον κριτήριον ἐννοήσας, εἵλετο μᾶλλον ἐνταῦθα τὴν ἁμαρτίαν ἀπολαβεῖν, καὶ μὴ ἐπὶ τοῦ φοβεροῦ κριτηρίου· καὶ ποιήσας δεήσεις ἐγγράφους, ἀπέστειλεν εἴς τε τοὺς πατριαρχικοὺς θρόνους, καὶ εἰς ἀσκητήρια καὶ μοναστήρια μετὰ δώρων πολλῶν, ὅπως εὔξωνται περὶ αὐτοῦ, ἵνα τὴν ἁμαρτίαν ἐνταῦθα ἀπολάβῃ· προεσκανδαλίζετο δὲ καὶ εἰς Φιλιππικὸν γαμβρὸν αὐτοῦ διὰ τὸ φ γράμμα· οὕτως γὰρ εἶπον Μαυρικίῳ, ὅτι μέλλει φ αὐτὸν διαδέχεσθαι· ὁ δὲ δι᾽ ὅρκων πολλῶν ἐπληροφορεῖ Μαυρίκιον, καθαρὸς εἶναι τῆς ὑποψίας ταύτης.

Ὁ δὲ Μαυρίκιος τὸν θεὸν ἱκετεύσας ῥυσθῆναι τῆς ἁμαρτίας, εἶδεν ἐνύπνιον τοιοῦτον· ὡς ὅτι λαοῦ πλείστου παρεστῶτος τῇ εἰκόνι Χριστοῦ ἐν τῇ χαλκῇ πύλῃ τοῦ παλατίου, φωνὴ ἐγένετο ἐκ τῆς εἰκόνος λέγουσα. "ἀγάγετέ μοι Μαυρίκιον," ὃν ἀγαγόντες παρέστησαν, καὶ φησὶν ἡ θεία φωνή· "ποῦ θέλεις, ὦ Μαυρίκιε, "ἀποδώσω σοι, ἐνταῦθα, ἢ ἐν τῷ μέλλοντι αἰῶνι;" ὁ δὲ γενόμενος ἔντρομος, ἀποκριθεὶς εἶπε· "φιλάνθρωπε Κύριε, ὧδε καὶ μὴ ἐκεῖ." καὶ εὐθέως ἐκέλευσεν ἐκδοθῆναι αὐτόν τε καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα, καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ, Φωκᾷ τῷ στρατιώτῃ. διυπνισθεὶς οὖν, ἀπέστειλεν εὐθὺς τὸν παρακοιμώμενον αὐτοῦ ἀγαγεῖν Φιλιππικὸν, ὃς ἐν τῇ αὐτῇ ὥρᾳ ἰδὼν τὸν παρακοιμώμενον, καὶ τῆς ἑαυτοῦ ζωῆς ἀπογνοὺς, ᾐτήσατο κοινωνῆσαι, καὶ οὕτως ἀπῄει πρὸς τὸν βασιλέα καταλιπὼν τὴν γυναῖκα ἐπὶ σάκκου καὶ σποδοῦ θρηνοῦσαν· ἐλθὼν δὲ πρὸς τὸν βασιλέα, ἔπεσεν ἐν τοῖς ποσὶν αὐτοῦ. ὁ δὲ βασιλεὺς ἐκέλευσεν ἐξελθεῖν τὸν παρακοιμωμένον, καὶ ἐξελθόντος ἔπεσε καὶ αὐτὸς εἰς τοὺς πόδας Φιλιππικοῦ λέγων, "συγχώρησόν μοι ἀδελφὲ, ὅτι ἥμαρτόν σοι πολλὰ, σὲ γὰρ "ὑπενόουν τῇ ζωῇ μου ἐπιβουλεῦσαι, ἀλλὰ νῦν ἔγνων ἀθῷον εἶναι "σε· παρακαλῶ οὖ σε εἰπεῖν μοι, εἰ γινώσκεις ἐν τοῖς τάγμασι "Φωκᾶν τινα στρατιώτην·" ὁ δὲ Φιλιππικὸς εἶπεν, "ἕνα γι"νώσκω, ὃς πρὸ καιροῦ πεμφθεὶς ἐκ τοῦ στρατοῦ, ἀντέλεγε τῷ "κράτει σου·" καὶ ὁ βασιλεὺς ἔφη, "ποίας ἐστὶ γνώμης;" ὁ δὲ εἶπε, "δειλὸς καὶ θρασύς." ὁ δὲ βασιλεὺς ἔφη· "εἰ δειλὸς, καὶ

"φονεύς," καὶ διηγήσατο ὁ βασιλεὺς αὐτῷ τὸ ἐνύπνιον· ὁ δὲ εἶπεν, "ἴδε πῶς γράμμα οὐ λείπει τῷ Θεῷ, δέσποτα, ὅταν θέλῃ δοῦναι "τινὶ τὴν βασιλείαν·" ἔφθασε δὲ καὶ ὁ ἀποσταλεὶς Μαγιστριανὸς φέρων ἀπόκρισιν ἐκ τῶν ἁγίων "ὅτι ὁ Θεὸς τὴν μὲν ψυχήν "σου σώζει δεξάμενος τὴν μετάνοιάν σου· τῆς δὲ παρούσης "ζωῆς μετὰ πολλῆς θλίψεως καὶ κινδύνων ἐκπίπτεις," ἅπερ ἀκούσας Μαυρίκιος ἐκ ψυχῆς ηὐχαρίστησε τῷ Θεῷ. κατεσκεύασε δὲ στέμμα Σοφία ἡ τοῦ Ἰουστίνου γυνὴ, καὶ Κωνσταντίνα γυνὴ Μαυρικίου τῷ βασιλεῖ ὑπερφυὲς καὶ ὑπέρτιμον· ὁ δὲ τοῦτο θεασάμενος καὶ θαυμάσας, τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Πάσχα ἀπελθὼν ἐν τῇ ἐκκλησίᾳ, τοῦτο ἀνέθηκε τῷ Θεῷ.

Τοῦ μετοπώρου δὲ καταλαβόντος, καὶ τοῦ βασιλέως γράψαντος Πέτρῳ τῷ στρατηγῷ παραχειμάσαι μετὰ τῶν ταγμάτων ἐν τῇ τῶν Σκλάβων χώρᾳ, ἀντεῖπεν ὁ λαός· ὅθεν οἱ ἄρχοντες εἰς ἓν τὰ πλήθη συναγαγόντες, προβάλλονται εἰς βασιλέα Φωκᾶν τὸν στρατιώτην. τοῦ δὲ Πέτρου καὶ τῶν λοιπῶν ἀρχόντων εἰς τὴν πόλιν παραγενομένων, καὶ τοῦτο τῷ βασιλεῖ εἰπόντων, Μαυρίκιος τὸ κατ' αὐτοῦ μίσος τοῦ λαοῦ εἰδὼς, μεσούσης τῆς νυκτὸς τὴν βασιλικὴν ἐσθῆτα ἀποδυσάμενος, εἰσῆλθεν εἰς δρόμωνα σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις, φεύγων τὴν ἐπανάστασιν τοῦ λαοῦ. καὶ μετὰ κινδύνου εἰς τὸν ἅγιον Αὐτόνομον διασωθεὶς, βουλόμενος εἴς τι φρούριον ὀχυρὸν καταφυγεῖν, οὐκ ἴσχυσεν· αἴφνης γὰρ ἐπιτίθενται αὐτῷ σφοδρότατοι πόνοι ἀρθρίτιδος, ὥστε κεῖσθαι αὐτὸν ἀμετακίνητον.

Ὁ δὲ Φωκᾶς ὑπὸ τοῦ λαοῦ καὶ τοῦ δήμου τῶν πρασίνων δεχθεὶς, εἰσῆλθεν εἰς τὴν πόλιν καὶ εἰς τὰ βασίλεια. τὸν δὲ υἱὸν αὐτοῦ Θεοδόσιον ἀπέστειλε Μαυρίκιος πρὸς Χοσρόην τὸν βασιλέα Περσῶν, μετὰ γραμμάτων ἀναμιμνησκόντων τὰς εἰς αὐτὸν εὐεργεσίας, καὶ ὡς δι' αὐτοῦ τὴν βασιλείαν Περσῶν κατεκράτησεν. ἔκτοτε οὐδεὶς ἔγνω τί γέγονεν ὁ αὐτὸς Θεοδόσιος· τὴν δὲ τῆς ἀρχιερωσύνης ἀρχὴν διεῖπεν Ἰωάννης. Χοσρόης δὲ τὴν τῶν Περσῶν ἀθροίσας δύναμιν, κατὰ Ῥωμαίων ἐχώρησεν ἐπὶ Φωκᾶ, καὶ πολλὰς πόλεις καὶ χώρας τῶν Ῥωμαίων ἐπόρθησεν.

## Φωκᾶς ὁ τύραννος.

Φωκᾶς ὁ τύραννος ἐβασίλευσεν ἔτη ὀκτὼ, στέψας καὶ Λεοντὼ τὴν γυναῖκα αὐτοῦ εἰς Αὐγούσταν. οὗτος ὁ Φωκᾶς ἦν κεντυρίων τῇ τάξει· τὴν τοῦ σώματος ἀναδρομὴν μέσος, δύσμορφος, ἐκπληκτικὴν ἔχων τὴν ὄψιν, καὶ τὴν τρίχα πυρίζουσαν· σύνοφρύς τε καὶ τὸ γένειον κειρόμενος· ἔχων οὐλὴν ἐπὶ τῆς παρειᾶς αὐτοῦ, ἥτις ἐν τῷ θυμοῦσθαι αὐτὸν ἐμελαίνετο· οἰνοβαρὴς, αἱμοχαρὴς, καὶ πρὸς γυναῖκας ἐπτοημένος· φοβερὸς καὶ θρασὺς ἐν τῷ φθέγγεσθαι, ἀσυμπαθὴς καὶ θηριώδης τὸν τρόπον· εἰς δὲ τὸ ἱππικὸν ἀνελθόντος, καὶ στάσεως γενομένης περὶ προτιμήσεως τόπου τοῖς μέρεσιν, ἔκραξαν οἱ δῆμοι, "Μαυρίκιος ζῇ, οὐκ ἀπέθανεν, ἐρωτηθήτω."

Τότε ὁ ἀλάστωρ κινεῖται πρὸς τὸν φόνον Μαυρικίου, καὶ ἤχθη Μαυρίκιος δέσμιος εἰς τὸν Εὐτροπίου λιμένα. προκολάζων δὲ αὐτὸν ὁ μιαιφόνος τῇ θεωρίᾳ, τοὺς πέντε ἄρρενας υἱοὺς αὐτοῦ ἔμπροσθεν αὐτοῦ σφαγῆναι προστάττει· ὁ δὲ Μαυρίκιος φιλοσοφῶν τῷ δυστυχήματι, συνεχῶς ἐπεφθέγγετο, "δίκαιος εἶ Κύριε, "καὶ δικαία ἡ κρίσις σου." τῆς δὲ τιθηνῆς ὑποκλεψάσης ἓν ἐκ τῶν πέντε βασιλικῶν παιδίων, καὶ τὸ ἴδιον ἀντιδιδούσης πρὸς ἀναίρεσιν, ὁ Μαυρίκιος οὐ κατεδέξατο, ἀλλὰ τὸ ἴδιον ἐπεζήτησεν ἐλθεῖν καὶ αὐτὸ ἀναιρεθῆναι· καὶ οὕτω καὶ αὐτὸς ἀπετμήθη τὴν κεφαλὴν, τοῦ ἀθλίου Φωκᾶ προστάξαντος τὰς τούτων κεφαλὰς ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου ἀποτεθῆναι· καὶ ἐξήρχοντο οἱ τῆς πόλεως, καὶ ἐθεώρουν αὐτὰς ἕως οὗ ἐπώζησαν· καὶ τότε συνεχώρησεν αὐτὰ τοῖς ποθοῦσιν ἀποδοθῆναι. τὴν δὲ Μαυρικίου γυναῖκα σὺν ταῖς τρισὶ θυγατράσιν αὐτῆς μετ' οὐ πολὺ διαβληθεῖσαν ὡς κατ' αὐτοῦ μελετῶσαν, ἀνεῖλεν ἐν τῷ μόλῳ τοῦ Εὐτροπίου. οὐ μὴν δὲ ἀλλὰ καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ τοῦ Μαυρικίου διώλεσεν ὁ παράνομος· τὸ δὲ σῶμα Μαυρικίου καὶ τὸ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν τέκνων αὐτῶν ἐτέθησαν ἐν τῷ σεμνείῳ τοῦ ἁγίου μάρτυρος Μάμαντος, ὅπερ ἔκτισε Φαρασμένης, ὁ ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως Ἰουστίνου, πλησίον τῆς ξηροκέρκου πόρτης. ἐπεγράφη δὲ τῷ τάφῳ αὐτῶν ἐλεγεῖον τόδε.

"Ἃ δ' ἐγὼ ἡ τριτάλαινα καὶ ἀμφοτέρων βασιλήων,
"Τιβερίου θυγάτηρ Μαυρικίου τε δάμαρ.
"ἡ πολύπαις βασίλεια, καὶ ἡ δείξασα λοχείη,
"ὡς ἀγαθὸν τελέθει καὶ πολυκοιρανίη,
"κεῖμαι σὺν τεκέεσσι καὶ ἡμετέρῳ παρακοίτῃ,
"δήμου ἀτασθαλίῃ, καὶ μανίῃ στρατιῆς.
"ἔτλην τῆς Ἑκάβης πολὺ χείρονα, τῆς Ἰοκάστης.
"αἲ αἲ τῆς Νιόβης ἔμπνοός εἰμι νέκυς.
"ναὶ ναὶ τὸν γενέτην, τί μάτην τὰ νεογνὰ ἔκτειναν,
"ἀνθρώπων κακίης μηδὲν ἐπιστάμενα;
"ἡμετέροις πετάλοισι κατάσκιος οὐκέτι Ῥώμη·
"ῥίζα γὰρ ἐκλάσθη Θρηϊκίοις ἀνέμοις."

Ἔκτοτε δὲ Φιλιππικὸς ἀποκειράμενος, καὶ ἱερωσύνην λαβὼν, ἐν Χρυσουπόλει διατελῶν ἡσύχως ἐτελεύτησε. καὶ ἀπὸ τότε οὐ διέλιπε τῇ πολιτείᾳ δυστυχήματα ποικίλα τε καὶ ἐπάλληλα· ὅτε γὰρ Χοσρόης ὁ Πέρσης τὴν εἰρήνην διέλυσε, καὶ Ἀβάρεις τὴν Θρᾴκην ἐδήωσαν, καὶ ἄμφω τὰ στρατόπεδα τῶν Ῥωμαίων διέφθειραν, καὶ χειμὼν βαρύτατος γεγόνεν, ὥστε παγῆναι τὴν θάλασσαν, καὶ τοὺς ἰχθύας τεθνάναι.

Ποιήσαντος δὲ αὐτοῦ ἱππικὸν, καὶ τῇ ἑσπέρᾳ πολλῷ οἴνῳ χρησαμένου καὶ βραδύνοντος ἀνελθεῖν, ἔκραζεν ὁ δῆμος, ἀνάτειλον Φωκᾶ· μὴ ἐξερχομένου δὲ αὐτοῦ τάχιον πρὸς τὴν θέαν, ἔφη ὁ δῆμος· "πάλιν τὸν καῦκον ἔπιες, πάλιν τὸν νοῦν ἀπώλεσας," ἐφ' οἷς μανεὶς, πολλοὺς ἠκρωτηρίασε, καὶ πολλῶν κεφαλὰς ἀπέτεμε. τοῦ δὲ ὄχλου πῦρ εἰς τὸ πραιτώριον βάλλοντος, ἐξῆλθον πάντες οἱ δέσμιοι καὶ ἔφυγον· ὁ δὲ αὐτὸς Φωκᾶς ἁρμάμεντον τὸ ὂν πλησίον τῶν παλατίων τῆς μαγγαύρας στήσας ἐν μέσῳ αὐτοῦ καὶ κίονα κτιστὸν, καὶ τὴν στήλην αὐτοῦ ἐπάνωθεν. ὁ δὲ γαμβρὸς αὐτοῦ Κρίσπος ὁ πατρίκιος, μὴ ὑποφέρων ὁρᾶν τούς τε ἀδίκους φόνους, καὶ τὰ δεινὰ τὰ ὑπὸ Φωκᾶ γινόμενα, ἔγραψε πρὸς Ἡράκλειον στατηγὸν ὄντα ἐν Ἀφρικῇ μετὰ τοῦ στόλου, ὅπως ἀνέλθωσι κατὰ τοῦ τυράννου Φωκᾶ.

Ὁ δὲ αὐτὸς Ἡράκλειος ἐξ Ἀφρικῆς πλοῖα πολλὰ ἐξοπλίσας καὶ στρατὸν, τὴν Κωνσταντινούπολιν κατέλαβεν, ἐπιφερόμενος καὶ τὴν ἀχειροποίητον εἰκόνα τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν. καὶ πολέμου κροτηθέντος μεταξὺ Φωκᾶ καὶ Ἡρακλείου εἰς τὸν Σοφίας

λιμένα, ἡττηθεὶς ὁ ἀλιτήριος ἔφυγεν εἰς τὰ βασίλεια. Φωτινὸς δέ τις ὑπὸ Φωκᾶ εἰς τὴν σύζυγον ἀδικηθεὶς, εἰσελθὼν μετὰ στρατιωτῶν εἰς τὰ βασίλεια, ἀτίμως ἐκ τοῦ θρόνου τοῦτον ἀναστήσας, καὶ τῆς βασιλικῆς ἐσθῆτος ἀπογυμνώσας τὸν ἄθλιον Φωκᾶν, καὶ μέλανα χιτῶνα ἐνδύσας, καὶ κλοιὰ περιθεὶς, ἄτιμον πρὸς Ἡράκλειον ἀπήγαγεν, ὃν θεασάμενος εἶπεν· "οὕτως ἄθλιε τὴν πολιτείαν διώκησας," ὁ δὲ ἀπεγνωσμένος ὢν ἔφη, "σὺ κάλλιον καὶ κρεῖττον ἔχεις διοικῆσαι."

Καὶ ἐκέλευσεν Ἡράκλειος πρῶτον μὲν τὰς χεῖρας καὶ τοὺς πόδας αὐτοῦ ἐκκοπῆναι, εἶθ' οὕτως καὶ τοὺς ὤμους αὐτοῦ ἀκρωτηριασθῆναι, καὶ τὰ αἰδοῖα ἐκτμηθῆναι, καὶ κοντῷ ἀναρτηθῆναι, διὰ τὰς ἀμέτρους ὕβρεις ἃς ἔπραξεν· ἔπειτα δὲ καὶ τὴν κεφαλὴν ἀποτμηθῆναι. τὸ δὲ καταλειφθὲν σῶμα τοῦ δυσωνύμου συρὲν κατὰ τὴν τοῦ βοὸς λεγομένην ἀγορὰν, τῷ πυρὶ παραδοθῆναι. μοναχὸς δέ τις ἅγιος, ὥς φασιν, ἐπὶ τῶν ἡμερῶν τοῦ Φωκᾶ πρὸς Θεὸν δικαζόμενος ἔλεγε πολλάκις· "Κύριε, διατί τοιοῦτον παράνομον βασιλέα δέδωκας τοῖς Χριστιανοῖς;" ἦλθε δὲ αὐτῷ φωνὴ ἀόρατος, "ὅτι χείρονα τούτου οὐχ εὗρον πρὸς τὴν κακίαν τῶν νῦν κατοικούντων ἐν τῇ πόλει."

## Ἡράκλειος ὁ μέγας.

Ἡράκλειος ὁ μέγας ἐβασίλευσεν ἔτη τριάκοντα, στεφθεὶς ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου ὑπὸ Σεργίου Πατριάρχου· ἐστέφθη δὲ ἅμα αὐτῷ καὶ ἡ μεμνηστευμένη αὐτῷ Φαβία, ἡ καὶ Εὐδοκία μετονομασθεῖσα, Αὐγούστα· τοῖς στεφάνοις τοῦ γάμου ὁμοῦ αὐτοκράτωρ καὶ νυμφίος ἀναδειχθείς· ἀναγορευθεὶς καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ὑπὸ πάσης τῆς συγκλήτου καὶ τοῦ λαοῦ βασιλεύς· συνέ * * δὲ τούτοις καὶ συνευδόκει Κρίσπος ὁ γαμβρὸς τοῦ Φωκᾶ.

Οὗτος ὁ Ἡράκλειος ἦν τὴν ἡλικίαν μεσῆλιξ, εὐσθενὴς, εὔστερνος, εὐόφθαλμος, καὶ ὀλίγον ὑπόγλαυκος, ξανθὸς τὴν τρίχα, καὶ λευκὸς τὴν χροιὰν, ἔχων τὸν πώγωνα πλατὺν, καὶ πρὸς μῆκος ἐκκρεμῆ. ὁπηνίκα δὲ πρὸς τὸ τῆς βασιλείας ἦλθεν ἀξίωμα, εὐθέως ἐκείρατο τὴν κόμην καὶ τὸ γένειον, τῷ βασιλικῷ σχήματι. μετὰ δέ τινα χρόνον στρατηγὸν αὐτὸν τὸν Κρίσπον Καππαδοκίας ἐποίησεν ὁ βασιλεὺς, ἀπέστειλε δὲ φιλοφρονούμενος αὐτὸν πάμπολλα.

ἐκεῖ τοίνυν ἀπελθὼν ἐλοιδόρει Ἡράκλειον, καὶ ἀνταρσίαν ἐμελέτα κατ' αὐτοῦ. ἐλθὼν δὲ ἐν Κωνσταντινουπόλει ἔφη πρὸς αὐτὸν ὁ βασιλεὺς, τὰ κατ' αὐτοῦ γεγραμμένα κρατῶν ἐπὶ χάρτου, καὶ κρούσας ἐν τῇ κεφαλῇ αὐτοῦ ἐπὶ τῆς συγκλήτου ἔφη, "ταλαί-"πωρε, γαμβρὸν οὐκ ἐποίησας, καὶ πῶς ἂν φίλον ἀληθῆ ποιή-"σειας;" εἶτα κληρικὸν αὐτὸν ποιήσας, ἐν τῇ μονῇ τῆς χώρας περιώρισεν, ἐν ᾗ καὶ ἐτελεύτησεν.

Οἱ δὲ Πέρσαι παρέλαβον τὴν Καππαδοκίαν, καὶ τὴν Δαμασκὸν, καὶ τὴν Παλαιστίνην καὶ τὴν ἁγίαν πόλιν, καὶ πολλὰς μυριάδας διὰ χειρὸς τῶν Ἰουδαίων Χριστιανοὺς ἀνεῖλον· ᾐχμαλώτευσαν δὲ καὶ Ζαχαρίαν τὸν πατριάρχην Ἱεροσολύμων, καὶ τὰ τίμια ξύλα ἔλαβον, καὶ ἐν Περσίδι ἀπήγαγον· ὡσαύτως παρέλαβον Αἴγυπτον καὶ Λιβύην, καὶ ἕως Αἰθιοπίας· ἦλθον δὲ καὶ ἕως Καλχηδόνος, καὶ ταύτην παρέλαβον. ἀπέστειλε δὲ ὁ βασιλεὺς Ἡράκλειος πρέσβεις πρὸς Χοσρόην αἰτούμενος εἰρήνην· ὁ δὲ τούτους ἀπεπέμψατο εἰρηκὼς, "εἰ ἀρνήσεται ὁ βασιλεὺς ὑμῶν "τὸν ἐσταυρωμένον, καὶ προσκυνήσει τῷ ἡλίῳ, ποιῶ εἰρήνην." ἐπεστράτευσαν δὲ καὶ οἱ Ἀβάρεις κατὰ τῆς πόλεως.

Εἰδὼς δὲ Ἡράκλειος τοὺς περιέχοντας αὐτῷ πανταχόθεν πολέμους, ἀπέστειλε πρὸς αὐτοὺς εἰρήνην αἰτῶν. οἱ δὲ συνέθεντο ταύτην ποιῆσαι. ἐξελθόντος δὲ τοῦ βασιλέως εἰς τὸ μακρὸν τεῖχος μετὰ ἀποσκευῆς πολλῆς, ὡς ὑποδέξασθαι τὸν Χαγάνον, καὶ λαβὼν πιστὰ παρ' αὐτοῦ, καὶ σπονδὰς εἰρηνικὰς ποιήσας, συνηυφραίνετο. ὁ δὲ Χαγάνος τὰς συνθήκας καὶ τοὺς ὅρκους ἀθετήσας, αἴφνης κατὰ τοῦ βασιλέως τυραννικῶς ἐχώρησεν· ὁ δὲ βασιλεὺς φυγῇ μόλις ὑπέστρεψεν ἐν τῇ πόλει· ἔλαβέ τε ὁ βάρβαρος τήν τε βασιλικὴν ἀποσκευὴν καὶ δορυφορίαν, καὶ ὑπέστρεψε τὴν Θρᾴκην πᾶσαν ληϊσάμενος, τῇ ἐλπίδι τῆς εἰρήνης· ὁ δὲ βασιλεὺς πάλιν πρέσβεις ἀπέστειλε πρὸς Χαγάνον, ἐκκαλῶν αὐτὸν καὶ πρὸς εἰρήνην προκαλούμενος· ὁ δὲ αἰδεσθεὶς τὴν τοῦ βασιλεὼς ἀγάπην, εἰρήνευσεν.

Ὁ δὲ βασιλεὺς Ἡράκλειος τὴν ἑορτὴν τοῦ Πάσχα τελέσας, κατὰ Περσίδος ἠβούλετο χωρῆσαι· χρήματα τῶν ἐναγῶν οἴκων καὶ σκεύη τῶν ἐκκλησιῶν λαβὼν, καὶ χαράξας νομίσματα καὶ

μιλιαρήσια. ὁ δὲ Χοσρόης Σάϊτον ἡγεμόνα μετὰ πολλῆς δυνάμεως ἀποστείλας, πᾶσαν τὴν ἀνατολὴν ἠφανίσεν. ἐλθὼν δὲ οὗτος ἐν Καλχηδόνι, ἱκανὸν χρόνον ταύτην παρεκάθισεν· ὃς τὸν Ἡράκλειον μεθ' ὑποκρίσεως προσκαλεσάμενος τὰ πρὸς εἰρήνην αὐτῷ ὡμίλησεν· ὁ δὲ τοῖς δολίοις αὐτοῦ λόγοις πιστεύσας, ἐκπέμπει σὺν αὐτῷ πρέσβεις μεγιστάνους πρὸς Χοσρόην ἑβδομήκοντα· οὓς παραλαβὼν ἀτίμους καὶ δεσμίους ἀπήγαγεν ἐν Περσίδι· ὁ δὲ Χοσρόης τὸν μὲν Σάϊτον, ὡς τὸν Ἡράκλειον ἰδόντα καὶ μὴ συλλαβόντα, ἀποδεῖραι ἐκέλευσεν· τοὺς δὲ πρέσβεις ἐν φρουραῖς καὶ κακουχίαις κατεδίκασεν· ὑπὲρ ὧν ἀθυμία καὶ θλίψις πολλὴ κατεῖχε τὸν βασιλέα.

Εἶτα πάλιν Χοσρόης ἀπέστειλεν ἕτερον ἄρχοντα κατὰ Ῥωμαίων ὀνόματι Σάρβαρον, ὃς μετὰ πλείστης δυνάμεως ἦλθε πρὸς τὴν Ἀσίαν, τὴν γῆν τῶν Ῥωμαίων ληϊζόμενος. ὁ δέ γε βασιλεὺς Ἡράκλειος, ὡς εἴρηται, πρὸς Περσίδα βουλόμενος ἐκχωρῆσαι, τάδε πρὸς τὸν Πατριάρχην ἔφη· "εἰς χεῖρας τοῦ Θεοῦ καὶ "πατρὸς, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ σοῦ, ἀφίημι τὴν πόλιν ταύ"την καὶ τὸν υἱόν μου." καὶ εἰσελθὼν εἰς τὴν μεγάλην Ἐκκλησίαν μέλανα ὑποδήματα περιβαλόμενος, καὶ πρηνὴς πεσὼν, ηὔξατο οὕτως· "Δέσποτα Θεὲ, καὶ Κύριε Ἰησοῦ Χριστὲ, μὴ παραδῷς "ἡμᾶς εἰς ὄνειδος τοῖς ἐχθροῖς σου διὰ τὰς ἁμαρτίας ἡμῶν, ἀλλ' "ἐπιβλέψας ἐλέησον, καὶ τὴν κατὰ τῶν ἐχθρῶν σου νίκην δὸς "ἡμῖν, ὅπως μὴ καυχήσωνται οἱ ἀλάστορες κατὰ τῆς σῆς κληρο"νομίας ἐπαιρόμενοι." ὃν ἰδὼν Γεώργιος ὁ Πισσίδης μετὰ τοιαύτης ταπεινώσεως, ἔφη·

> ὦ βασιλεῦ
> μελαμβαφὲς πέδιλον εἵλιξας πόδας,
> βάψεις ἐρυθρὸν Περσικῶν ἐξ αἱμάτων.

Λαβὼν δὲ μετὰ χεῖρας τὴν θεανδρικὴν ἀχειροποίητον μορφὴν τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν, κατὰ Περσῶν ἐστράτευσε μετὰ πλοίων διὰ τοῦ Εὐξείνου πόντου, προσλαβόμενος εἰς συμμαχίαν πλῆθος Τούρκων, καὶ ἄλλων ἐθνῶν πλήθη· ἐξορμήσας κατὰ Περσῶν δυνάμει βαρείᾳ σφόδρα.

Οἱ δὲ Ἀβάρεις τὰς εἰρηνικὰς σπονδὰς διαλύσαντες, τῷ τείχει

τοῦ Βυζαντίου προσπελάζουσι, πάντα τὰ τῆς πόλεως ἐκτὸς πυρὶ παραδιδόντες, καὶ ὥσπερ ἀναμερισάμενοι· Πέρσαι μὲν τὰ τῆς ἀνατολῆς κατεδήουν, Ἀβάρεις δὲ τὰ τῆς Θρᾴκης πάντα διέφθειρον. διαπορηθέντες οὖν οἱ πολῖται καὶ ἀπελπίσαντες, πρὸς τοὺς Ἀβάρεις πόλεμον συνῆψαν, συνεργίᾳ Βόνου πατρικίου, καὶ Σεργίου Πατριάρχου, καὶ πολλὰς χιλιάδας κατασφάξαντες, καὶ τὰς ναῦς ἐμπρήσαντες, πρὸς τὴν ἰδίαν αὐτῶν χώραν αὐτοὺς ἐξήλασαν.

Χοσρόης δὲ μαθὼν τὴν Ἡρακλείου ἔφοδον, πολλοὺς πολέμους συνῆψεν αὐτῷ, καὶ τῇ τοῦ Θεοῦ συνεργίᾳ ἐν πᾶσι τούτοις κατὰ κράτος ἡττηθείς. πλησιάζοντι δὲ τῷ βασιλεῖ τῇ αὐτοῦ πόλει, σατράπην ἕνα ἐν χιλιάσιν ὁπλιτῶν τριάκοντα κατ' αὐτοῦ ἐξέπεμψε· συμβολῆς δὲ γενομένης, ἀνῃρέθησαν πάντες· οἱ ὑπολειφθέντες δὲ καὶ διαδράντες Περσῶν οἴκῳ[57] τοῦτον κατέκλεισαν, καὶ προὔθηκαν χρυσὸν καὶ ἄργυρον καὶ μαργαρίτας καὶ λίθους, εἰπόντες αὐτῷ, "ἔσθιε τούτων καὶ ἀπόλαυε, διὸ καὶ τοὺς Ῥωμαίους "καθ' ἡμῶν ἤγαγες." καὶ οὕτω λιμῷ καὶ δίψῃ τιμωρήσαντες, ἀνεῖλον αὐτόν.

Ἡράκλειος δὲ τάς τε πόλεις Περσίδος καθῄρει, καὶ τὰ πυρεῖα διέστρεφεν, ἐφ' ὧν εὑρέθη Χοσρόου τὸ μυσαρὸν ἐκτύπωμα, ὥσπερ ἐν οὐρανῷ ἐν τῇ τοῦ οἴκου στέγῃ καθήμενον, ἐν ᾧ ἄστρα καὶ ἥλιον καὶ σελήνην κατεσκεύασεν, καὶ ἀγγέλους περιεστῶτας αὐτῷ, καὶ βροντὴν διὰ μηχανῆς γίνεσθαι, καὶ βρέχειν ὅταν θελήσειαν· ἅπερ ὁ βασιλεὺς εἰς γῆν καταστρέψας, κονιορτὸν ἀπετέλεσε. ταῦτα δὲ Σάρβαρος ἐν τῇ Ῥωμαίων γῇ ἀκούσας, γράφει πρὸς Ἡράκλειον ἀπολογίαν, "ὡς ὅτι οὐχ ἑκὼν ἀλλὰ γνώμῃ Χοσρόου διεπραττόμην "τὰ κατὰ τῶν Ῥωμαίων." ὃν ὁ βασιλεὺς διὰ γραμμάτων εἰρηνικῶν προσεκαλέσατο· ὁ δὲ ἧκε πρὸς αὐτὸν ἐν Περσίδι.

Ἀναζητήσας οὖν ὁ βασιλεὺς τοὺς πρεσβευτὰς, καὶ μαθὼν ὡς ὑπὸ Χοσρόου δεινῶς ἀνῃρέθησαν, θυμοῦ πλησθεὶς, οὐκ ἐφείσατο κατασφάζων τὴν πᾶσαν Περσίδα ἐν ἔτεσιν ἓξ, τῷ δὲ ἑβδόμῳ ἔτει τὰ τίμια ξύλα ἀπὸ Περσίδος ἀναλαβὼν, καὶ εἰς Ἱερουσαλὴμ παραγενόμενος, καὶ ταῦτα ὑψώσας, μετὰ χαρᾶς καὶ εἰρήνης ἐπὶ Κωνσταντινούπολιν ὑπέστρεφεν. ἐπὶ αὐτοῦ ἀνεφάνη Μωάμεθ, ὁ

[57] οἴκων Cod.

τῶν Σαρακηνῶν ἀρχηγὸς, ἐκ τῆς Αἰθρίβου ἀνελθὼν, καὶ τῷ βασιλεῖ ὑπαντήσας μετὰ πλήθους, καὶ προσπεσὼν αὐτῷ, καὶ τόπον αἰτησάμενος εἰς κατοίκησιν, τετύχηκε τῆς ἐφέσεως.

Ἀναγκαῖον δὲ ἡγοῦμαι τῆς περὶ τοῦ Μωάμεθ γενεᾶς μικρόν τι διηγήσασθαι. τῷ τοίνυν δωδεκάτῳ τοῦ Μωάμεθ χρόνῳ, ἐν ἔτει ͵ϛρλ ἀπὸ κτίσεως κόσμου, Ἰνδικτιῶνος ι', μηνὶ Σεπτεμβρίῳ τρίτῃ ἡμέρᾳ πέμπτῃ, ἐγένετο θεμάτιον τῶν Ἀγαρηνῶν παρὰ Στεφάνου Ἀλεξανδρείας κανονίσαντος κρατῆσαι τούτους ἐν ἰσχύϊ ἔτη τριακόσια ἐννέα· ἐν δὲ συστροφῇ καὶ ἀκαταστασίᾳ καὶ συμφοραῖς ἕτερα ἔτη εἴκοσι ἑπτά· ὡς εἶναι τὴν διακράτησιν τῶν ἅπασαν εὐτυχοῦσαν καὶ δυστυχοῦσαν, ἔτη τριακόσια τριακοντάεξ.

Οὗτος ἐξ Ἰσμαὴλ κατήγετο, υἱοῦ Ἀβραάμ. Νίζαρος γὰρ ὁ τοῦ Ἰσμαὴλ ἀπόγονος, γεννᾷ υἱοὺς δύο, Μούνδαρον καὶ Ἀραβίαν. ἐκ τούτων πολλοὶ ἐγένοντο καὶ ᾤκουν τὴν Μαδιανίτιν ἔρημον. ἐπραγματεύοντο δὲ καὶ ἐν τοῖς καμήλοις αὐτῶν. ἀπόρου δὲ καὶ ὀρφανοῦ ὄντος τοῦ προειρημένου Μωάμεθ, εἰσῆλθε πρός τινα γυναῖκα πλουσίαν συγγενῆ αὐτοῦ, ὀνόματι Χαδιγᾶν, μίσθιος ἐπὶ τῷ καμηλεύειν καὶ πραγματεύεσθαι. κατολίγον δὲ παρρησιάσμενος, ὑπεισῆλθε τῇ γυναικὶ, καὶ ἔγημεν αὐτὴν, καὶ ἔσχε τὰς καμήλους αὐτῆς καὶ τὴν ὕπαρξιν. ἐρχόμενος δὲ ἐν Παλαιστίνῃ συνανεστρέφετο καὶ Χριστιανοῖς· θηρώμενος παρ' αὐτῶν τινὰ γραφικά· ἔσχε δὲ τὸ πάθος τῆς ἐπιληψίας· καὶ τοῦτο νοήσασα ἡ γυνὴ ἐλυπεῖτο σφόδρα, ὅτι τοιούτῳ συνήφθη, οὐ μόνον ἀπόρῳ, ἀλλὰ καὶ ἐπιληπτικῷ ὄντι. τροποῦται δὲ αὐτὸς θεραπεῦσαι αὐτήν· οὕτω λέγων, "ὅτι ὀπτασίαν "ἀγγέλου θεωρῶ, λεγομένου Γαβριὴλ, καὶ μὴ ὑποφέρων τὴν "θέαν αὐτοῦ, σκοτοδινιῶν πίπτω." αὕτη δὲ μοναχόν τινὰ, διὰ κακοπιστίαν, ἐξόριστον ἐκεῖσε ὄντα προσφιλῆ αὐτῆς, μετεκαλέσατο· καὶ ἀνήγγειλεν αὐτῷ πάντα καὶ τὸ ὄνομα τοῦ ἀγγέλου· κἀκεῖνος συμβουλὴν ὁ κατάρατος παρὰ τοῦ Μωάμεθ ἔχων, πληροφορήσας αὐτὴν εἶπεν, "ὅτι ἀληθῆ λέγει· οὗτος γὰρ ὁ ἄγγελος "εἰς πάντας προφήτας ἀποστέλλεται." αὕτη δὲ τῷ λόγῳ τοῦ ψευδαββᾶ πεισθεῖσα, ὃς ἦν τῆς μονῆς τῶν Καλλιστράτου, δι' αἵρεσιν ἐκβληθεὶς καὶ ἐξορισθεὶς τῆς πόλεως, ἐκήρυξε τοῖς ὁμοφύλοις γυναιξὶ προφήτην αὐτὸν εἶναι· καὶ ἐκράτησε ἡ αἵρεσις αὕτη

ἔκτοτε τὰ μέρη τῆς Αἰθρίβου. ἐνομοθέτησε δὲ τοῖς ὑπηκόοις αὐτοῦ, ὅτι ὁ ἀποκτείνων ἐχθρὸν αὐτοῦ, ἢ ἀπὸ ἐχθροῦ φονευόμενος εἰς παράδεισον εἰσέρχεται· τὸν δὲ παράδεισον, σαρκικῆς βρώσεως καὶ μίξεως γυναικῶν ἔλεγεν εἶναι· καὶ τῆς μίξεως διαρκῆ καὶ πολυχρόνιον εἶναι τὴν ἡδονὴν, καὶ ἄλλα τινὰ ἀσωτίας καὶ μωρίας ῥήματα. Ἀβουβάχαρον δὲ Μωάμεθ κατέλιπε διάδοχον, καὶ πολλάκις πολεμηθέντες οἱ μετ' αὐτοὺς ὑπὸ τῶν Ῥωμαίων, παραχωρήσει Θεοῦ διὰ τὰς ἁμαρτίας ἡμῶν, ἐνίκησαν, καὶ ἔκτοτε τῶν Ῥωμαίων κατεδυνάστευσαν. ἐπανιτέον τοίνυν ἐπὶ τὴν προκειμένην διήγησιν.

Ταῦτα τελέσας Ἡράκλειος, ἐπὶ Κωνσταντινούπολιν ὑπέστρεψεν. οἱ δὲ τῆς πόλεως τὴν ἔλευσιν αὐτοῦ γνόντες, ἀκατασχέτῳ πόθῳ περὶ αὐτὸν πάντες οἱ ἐν τοῖς παλατίοις τῆς ἡρίας ἐξῆλθον σὺν τῷ Πατριάρχῃ καὶ Κωνσταντίνῳ βασιλεῖ τῷ υἱῷ αὐτοῦ, βαστάζοντες κλάδους ἐλαιῶν, καὶ λαμπάδας πρὸς ὑπαντὴν, καὶ εὐφημοῦντες αὐτόν· καὶ ὁ μὲν υἱὸς αὐτοῦ προσελθὼν ἔπεσεν εἰς τοὺς πόδας τοῦ πατρός· ὁ δὲ περιπλακεὶς αὐτὸν, κατεφίλουν ἀλλήλοις ἐν δάκρυσι, καὶ οὕτως λαβόντες τὸν βασιλέα, εὐφημοῦντες καὶ χαίροντες, εἰσῆλθον ἐν τῇ πόλει.

Οὗτος δὲ ὁ Ἡράκλειος ὑπὸ Ἀθανασίου Πατριάρχου τῶν Ἰακοβιτῶν καὶ Σεργίου τοῦ Σύρου Κωνσταντινουπόλεως ἀπατηθεὶς, εἰς τὴν αἵρεσιν τῶν μονοθελητῶν ἐξεκυλίσθη· καὶ δὴ μετὰ ταῦτα νόσῳ περιπεσὼν ὑδερικῇ, δι' ἧς καὶ τέθνηκε, δεινῶς ἐτιμωρεῖτο. ἐπὶ τοσοῦτον γὰρ τὸ πάθος ἐπεκτάθη, ὡς ἡνίκα ἀπουρεῖν ἔμελλε, σανίδα κατὰ τοῦ ἤτρου ἐπετίθει, διὰ τὸ στρέφεσθαι τὸ αἰδοῖον αὐτοῦ, καὶ κατὰ τοῦ προσώπου τὸ οὖρον ἀναπέμπειν· ἔλεγχος δὲ ἦν τοῦτο τῆς ἑαυτοῦ παρανομίας, ἕνεκεν τοῦ εἰς τὴν ἰδίαν ἀνεψιὰν Μαρτίναν παρανομωτάτου γάμου. τελευτήσαντος δὲ τοῦ Ἡρακλείου κατετέθη ἐν λάρνακι, καὶ ἔμενεν ἀσκεπὴς ἡμέρας τέσσαρας· καὶ μετὰ ταῦτα ἐσκεπάσθη, καὶ συνετάφη αὐτῷ στέμμα χρυσοῦν διὰ λίθων τιμῆς λιτρῶν ἑβδομήκοντα.

### Κωνσταντῖνος υἱὸς Ἡρακλείου.

Κωνσταντῖνος υἱὸς Ἡρακλείου ἐβασίλευσεν ἔτος ἕν· οὗτος φαρμακοῦται ὑπὸ τῆς ἰδίας μητρυιᾶς Μαρτίνης, καταλιπὼν τὸν υἱὸν Κώνσταν· ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν τῷ ἡρῴῳ Ἰουστινιανοῦ. γυνὴ δὲ τούτου Ἀναστασία, ἣ καὶ μετὰ τὴν αὐτῆς τελευτὴν συνετάφη τῷ ἀνδρί· τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχε Πύρρος, Σεργίου τελευτήσαντος. ἦν δὲ Κωνσταντῖνος ἀσθενὴς μὲν τῷ σώματι, καθεκάστην, ὡς εἰπεῖν, ἡμέραν νοσηλευόμενος· τούτῳ τινὲς λέγουσιν "ὅτι τὸ στέμμα, ἐν "ᾧ ἐστέφθης, σὺν τῷ πατρί σου ἐτάφη." καὶ ἐκέλευσε Καλλίνικον κουβικουλάριον ἀνοιχθῆναι τὸν τάφον τοῦ πατρὸς αὐτοῦ, καὶ τὸ στέμμα ἐπαρθῆναι· ἀπελθὼν οὖν πρὸς τὸ ἀνοῖξαι, εὗρε τὸ σῶμα διαλυθὲν καὶ κείμενον ὡς ὕδωρ, ὅπερ ἦν ἀπορρυὲν ἀπ' αὐτοῦ, καὶ τὸ στέμμα, συμπαγὲν τῇ κεφαλῇ· καὶ ἀνέσπασεν αὐτὸ σὺν τῇ κόμῃ τῆς κεφαλῆς πενθῶν καὶ ὀδυρόμενος, καὶ ἀπήγαγε Κωνσταντίνῳ· ὁ δὲ τοῦτο θεασάμενος ἐκέλευσε παραλυθῆναι καὶ σμηχθῆναι, ὅπερ διετιμήσαντο χρυσοῦ λίτρας ἑβδομήκοντα.

### Ἡρακλωνᾶς νόθος υἱὸς Ἡρακλείου.

Ἡρακλωνᾶς ἐβασίλευσεν ἅμα Μαρτίνῃ τῇ μητρὶ αὐτοῦ μῆνας τέσσαρας· ἡ δὲ σύγκλητος ἀπώσατο Ἡρακλωνᾶν, ῥινοκοπήσαντες αὐτὸν, καὶ Μαρτίναν γλωσσοτομήσαντες, ἐξώρισαν αὐτούς· ἀνεβίβασε δὲ ἐν τῇ βασιλείᾳ Κώνσταν υἱὸν Κωνσταντίνου, ἔγγονον Ἡρακλείου· οὗτος προσήγαγεν εἰς τὴν ἁγίαν Σοφίαν τὸ στέμμα, ὅπερ ἀφείλετο Κωνσταντῖνος ἐκ τοῦ μνήματος τοῦ πατρὸς αὐτοῦ. οὐκ ἐτάφη δὲ βασιλικῶς ὁ Ἡρακλωνᾶς, ἀλλὰ διωχθεὶς ἐκ τῆς βασιλείας, καὶ ἰδιωτεύων μέχρι τελευτῆς αὐτοῦ, ἐτάφη ἐν μοναστηρίῳ τῷ δεσποτικῷ σὺν τῇ μητρὶ αὐτοῦ Μαρτίνῃ· τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχε Παῦλος διαδεξάμενος Πύρρον.

## Κώνστας Υἱὸς Κωνσταντίνου ἔκγονος Ἡρακλείου.

Κώνστας ἐβασίλευσεν ἔτη εἰκοσιεπτά· ἔφη δὲ ἐπὶ Σελευτίου πρὸς τὴν σύγκλητον, "τοῦ ἐμοῦ πατρὸς Κωνσταντίνου, ἐπὶ ζώης "τοῦ ἰδίου πατρὸς, ἐμοῦ δὲ πάππου Ἡρακλείου, ἱκανὸν σὺν τῷ "πατρὶ βασιλεύσαντος, μετὰ δὲ τοῦτον, λίαν βραχύ· ὁ γὰρ "Μαρτίνης φθόνος τῆς αὐτοῦ μητρυῖας τοῦ ζῆν αὐτὸν ἀπήλλαξε· "διὰ Ἡρακλωνᾶν τὸ ἐξ αὐτῆς ἄγαν ἀθέσμως γεγενημένον. ταύ"την μετὰ τοῦ τέκνου ἡ ἡμετέρα σὺν Θεῷ ψῆφος ἐξήγαγε πρὸς "τὸ μὴ τὸν ἐξαθέσμως καὶ ἐκνόμως γενηθέντα βασιλεύεσθαι τὴν "βασιλείαν Ῥωμαίων· ἐγὼ δὲ παρακαλῶ συμβούλους ἔχειν ὑμᾶς "καὶ φίλους καὶ γνώμονας τῆς ἐμῆς βασιλείας." καὶ φιλοτιμησάμενος αὐτοὺς δώροις ἀπέλυσεν. ἐφ' οὗ γέγονε βίαιος ἄνεμος, καὶ πολλὰ δένδρα ἀνέσπασε, καὶ κίονας κατέβαλε, καὶ πλοῖα συνέτριψεν· ἀλλὰ καὶ Μαυΐας, ὁ τῶν Ἀράβων ἀρχηγὸς, τὴν Ῥόδον καταλαβὼν, καὶ παραλαβὼν τὸν Κολοσσὸν Ῥόδου, μετὰ χίλια τριακόσια ἑξήκοντα ἔτη τῆς αὐτῆς ἱδρύσεως κατεῖλεν· ὃν Ἰουδαῖος τίς ἔμπορος ὠνησάμενος, ἑπτακοσίους καμήλους ἐφόρτωσε τὸν χαλκὸν Κολόσσου.

Μαυΐας δὲ μετὰ πλοίων ἦλθεν ἐν Φοινίκῃ, ἔνθα ἦν ὁ βασιλεὺς Κώνστας μετὰ Ῥωμαϊκοῦ στόλου, ναυμαχεῖν μέλλων μετ' αὐτοῦ· τῇ δὲ νυκτὶ εἶδε κατ' ὄναρ ὁ βασιλεὺς, ὅτι διέτριβεν ἐν Θεσσαλονίκῃ τῇ πόλει· διυπνισθεὶς δὲ, καὶ τῷ ὀνειροκρίτῃ διηγησάμενος ἐνύπνιον· ὁ δὲ ἔφη· "εἴθε, ὦ βασιλεῦ, μὴ ὕπνωσας τῇ νυκτὶ "ταύτῃ, μήτε ὄνειρον ἐθεάσω· τὸ γὰρ εἶναί σε ἐν Θεσσαλονίκῃ, "θὲς ἄλλῳ τὴν νίκην κρίνεται· πρὸς τὸν ἔχθρον σου ἡ νίκη τρέ"πεται." καὶ δὴ τοῦτο ἀπέβη· συμβαλόντες γὰρ πόλεμον, ἡττῶνται Ῥωμαῖοι· ὁ δὲ βασιλεὺς μόλις διασωθεὶς, ὑπεστράφη μετ' αἰσχύνης ἐν Κωνσταντινουπόλει.

Οὗτος ὁ Κώνστας μὴ δυνηθεὶς τὸν ἅγιον Μάξιμον εἰς τὴν αὐτοῦ κακοδοξίαν ἐνεγκεῖν[58], τήν τε γλῶσσαν καὶ τὴν χεῖρα αὐτοῦ ἀπέκοψε, καὶ τὸν ἅγιον Μαρτῖνον Πάπαν Ῥώμης ἐξώρισε, διὰ τὸ

[58] μὴ ἐνεγκεῖν Cod.

ἐλέγχεσθαι ὑπ' αὐτοῦ τὸ μονοθέλητον δόγμα. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸν ἴδιον ἀδελφὸν Θεοδόσιον ἔσφαξε, διάκονον χειροτονηθέντα ὑπὸ Παύλου Πατριάρχου· ἀρχιερεὺς δὲ Κωνσταντινουπόλεως ἦν Γεώργιος πρεσβύτερος καὶ σύγκελλος γενόμενος. Μαυΐας δὲ, ὁ δὲ τῶν Ἀράβων ἀρχηγὸς, μετὰ ταῦτα ἐπρέσβευσε περὶ εἰρήνης πρὸς Κώνσταν, διὰ τὴν εἰς αὐτὸν γενομένην ὑπὸ τῶν Ἀράβων ἀνταρσίαν· καὶ ἵνα τελῶσι τοῖς Ῥωμαίοις ὑπὲρ τῆς τοιαύτης εἰρήνης οἱ Ἄραβες καθημέραν νομίσματα χίλια καὶ ἵππον καὶ δοῦλον· ὁ δὲ οὐκ ἐπείσθη· καταλιπὼν δὲ Κωνσταντινούπολιν, κατῆλθεν εἰς Συράκουσαν τῆς Σικελίας τῷ βαλανείῳ σμηχόμενος· μετὰ γὰρ τοῦ κάδδου κατὰ κορυφῆς λαβὼν παρὰ Ἀνδρέου ἐτεθνήκει, καὶ προεβάλλοντο οἱ Συρακούσιοι Νιζίζιον Ἀρμένιον εἰς βασιλέα ὄντα λίαν εὐπρεπῆ καὶ ὡραιότατον[59].

## Κωνσταντῖνος υἱὸς Κώνστα ὁ Πωγωνάτος.

Κωνσταντῖνος υἱὸς Κώνστα ἐβασίλευσεν ἔτη δεκαεπτά· οὗτος μαθὼν τὴν τοῦ πατρὸς ἀναίρεσιν, μετὰ πλείστου στρατοῦ καὶ ναυστολίας τὴν Σικέλιαν κατέλαβε· καὶ χειρωσάμενος Νιζίζιον καὶ τοὺς τοῦ πατρὸς ἀναίρετας, πάντας ἀπεκεφάλισεν· ὡσαύτως καὶ Ἰουστινιανὸν πατρίκιον τὸν πατέρα τοῦ Γερμανοῦ τοῦ γενομένου Πατριάρχου· τὸν δὲ Γερμανὸν ὄντα τραχύτερον εὐνούχισεν. οὗτος ἐκλήθη Πωγωνάτος ὡς ἀγένειος ἀπελθὼν ἐπὶ τῇ τοῦ πατρὸς ἐκδικήσει· ἐπανελθὼν δὲ μετὰ πώγωνος καὶ ὑποστρέψας ἐν Κωνσταντινουπόλει, ἐβασίλευσεν ἅμα τοῖς ἀδελφοῖς· ἐπιβουληθεὶς δὲ παρ' αὐτοῖς καὶ κατισχύσας, ῥινοτομήτους καὶ ἐξορίστους ἐποίησεν Ἡράκλειον καὶ Τιβέριον.

Ἐπὶ αὐτοῦ δὲ ἐξῆλθε στόλος μέγας καὶ κεφαλαὶ πλεῖσται τῶν Ἀράβων, καὶ παραλαβόντες Κύζικον, ἦλθον μέχρι τῆς χρυσῆς πόρτης καὶ τοῦ κυκλοβίου, πολέμους ποιοῦντες καθεκάστην, καὶ παραχειμάζοντες ἐν τῷ κόλπῳ καὶ Κυζίκῳ, ἐπὶ ἑπτὰ ἔτη πολεμοῦντες Κωνσταντινούπολιν· τῇ δὲ τοῦ Θεοῦ χάριτι καταπολεμηθέντες ὑπὸ τῶν Βυζαντίων ὑπέστρεψεν ὁ θεοβύθιστος αὐτῶν στόλος· καὶ ὑποστρέψαντες, ὑπὸ τοῦ στρατοῦ τῶν Κιβυρραιωτῶν αὖθις

59 ὡραιότατος Cod.

πολεμηθέντες ἡττήθησαν· ἐμπρησθέντων καὶ τῶν πλοίων αὐτῶν ἀπὸ τοῦ ὑδατώδους πυρός. Καλλίνικος γάρ τις ἀρχιτέκτων ἀπὸ Ἡλιουπόλεως Συρίας προσφυγὼν τοῖς Ῥωμαίοις, πῦρ ὑγρὸν ἀρχῆθεν αὐτοῖς κατεσκεύασε, καὶ τὰ τῶν Ἀράβων σκάφη καταπρήσας, σύμψυχα ἀπώλεσε. καὶ οὕτως οἱ Ῥωμαῖοι μετὰ νίκης μεγάλης ὑπέστρεψαν, ἔκτοτε ὑγρὸν πῦρ ἐφευρόντες.

Εἰσῆλθον δὲ οἱ Μαρδαΐται εἰς τὸν Λίβανον Συρίας, καὶ[60] ἐκράτησαν αὐτόν. καὶ Μαυΐας φοβηθεὶς σφόδρα, ἀποστέλλει πρέσβεις πρὸς τὸν βασιλέα, ζητῶν εἰρήνην, ὑποσχόμενος καὶ ἐτήσια πάκτα. ὁ δὲ βασιλεὺς τοὺς πρέσβεις δεξάμενος ἀποστέλλει σὺν αὐτοῖς Ἰωάννην Πατρίκιον τὸν Πιτζογάβδην, ὡς πολυπειρίᾳ καὶ φρονήσει κεκοσμημένον, διαλεχθῆναι τοῖς Ἄραψι· τῶν δὲ Ἀράβων θαυμασάντων τὴν φρόνησιν καὶ ἀγχίνοιαν αὐτοῦ, συνεφώνησαν παρέχειν Ῥωμαίοις κατ' ἔτος χρυσοῦ χιλιάδας δέκα, καὶ αἰχμαλώτους χιλιάδας ὀκτὼ, καὶ ἵππους εὐγενεῖς πεντήκοντα. ταῦτα ἐστοιχήθη διδόσθαι ἐπὶ χρόνοις τριάκοντα· ὥστε εἶναι πλατεῖαν εἰρήνην ἀναμεταξὺ Ἀράβων καὶ Ῥωμαίων· ὡσαύτως καὶ οἱ τὰ ἑσπέρια οἰκοῦντες Σκύθαι, ὅ τε Χαγάνος καὶ οἱ ἐπέκεινα ῥῆγες, καὶ οἱ Κάσταλδοι, δῶρα τῷ βασιλεῖ στείλαντες, ᾐτήσαντο εἰρήνην. εἶξεν οὖν ὁ βασιλεὺς καὶ ἐκύρωσεν εἰρήνην· καὶ γέγονε γαλήνη ἔντε ἀνατολῇ καὶ δύσει.

Ἐπὶ αὐτοῦ δὲ τοῦ βασιλέως τὸ τῶν Βουλγάρων ἔθνος διαπεράσαν, καὶ ἀπὸ τῶν ὁμοφύλων ἀποχωρισθὲν, ἐσκήνωσεν ἐν Βάρναις ἔν τισι λόχμαις καὶ ὄρεσιν. ὁ δὲ βασιλεὺς τοῦτο ἀκηκοὼς, σὺν ναυσὶ καὶ στρατῷ ἐπῆλθε κατ' αὐτῶν. οἱ δὲ Βούλγαροι τοῦτο ἀθρόως θεασάμενοι, καὶ τῆς ἑαυτῶν ἀπεγνωκότες σωτηρίας, εἴς τι ὀχύρωμα καταφεύγουσι, καὶ ἑαυτοὺς ἀσφαλίζονται. τῶν δὲ Ῥωμαίων πόλεμον μὴ δυναμένων συνάψαι διά τε τὰ τέλματα, καὶ τὴν τοῦ τόπου ὀχύρωσιν, ἐθρασύνθη τὸ μιαρὸν ἔθνος. συνέβη δὲ καὶ τὸν βασιλέα ποδαλγίᾳ ὀξυπαθῆσαι· καὶ ἐπὶ μεσημβρίαν ὑποστρέψαι, παρεγγυήσαντος τοῖς στρατηγοῖς ἔνεδραν καὶ λόχον ποιῆσαι· εἶτα διὰ χλεύης τινὸς ὑποσύραι αὐτοὺς ἔξω· ἀλλ' οἱ καβαλλαρικοὶ τὸν βασιλέα φεύγειν διαφημίσαντες φυγῇ ἐχρήσαντο, μηδενὸς διώκοντος. οἱ δὲ Βούλγαροι τοῦτον θεασάμενοι, ἐδίωξαν

[60] καὶ deest in Cod.

ὄπισθεν αὐτῶν, καὶ πολλοὺς ξίφει ἀνεῖλον· καὶ ἔκτοτε διαπεράσαντες καὶ θρασυνθέντες κατεκράτησαν, καὶ πλατυνθέντες, τὴν Ῥωμαϊκὴν χώραν ᾐχμαλώτιζον· ὅθεν καὶ ἀναγκασθεὶς ὁ βασιλεὺς εἰρηνεῦσαι μετ' αὐτῶν, ἐτήσια αὐτοῖς[61] συμφωνήσας πάκτα, ἐπ' αἰσχύνῃ Ῥωμαίων, διὰ πλῆθος ἁμαρτιῶν ἡμῶν, ὅτι ὁ πάντας ὑποτελεῖς ποιήσας, ὑπὸ μιαροῦ ἔθνους ἡττήθη.

Ἠρεμήσας δὲ ἐκ πάντων, ἥνωσε τὰς ἁγίας ἐκκλησίας· καὶ σύνοδον οἰκουμενικὴν ποιήσας, συναθροίσας ἐν Κωνσταντινουπόλει τῶν σπθ πατέρων, ἐβεβαίωσε τὰ δόγματα τῶν προλαβουσῶν ἁγίων πέντε συνόδων, καὶ τὴν τῶν μονοθελητῶν αἵρεσιν ἀνεθεμάτισε, καθελὼν Σέργιόν τε καὶ Πύρρον. τελευτήσας δὲ ἐτέθη ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν λάρνακι Θετταλῇ· τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχε Γεώργιος ὁ Σύρος· ἔστεψε δὲ Ἰουστινιανὸν τὸν υἱὸν αὐτοῦ τοῦ συμβασιλεύειν αὐτῷ. Μαυΐου δὲ τοῦ Ἄραβος τελευτήσαντος, Ἀβιμέλεχ ἐκράτησεν· ὃς καὶ ἀποστείλας πρέσβεις πρὸς τὸν βασιλέα, ᾐτήσατο εἰρήνην τοῦ παρέχειν τξε χιλιάδας χρυσίου νομίσματα, καὶ τξε δούλους, καὶ εὐγενεῖς ἵππους τξε καθ' ἕκαστον χρόνον, ὅπως παυθῇ τὸ τῶν Μαρδαϊτῶν τάγματα ἐκ τοῦ Λιβάνου. ἀπεβίω δὲ ὁ αὐτὸς εὐσεβὴς Κωνσταντῖνος, κρατήσας ἔτη ιζ.

## ἸΟΥΣΤΙΝΙΑΝΟΣ Ὁ ΥἹΟΣ ΑΥ̓ΤΟΥ͂ Ὁ ῬΙΝΟΤΜΗΤΟΣ.

͵τσί. ἰνδικ. ιέ. Ἰουστινιανὸς ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ις· οὗτος ἀπέστειλε πρὸς Ἀβιμέλεχ ἀσφαλίσασθαι τὰ στοιχηθέντα ἐγγράφως ἐπὶ τοῦ αὐτοῦ πατρὸς, καὶ πέμψας παρέστειλε τοὺς Μαρδαΐτας χιλιάδας δώδεκα, ὢ τῆς ἀνοίας, τὴν Ῥωμαϊκὴν δυναστείαν ἀκρωτηριάσας· πάνδεινα γὰρ κακὰ ἔκτοτε πέπονθεν ἡ Ῥωμανία ὑπὸ τῶν Ἀράβων μέχρι τοῦ νῦν, τούτων παρασταλέντων. ἔλυσε δὲ καὶ τὴν τῶν Βουλγάρων εἰρήνην· ἐπιστρατεύσας δὲ ἐπὶ τὰ δυτικὰ μέρη, πολλὰ τῶν Σκλάβων πλήθη, τὰ μὲν πολέμῳ, τὰ δὲ λόγῳ παραλαβὼν, ὑπέστρεψεν· ἀφ' ὧν ἐπιλεξάμενος καὶ στρατεύσας χιλιάδας τριάκοντα, λαὸν περιούσιον τούτους ἐπωνόμασεν· οὓς δὴ καθοπλίσας καὶ ἰδιοποιησάμενος, καὶ τῇ τούτων συμμαχίᾳ πεποιθὼς, λύει τὴν μεταξὺ Ῥωμαίων καὶ Ἀγαρηνῶν εἰρήνην ἐξ ἀνοίας,

61 αὐτῆς Cod.

καὶ λαβὼν τὸν περιούσιον, ἢ μᾶλλον ἀνόσιον εἰπεῖν λαὸν, καὶ τὰ λοιπὰ στρατεύματα, πρὸς τὴν Σεβαστούπολιν ἀπῆρεν· ἐν ᾗ καὶ οἱ Ἀγαρηνοὶ παραγενόμενοι, καὶ προμαρτυρούμενοι αὐτῷ τὰ μεθ' ὅρκων συμφωνηθέντα μὴ διαστρέψαι, ἐπείτοι γε κριτὴς ὁ Θεὸς καὶ ἔκδικος γενήσεται, οὐ κατεδέδεξατο τὰ τῆς εἰρήνης ὁ βασιλεὺς, ἀλλὰ πρὸς πόλεμον παρετάσσετο.

Καὶ δὴ παραυτίκα ἁπλώσαντες οἱ Ἀγαρηνοὶ τὸν τῆς εἰρήνης ἔγγραφον χάρτην, καὶ ἐπὶ δόρατος ἀναρτήσαντες, ὥρμησαν κατὰ Ῥωμαίων. καὶ συμβολῆς γενομένης, ηὐτομόλησαν ἐκ τῶν Σκλάβων πρὸς τοὺς Ἀγαρηνοὺς χιλιάδες εἴκοσι, καὶ οὕτως τῶν Ῥωμαίων δεινῶς τραπέντων, καὶ ἀναριθμήτων σφαγέντων, ἡ δικαιοκρισία καὶ νίκη πρὸς τοὺς ἐναντίους ἐχώρησε· διδάσκουσα μὴ προβαίνειν θεῖον ὅρκον πώποτε, κἂν πρὸς τοὺς ἐναντίους καὶ ἀπίστους γένηται. πεφευγὼς δὲ ὁ βασιλεὺς, καὶ φθάσας ἐν τῷ παρὰ θάλασσαν τόπῳ τοῦ Λευκάτου μετ' αἰσχύνης πολλῆς καὶ ἥττης, ἀνεῖλε τὰς περιλειφθείσας δέκα χιλιάδας τῶν Σκλάβων, καὶ ἔκτοτε πλείω θρασυνθέντες οἱ Ἀγαρηνοὶ, σφοδρότερον ἐληΐζοντο τὴν Ῥωμανίαν, ἔχοντες εἰς βοήθειαν καὶ τοὺς πρόσφυγας Σκλάβους. τοῦ δὲ βασιλέως εἰσελθόντος εἰς τὴν πόλιν γέγονεν ἡλιακὴ ἔκλειψις, ὥστε καὶ τοὺς ἀστέρας φανῆναι.

Ἰουστινιανὸς δὲ τὰ τοῦ παλατίου κτίσματα ἐπεμελεῖτο, τὸν Ἰουστινιανοῦ λεγόμενον τρίκλινον κτίσας, καὶ ποικίλοις [60] κοσμήσας μαρμάροις, καὶ τὰ πέριξ τοῦ παλατίου, ἔχων Στέφανον σακελλάριον αὐτοῦ καὶ πρωτευνοῦχον, αἱμοβόρον ὄντα καὶ ἀπηνῆ, αἰκίζοντα ἀνηλεῶς τοὺς ἐργολάβους· καὶ τοσοῦτον ἀπηνῆ, ὡς καὶ τὴν μητέρα τοῦ βασιλέως τυπτῆσαι· ὃς καὶ εἰς τὸ πολιτικὸν πλεῖστα κακὰ ἐνδεικνύμενος, καὶ ἐκ τῶν οἰκητόρων τῆς πόλεως ἀπαιτήσεις καὶ ἐκταγὰς ἀπροφασίστους ποιούμενος, μισητὸν τὸν βασιλέα τῇ πόλει πεποίηκεν.

Ὁ δέ γε βασιλεὺς βουλόμενος κτίσαι τῷ δήμῳ βάθρα καὶ στάσιν, ἀπῄτει Καλλίνικον τὸν πατριάρχην εὐχὴν ποιῆσαι τοῦ καταλυθῆναι τὴν ἐκκλησίαν τῆς ὑπεραγίας θεοτόκου, τὴν οὖσαν πλησίον τοῦ παλατίου· βουλόμενος στῆσαι φιάλην, καὶ βάθραν κτίσαι

60 ποικίλαις Cod.

τῷ δήμῳ πρὸς τὸ ἐκεῖσε γίνεσθαι τὸ λεγόμενον σαξιμοδέξιον. ὁ δὲ Πατριάρχης ἔλεγεν "ὅτι εὐχὴν ἐπὶ συστάσει ἐκκλησίας ἔχομεν, "ἐπὶ δὲ καταλύσει οὐ παρελάβομεν." βιασθεὶς δὲ καὶ ἀπαιτούμενος τὴν εὐχὴν ἔφη· "δόξα τῷ Θεῷ τῷ ἀνεχομένῳ πάντα νῦν, "καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων," καὶ παρευθὺ κατέλυσαν τὴν ἐκκλησίαν.

Λεόντιος δὲ ὁ πατρίκιος ἐν ὑπολήψει ὢν τῆς βασιλείας, καὶ διὰ τοῦτο ἐναπόκλειστος γεγονὼς ἐπὶ ἔτη δύο, τότε δὲ ἐκπεμφθεὶς παρὰ Ἰουστινιανοῦ στρατηγὸς εἰς Ἑλλάδα, καὶ φίλῳ αὐτοῦ Παύλῳ μοναχῷ καὶ ἀστρονόμῳ ἐντυχὼν, ὃς καὶ προεῖπεν αὐτῷ τῆς βασιλείας κρατῆσαι· πρὸς αὐτόν τε τοὺς λοιποὺς φίλους αὐτοῦ ἰδιαζόντως ἔφη, "ἰδοὺ ὄπισθέ μου ἀποστέλλει ὁ βασιλεὺς, "καὶ αἴρει τὴν κεφαλήν μου, καὶ ψευδῆ μοι εἰσὶν ἃ μοι ἐπηγ-"γείλασθε περὶ βασιλείας." οἱ δὲ εἶπον "αὐτὸς μὴ ὀκνήσῃς, καὶ "τοῦτο εὐθέως καὶ ἄρτι πληροῦται." καὶ λαβὼν αὐτοὺς ἦλθε καὶ ἔκλασε τὰς δημοσίας φυλακὰς, συλλαβόμενος ὄχλον πολὺν μετ' αὐτοῦ. ἐξελθὼν δὲ εἰς τὸν φόρον ἐκήρυξαν παντὶ τῷ λαῷ βοῶντες, "ὅσοι Χριστιανοὶ εἰς τὴν ἁγίαν Σοφίαν·" καὶ ἐπισυναχθὲν πλῆθος ἔκραζον, "ἀνασκαφείη τὰ ὀστᾶ Ἰουστινιανοῦ." ἐξελθὼν δὲ Λεόντιος εἰς τὸ ἱπποδρόμιον ἀναγορεύεται βασιλεὺς, καὶ ἡμέρας γενομένης ἐξαγαγὼν Ἰουστινιανὸν εἰς τὸ ἱππικὸν, καὶ ῥινότμητον ποιήσας ἐν τῇ σφενδόνῃ, ἐξώρισεν εἰς Χερσῶνα. ὁ δὲ ὄχλος συλλαβόμενος Στέφανον σακελλάριον τὸν εὐνοῦχον καὶ Θεόδοτον γενικὸν, σχοίνοις τε ἐκ ποδῶν δήσαντες, ἔσυραν διὰ τῆς μέσης, καὶ εἰς τὸν βοῦν ἀγαγόντες ἔκαυσαν.

### Λεόντιος.

ϛσιγ΄. [61] Λεόντιος ἐβασίλευσεν ἔτη τρία· ἐφ' οὗ οἱ Ἄραβες τὴν
ἰνδικτ. ι΄. Ἀφρικὴν ἐκστρατεύσαντες παρέλαβον· ὁ δὲ Λεόντιος ταῦτα μαθὼν, ἀποστέλλει τὸν πατρίκιον Ἰωάννην ἄνδρα ἱκανὸν μετὰ Ῥωμαϊκοῦ στόλου· ὃς τοὺς ἐχθροὺς κατατροπωσάμενος ἠλευθέρωσε τὴν Ἀφρικὴν, καὶ ταῦτα ἀναγαγὼν τῷ βασιλεῖ ἐκεῖσε παρεχεί-

61 Ὅτι ἐν τοῖς χρόνοις Λεοντίου κατεῖχε τὸν τῆς ἀρχιερωσύνης θρόνον Καλλίνικος, ἐκ δὲ τῷ ὑποστρέψαι πάλιν ἐκ δευτέρου τὸν Ἰουστινιανὸν καὶ κρατῆσαι τῆς βασιλείας * *

μασεν· ὁ δὲ πρῶτος σύμβουλος ταῦτα μαθὼν δύναμιν πολλὴν Ἀγαρηνῶν ἀπέστειλε κατὰ Ἰωάννου, καὶ τοῦτον ἐξεδίωξεν. ὁ δὲ Ἰωάννης ἐπὶ Ῥωμανίαν ἔκαμψε, δύναμιν πλείω βουλόμενος ἀναλαβεῖν· ἐλθόντος δὲ ἕως Κρήτης ἐπὶ τὸν βασιλέα πορευομένου, ὁ στρατὸς ὑπὸ τῶν ἰδίων ἀρχόντων ἀνατραπεὶς, εἰς βουλὴν πονηρὰν ἐξετράπη· καὶ φονεύσαντες Ἰωάννην πατρίκιον, καὶ τὸν βασιλέα ἀναθεματίσαντες, Ἀψίμαρον Δρουγγάριον τῶν πλωΐμων τῶν Κιβυρραιωτῶν, βασιλέα ἀνηγόρευσαν, Τιβέριον ὀνομάσαντες.

Τοῦ δὲ Λεοντίου τὸν τοῦ νεωρίου λιμένα ἐκκαθαίροντος, ἡ τοῦ βομβῶνος λύμη ἐνέσκηψε τῇ πόλει, καὶ πλῆθος λαοῦ διέφθειρε. κατέλαβε δὲ ὁ Ἀψίμαρος ἅμα τῷ στόλῳ, καὶ προσώρμισεν ἐν Συκαῖς. τῆς δὲ πόλεως Λεόντιον παραδοῦναι μὴ βουλομένης, προδοσία γέγονε διὰ τῆς τῶν Βλαχερνῶν πόρτης, καὶ τὸν Λεόντιον χειρωσάμενος Ἀψίμαρος καὶ ῥινοκοπήσας, ἐν τῇ μονῇ τῆς Δαλμάτου περιώρισεν, καὶ πάντας τοὺς φίλους αὐτοῦ τύψας καὶ δημεύσας ἐξώρισεν.

## Ἀψίμαρος ὁ καὶ Τιβέριος.

ςσκ΄. Ἀψίμαρος ὁ καὶ Τιβέριος ἐβασίλευσεν ἔτη ἑπτὰ, ἐφ᾽ οὗ γέγονε θανατικὸν μέγα, καὶ Ῥωμαῖοι τὴν Συρίαν ληϊσάμενοι, κατέσφαξαν μέχρι χιλιάδων διακοσίων. Ἀψίμαρος δὲ Φιλιππικὸν υἱὸν Νικηφόρου πατρικίου εἰς Κεφαληνίαν ἐξώρισεν, ὡς ὀνειροπολοῦντα τὸ βασιλεῦσαι. κατ᾽ ὄναρ ἔλεγεν ἑωρακέναι τὴν κεφαλὴν αὐτοῦ ὑπὸ ἀετοῦ σκεπάζεσθαι, ὅπερ ἀκούσας ὁ βασιλεὺς, τοῦτον ἐξώρισεν. ὁ δὲ Ἰουστινιανὸς ἐν Χερσῶνι ἐφήμιζεν ὡς πάλιν τὴν βασιλείαν ἀπολήψοιτο. οἱ δὲ οἰκήτορες φοβηθέντες, ἐβουλεύσαντο ἢ φονεῦσαι τοῦτον, ἢ τῷ βασιλεῖ παραπέμψαι. τοῦτο δὲ γνοὺς Ἰουστινιανὸς εἰς Χαζαρίαν φεύγει· καὶ ἐξέδοτο αὐτῷ εἰς γυναῖκα ὁ Χάζαρος τὴν αὐτοῦ ἀδελφὴν Θεοδώραν. ταῦτα μαθὼν Ἀψίμαρος πέμπει πρὸς Χαγάνον, πολλὰ δῶρα ὑπισχνούμενος αὐτῷ, ἢ τὸν Ἰουστινιανὸν ζῶντα, ἢ κἂν τὴν κεφαλὴν αὐτοῦ, ἀποστεῖλαι αὐτῷ. ὁ δὲ Ἰουστινιανὸς ταῦτα μαθὼν, ἀπελθὼν ἐν Χερσῶνι λάθρα, καὶ ναῦν ἀναλαβόμενος ἀπέπλευσεν, ἐπὶ τὸ στόμιον τοῦ Ἴστρου τὸν πλοῦν ποιούμενος· καὶ κλύδωνος γενομένου, καὶ πάντων ἀπογνόντων διὰ τὸν κλύδωνα, οἰκεῖος αὐτῷ τίς ἔφη· "εἰ περισωθεὶς, ὦ δέσποτα,

“καί σοι τὴν βασιλείαν ὁ θεὸς ἀποδῷ, δὸς λοιπὸν μηδένα τῶν “ἐχθρῶν ἀμύνασθαι.” ὁ δὲ ἐν θυμῷ καὶ ὀργῇ ἔφη· “ἐνταῦθά μοι “καταποντίσει Κύριος, εἰ φείσομαι τινὸς ἐξ αὐτῶν.” διασωθεὶς δὲ ἐκ τοῦ κλύδωνος ἀπέστειλε πρὸς Τέρβελον τὸν Βούλγαρον δοῦναι αὐτῷ συμμαχίαν τοῦ κρατῆσαι τὴν προγονικὴν βασιλείαν, καὶ πλεῖστα δῶρα παρασχεῖν αὐτῷ. ὁ δὲ οὐ μόνον συμμαχίαν, ἀλλὰ καὶ ἑαυτὸν ἐπιδέδωκεν. ἅμα γὰρ αὐτῷ μετὰ πλείστης δυνάμεως ἐπὶ τὴν βασιλεύουσαν παρεγένετο. εἰσῆλθε δὲ Ἰουστινιανὸς σὺν ὀλίγοις ὁμοφύλοις διὰ τοῦ ἀγωγοῦ κατὰ προδοσίαν τινῶν τῶν ἐν τῇ πόλει, καὶ ἐξῆλθεν εἰς τὴν ἁγίαν Ἄνναν, τὸ λεγόμενον δι᾽ αὐτὸν ἔκτοτε δεύτερον, καὶ κατεσκήνωσεν ἐν τῷ παλατίῳ Βλαχερνῶν [62], ἀπολαβὼν τὴν αὐτοῦ βασιλείαν· ὅπερ μαθὼν Ἀψίμαρος εἰς Ἀπολλωνιάδα φεύγει.

### Ἰουστινιανὸς τὸ δεύτερον ὁ ῥινότμητος.

ϛσκϛʹ. Ἰουστινιανὸς τὴν βασιλείαν τὸ δεύτερον ἀπολαβὼν ἐβασίλευσεν
ἰνδικτ. εʹ. ἔτη ἕξ, δῶρα πολλὰ τῷ Τέρβελι δοὺς, καὶ χώραν τῶν Ῥωμαίων ἐκκόψας, δίδωσιν αὐτῷ τὰ λεγόμενα νῦν Ζαγόρια. Ἀψίμαρον δὲ ἀποστείλας ἐχειρώσατο, καὶ Ἡράκλειον τὸν ἀδελφὸν αὐτοῦ σὺν πᾶσι τοῖς συνασπιζομένοις αὐτοῖς ἄρχουσι· καὶ τοὺς μὲν ἄλλους ἐν τῷ χειμῶνι πάντας ἀνασκολοπίσας, Ἀψίμαρον δὲ καὶ Λεόντιον ἁλύσεσι δεσμεύσας, ἤγαγεν ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου· καὶ τοὺς αὐχένας αὐτῶν πατῶν ἦν ἄχρις ἀπολύσεως τοῦ πρώτου βαΐου. ὁ δὲ δῆμος ἐβόα “ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπέβης, “καὶ κατεπάτησας λέοντα καὶ δράκοντα.” καὶ οὕτως ἀποστείλας αὐτοὺς ἐν τῷ κυνηγίῳ ἀπεκεφάλισε. Καλλίνικον δὲ τὸν Πατριάρχην τυφλώσας, ἐξώρισε, καὶ πολλοὺς τῶν ὄντων ἐν τῇ πόλει ἀπώλεσε θανάτῳ, ὥστε φόβον μέγαν γενέσθαι.

Ἀποστείλας δὲ ἤγαγε Θεοδώραν τὴν ἐκ Χαζαρίας καὶ Τιβέριον υἱὸν αὐτῆς, καὶ συνεβασίλευσαν αὐτῷ. λύσας δὲ τὴν εἰρήνην τῶν Βουλγάρων, ἐπεστράτευσε κατ᾽ αὐτῶν, καὶ καταπολεμηθεὶς εἰς φρούριον κατέφυγε. καὶ τοὺς ἵππους νευροκοπήσας, εἰς τὰ σκάφη ἐπιβὰς, μετ᾽ αἰσχύνης ἦλθεν ἐν Κωνσταντινουπόλει. Χερσωνί-

[62] αἱ Βλαχέρναι ἀπό τινος Σκύθου καλουμένου ἀναιρεθέντος ἐκεῖ προσηγορεύθη.

ταις δὲ μνησικακῶν ἀπὸ τῆς ἐξορίας αὐτοῦ, ἀποστείλας Μαῦρον πατρίκιον κατέσφαξε, καὶ τὰ νήπια αὐτῶν κατηδάφισεν. ὁ δὲ Φιλιππικὸς, ὁ καὶ Βαρδάνης, ἐκεῖσε ὢν ἐξόριστος, καί τινας τῶν στρατιωτῶν ὑπονοθεύσας, καὶ πρὸς τὴν αὐτοῦ ἑλκύσας εὔνοιαν, διὰ τὴν τοῦ Ἰουστινιανοῦ ἀπήνειαν καὶ ὠμότητα, τοῦτον εὐφήμησαν εἰς βασιλέα, καὶ μετὰ στόλου προέπεμψαν ἐν τῇ πόλει· ὅπερ γνοὺς ὁ Ἰουστινιανὸς, ἐπὶ πλεῖον φοβηθεὶς καὶ θυμωθεὶς, ἀνῆλθε μέχρι Σινώπης ἀκριβέστερον περὶ τούτου μαθησόμενος. τοῦ δὲ Φιλιππικοῦ σὺν τῷ στόλῳ τὴν πόλιν καταλαβόντος, Ἰουστινιανὸς πρὸς τὸν Δαματρὺν ἀπέδρα, καταλειφθεὶς ὑπὸ πάντων· ὃν αὐτίκα Φιλιππικὸς χειρωσάμενος, τὴν κεφαλὴν αὐτοῦ ἀφείλετο, καὶ τοῖς Σκύθαις ἐξέπεμψε.

## Φιλιππικὸς ὁ καὶ Βαρδάνης.

ςσκη'. Φιλιππικὸς ὁ καὶ Βαρδάνης ἐβασίλευσεν ἔτη δύο. ὃς ἐν μὲν ταῖς διαλαλιαῖς αὐτοῦ λόγιος καὶ ἐχέφρων ἐλογίζετο, ἐν δὲ ταῖς πράξεσιν αὐτοῦ ἀσέμνως, καὶ ἀνικάνως καὶ αἰσχρῶς τὸν βίον διατελῶν, πάντῃ ἀδόκιμος ἐδείκνυτο. ἦν δὲ καὶ κακόδοξος· μὴ αἰσχυνθεὶς ὁρμῆσαι τοῦ κινῆσαι ὅρια τὰ τῆς ἁγίας συνόδου ἐκτεθειμένα. ταῦτα καὶ γὰρ ἀνατρέψαι ἐσπούδαζεν, ὑπὸ ἐγκλείστου τινὸς ἐν τοῖς Καλλιστράτου καταμένοντος, τὴν κακοπιστίαν ἐκδιδαχθεὶς, παρ οὗ καὶ τὸ, ὅτι βασιλεύει, πρότερον ἤκουσεν· ἐφ' οὗ καὶ οἱ Βούλγαροι μέχρι τῆς χρυσῆς πόρτης αἰχμαλωσίαν ποιήσαντες ὑπέστρεψαν. ὁ δὲ, ἱππικοῦ τελουμένου, καὶ τῶν πρασίνων νικησάντων, ἔδοξεν αὐτῷ μετὰ δοχῆς καὶ ὀργάνων εἰσελθεῖν καὶ λούσασθαι εἰς τὸ λουτρὸν τοῦ Ζευξίππου, καὶ μετὰ πολιτῶν αἰσχρῶν ἑστιαθῆναι· ἐν δὲ τῷ αὐτὸν ἑστιᾶσθαι, αἴφνης Γεώργιος πατρίκιος, ᾧ τὸ ἐπίκλην Βόραφος, καὶ Θεόδωρος πατρίκιος, ὁ Μαϊάκης, μετὰ ταξεωτῶν ἐκ τῆς Θρᾳκῆς εἰσδραμόντες, καὶ ἁρπάσαντες τὸν Φιλιππικὸν, καὶ ἀνενεγκόντες εἰς τὸ ἁρματούριον τῶν πρασίνων, ἐτύφλωσαν· καὶ ἐπισυναχθέντος τοῦ λαοῦ τῇ ἐπαύριον εἰς τὴν μεγάλην ἐκκλησίαν, ἔστεψαν Ἀρτέμιον πρωτασηκρίτης. ἐπὶ τούτου τὸν τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν Ἰωάννης διάκονος καὶ χαρτοφύλαξ ὁ αἱρετικός.

## Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος.

,ϛση. Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος ἐβασίλευσεν ἔτη δύο, λογιώτατος ὤν, ὃς προεβάλετο στρατηγὸς εἴς τε τὰ καβαλλαρικὰ θέματα, καὶ εἰς τὰ πολιτικὰ, λογιωτάτους καὶ ἱκανωτάτους, ὥστε τὰ πολιτικὰ ἐν ἀδείᾳ τελεῖν· οὗτος Θεόδωρον καὶ Γεώργιον τοὺς πατρικίους ἐκτυφλώσας ἐξώρισεν ἐν Θεσσαλονίκῃ. τῶν δὲ Ἀράβων ὁπλιζομένων κατὰ Ῥωμανίας διά τε γῆς καὶ θαλάσσης, ἀπηγγέλει τῷ βασιλεῖ κατὰ τῆς πόλεως τούτους παραγίνεσθαι· ὁ δὲ ἤρξατο κτίζειν δρόμωνάς[63] τε διήρεις, καὶ παράλια τείχη ἀνακαινίζειν, ὡσαύτως καὶ τὰ χερσαῖα, τοξοβολίστραις τὲ καὶ λοιπαῖς ὁπλίσεσι τὴν πόλιν κατωχύρωσε καὶ γεννημάτων τὰ ὡρεῖα ἐπλήρωσεν· ἐπὶ τούτου καὶ Γερμανὸς ἐκ μητροπόλεως Κυζίκου μετατίθεται εἰς Κωνσταντινούπολιν, καὶ κιττατώριον δὲ μεταθεσίμου ἐκπεφώνηται, ψήφῳ καὶ δοκιμασίᾳ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ διακόνου καὶ τῆς ἱερᾶς συγκλήτου ἐκφωνηθέν. ἡ θεία χάρις ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, μετατίθησι Γερμανὸν τὸν ὁσιώτατον πρόεδρον τῆς Κυζικηνῶν μητροπόλεως εἰς ἐπίσκοπον ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως ἐπὶ Ἀρτεμίου βασιλέως.

Μαθὼν δὲ ὁ βασιλεὺς ὅτι στόλος ἐξῆλθε τῶν Ἀγαρηνῶν πρὸς τὸ κόψαι ξύλα ἐπὶ τὸν Φοίνικα, ἀπέστειλε στόλον μετὰ κληρικοῦ ὀνόματι Ἰωάννην, ὃν καὶ Ἰωαννάκην ἐκάλεσαν, πρὸς τὸ καῦσαι τὴν ξυλὴν εἰς τὸν Φοίνικα, καὶ τὴν ἐξάρτησιν τῶν Ἀγαρηνῶν. ὁ δὲ στόλος στασιάσας, τὸν βασιλέα ἀνέσκαψαν, τὸν δὲ Ἰωάννην ῥομφαίαις ἀνεῖλον. οἱ δὲ τοῦτο ποιήσαντες ἀντάραντες ἀνήρχοντο κατὰ τῆς βασιλίδος πόλεως. ἐλθόντων δὲ ἐν τῷ Ἀτραμυτίῳ, εὗρον ἐκεῖ Θεοδόσιον ἐκλήπτορα τῶν δημοσίων φόρων, εὐσεβῆ καὶ ἀπράγμονα, καὶ ἀνηγόρευσαν αὐτὸν βασιλέα, ὡς μή τινα ἔχοντες ἄρχοντα· ὁ δὲ φυγῇ χρησάμενος εἰς τὸ ὄρος ἐκρύβη. εὑρόντες δὲ αὐτὸν εὐφήμισαν βιασάμενοι εἰς βασιλέα, ὅπερ μαθὼν Ἀρτέμιος τὴν πόλιν ὀχυρώσας, ἐν Νικαίᾳ τῇ πόλει κατέφυγεν.

Ὁ δὲ τῆς πόλεως στόλος καὶ ὁ τοῦ Θεοδοσίου, μέχρι μηνῶν ἓξ

63 δρόμωνας Cod.

ἀλλήλους κατεπολέμουν· περάσας δὲ Θεοδόσιος ἐπὶ τὰ Θρᾳκῷα μέρη, ἐν ὄχλῳ βαρεῖ τὴν πόλιν καταλαμβάνει, καὶ διὰ τῆς τῶν Βλαχερνῶν πόρτης τοῦ μονοτείχους εἰσήει, ληϊζόμενος τήν τε πόλιν καὶ τοὺς ἄρχοντας· οἱ δὲ πλώϊμοι πραιδεύσαντες, μεγίστην εἰργάσαντο ἅλωσιν, μηδενὸς φεισάμενοι· τὸν δὲ Πατριάρχην Γερμανὸν καὶ τοὺς ἄρχοντας Ἀρτεμίου συλλαβόμενοι, ἐν Νικαίᾳ ἐξορίστους ἀπήγαγον. ὁ δὲ Ἀρτέμιος τούτους θεασάμενος, λόγον τινὰ ἀπαθείας λαβὼν, τὸ μοναδικὸν περιεβάλετο σχῆμα. ὃν Θεοδόσιος ἐν Θεσσαλονίκῃ ἐξώρισε. Λέων δὲ ὁ Ἴσαυρος τῶν ἀνατολικῶν στρατηγὸς ὢν, Ἀρτεμίου ὑπερμαχῶν, οὐχ ὑπετάγη Θεοδοσίῳ, ἔχων συναγωνιζόμενον Ἀρτάβασδον Ἀρμένιον στρατηγὸν Ἀρμενιακῶν, ᾧ δοῦναι συνέθετο καὶ τὴν ἰδίαν θυγατέρα.

## Θεοδόσιος ὁ Ἀτραμυττινός.

σλβ'. [64] Θεοδόσιος ἐβασίλευσεν ἔτη δύο, ἐφ' οὗ ὁ Μάσαλμος ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς ἐπεστράτευσε κατὰ Ῥωμαίων· καὶ πρὸς τὰ μέρη τοῦ Ἀμωρίου γενόμενος, γράφει πρὸς τὸν Λέοντα στρατηγὸν τῶν Ἀρμενιακῶν· "ἡ βασιλεία τῶν Ῥωμαίων σή ἐστιν, ἐλθὲ οὖν "καὶ λαλήσωμεν τὰ πρὸς εἰρήνην, καὶ ποιῶ πάντα, ὅσα θέλεις." ὁ δὲ πρὸς αὐτὸν ἀποστείλας ὑπάτους καὶ λόγους εἰρήνης ποιησάμενος, καὶ ὡς βασιλεὺς εὐφημισθεὶς, ἐπὶ Νικομήδειαν ἀνέρχεται μετὰ πλείστου στρατοῦ, ἐν ᾗ τῷ τοῦ Θεοδοσίου υἱῷ περιτυχὼν ἐν πολέμῳ, καὶ τοῦτον χειρωσάμενος μετὰ βασιλικῆς ὑπηρεσίας πάσης, καὶ τῶν ἐν τέλει ἐπισήμων τοῦ παλατίου, καταλιμπάνει τὴν Χρυσόπολιν. ὁ δὲ Θεοδόσιος λόγον ἀπαθείας παρ' αὐτοῦ λαβὼν, παρεχώρησεν αὐτῷ τὴν βασιλείαν, κληρικὸς σὺν τῷ υἱῷ γενόμενος. ἰστέον δὲ ὅτι οὗτος ὁ Θεοδόσιος ἦν ἐκλήπτωρ τῶν δημοσίων φόρων· εὐσεβὴς δὲ καὶ ἀπράγμων.

[64] Τοῦτον τὸν Θεοδόσιον φασὶν οἱ ἱστοριογράφοι καὶ χρησ . . . εἶναι. οὗτος ἐν ἐ . . . τελευτήσας, ἐτέθη τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τοῦ ἁγίου Φιλίππου, οὐκ ἐν λάρνακι, ἀλλ' ὑπὸ γῆν, ἔνθα ἡ εἴσοδος τῶν πυλῶν. γράφει δὲ ἐν τάφῳ αὐτοῦ . . . . . . τῶν ἐντοπίων θαυματουργεῖν αὐτόν· τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχε Γερμανὸς ἐπίσκοπος Κυζίκου. Cf. Cedren. t. i. p. 450 A.

## Λέων ὁ Ἴσαυρος ὁ Σύρος, ὁ καὶ Κόνων, ὁ εἰκονομάχος.

ςσνς'. Λέων ὁ Ἴσαυρος ἐβασίλευσεν ἔτη εἰκοσιτέσσαρα. ἔχει δὲ τὰ ἰνδικτ. α'. κατ' αὐτὸν ὧδέ πη. Ἀράβων ἀρχηγὸς ὑπῆρχεν Ἡζίθ· δύο δέ τινες θεομάχοι Ἑβραίων παῖδες, ὡς δῆθεν ἀστρολογικὴν ἐπιστήμην μεταδιώκοντες, καταλαμβάνουσι τὴν τῶν Ἀράβων βασιλικὴν αὐλὴν, καὶ καταμηνύοντα τῶν Ἡζίθ καὶ τοῦτον χρησμῳδίαν πολυζωΐας μυοῦνται, εἴγε τὴν θεανδρικὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς θεοτόκου μητρὸς, ἐκ πάντων τῶν ἐκκλησίων τῶν ὑπ' αὐτοῦ οὐσῶν ἀπαλείψειεν. καὶ δὴ ὁ φιλόζωος ὑπακούσας τῇ συμβουλῇ τῶν ἀπατεώνων, πάσας τὰς ἐκκλησίας τὰς οὔσας ἐν τῇ ἀρχῇ αὐτοῦ διεσάλευσεν· ἀλλ' ἀπατηθεὶς ὁ δείλαιος εὗρεν ἄξια τὰ ἐπίχειρα τῆς ἀνοίας· μετῆλθε γὰρ αὐτοῦ ἡ θεία δίκη, οὔπω διελθόντος ἑνὸς ἐνιαυτοῦ· οὗ ὁ υἱὸς διαδεξάμενος τὴν ἡγεμονίαν, ὡς ψευδομάντεις αὐτοὺς ἠβουλήθη ἀποκτεῖναι· μαθόντες δὲ οὗτοι ἀνέκαμψον ἐν τοῖς Ἰσαυρικοῖς μέρεσιν.

Εἰς πηγὴν δέ τινα ἀναψυχόντων αὐτῶν, ἰδοὺ οὗτος ὁ Λέων νεάνισκος ἔτι ὢν, καλὸς τῷ εἴδει καὶ εὐμήκης τῷ σώματι, βάναυσος τὴν τέχνην, ἐξ αὐτοῦ τὴν ζωὴν ποριζόμενος, τοῖς ὑποζυγίοις περιτιθεὶς φόρτον καὶ ἀπεμπολῶν, διέζη πτωχικῶς· καὶ δὴ ἐκ τοῦ ὑποζυγίου τότε φόρτον περιελόμενος, ἐκάθισε καὶ αὐτὸς ἐπὶ τῇ πηγῇ, ὡς ἀριστήσων· εἶτα τῶν ἐγγαστριμύθων μύσται μυοῦνται αὐτὸν τοῦ κατάρξαι τῆς Ῥωμαϊκῆς βασιλείας τῶν σκήπτρων· καὶ τοῦ Λέοντος ἀναβαλλομένου, ἐπὶ τῇ εὐτελείᾳ αὐτοῦ ἀφορῶντος, ὅρκοις πληροφορεῖται ὑπὸ τῶν ἀθέων, ὅτι ταῦτα οὕτως ἔχει γενέσθαι· καὶ δὴ αἰτούντων αὐτῶν ὀμόσαι αὐτοῖς, ἵνα εἰ ἄρα εἰς πέρας ἔλθοι τοῦτο, εἴ τι ἂν αἰτηθῇ παρ' αὐτῶν, ἀνυπερθέτως δώσει αὐτοῖς· ἦν δὲ πλησίον ναὸς τοῦ ἁγίου Θεοδώρου, καὶ εἰσελθὼν εὐθὺς ὁ βάναυσος Λέων, τῶν ἱερῶν καγκέλων τοῦ θυσιαστηρίου ἁψάμενος, δέδωκεν ἐγγυητὴν τὸν μεγαλομάρτυρα τοῦ Χριστοῦ· ἑστώτων τῶν Ἰουδαίων ἐκτὸς τῶν πυλῶν τοῦ ναοῦ, καὶ δεχομένων τὸν ὅρκον παρ' αὐτοῦ· καὶ αὖθις ᾤχετο ἕκαστος εἰς τὰ ἴδια.

Ἦν δὲ τῶν ἀνατολικῶν στρατηγὸς τότε Σισίνιος πατρίκιος· ἐφ' οὗ καὶ Λέων στρατολογηθεὶς, ἐν ὀλίγῳ χρόνῳ εἰς προκοπὴν μεγίστην ἀναβιβάζεται, σπαθάριος προχειρισθεὶς ὑπὸ Ἰουστινιανοῦ

τοῦ ῥινοτμήτου, καὶ εἰς τὰ ἑσπέρια ἐκπεμφθεὶς, καὶ μετὰ μεγάλης νίκης ἀνελθὼν, προεχειρίσθη παρὰ Θεοδοσίου στρατηγὸς εἰς ἀνατολήν. τὴν δὲ βασιλείαν αὐτοῦ κρατήσαντος τρόπῳ οἵῳ προείρηται, προσῆλθον οἱ μαντεῖς, οἱ τοῦτον χρησμοδοτήσαντες, καὶ δεξιολαβηθέντες, ἀπαιτοῦσι παρ' αὐτὴν ὑπόσχεσιν· τοῦ δὲ, ἑτοίμως ἐπαγγειλαμένου ἀποδιδόναι αὐτοῖς, εἶπον οἱ θεομάχοι· "τοῦτο "αἰτούμεθα παρὰ σοῦ βασιλεῦ, ἵνα τὸν χαρακτῆρα τοῦ Ναζω-"ραίου Χριστοῦ καὶ τῆς μητρὸς αὐτοῦ καὶ πάντων τῶν ἁγίων, ἐκ "πάσης ἐκκλησιαστικῆς ἱστορίας ἀπαλείψῃς, καὶ τοῦτο ποιῶν "μέλλεις βασιλεύειν ἄχρι χρόνων ἑκατὸν ἐν τῇ γενεᾷ σου." ὁ δὲ ἀλιτήριος, ἀστήρικτος ὢν τῇ πίστει, ἑτοιμότατα τὸ αἰτηθὲν ἐπαγγέλλεται, καὶ πρὸς τοῦτο ἤδη ἐχώρει. ἐτέχθη δὲ τῷ δυσσεβεῖ βασιλεῖ Λέοντι υἱὸς ὀνόματι Κωνσταντῖνος, ὃν ἐν τῇ ἁγίᾳ κολυμβήθρᾳ, ἐν τῷ βαπτίζεσθαι, ὥς φασιν, ἀφοδεῦσαι[65], δεινὸν καὶ δυσῶδες προσημαίνων τεκμήριον.

Μεταστειλάμενος γὰρ μετ' οὐ πολὺ Γερμανὸν Πατριάρχην ὁ βασιλεὺς, ἤρξατο λόγους τινὰς κινεῖν μεθ' ὑπουλείας, καὶ καταγινώσκειν πάντων τῶν πρὸ αὐτοῦ βασιλείων καὶ ἱερέων, ὡς εἰδωλολατρησάντων ἐν τῇ προσκυνήσει τῶν ἁγίων εἰκόνων. ὁ δὲ μέγας ἔφη Γερμανός· "ἄκουσον, ὦ βασιλεῦ· τοῦ Κυρίου ἡμῶν Ἰησοῦ "Χριστοῦ διὰ σαρκὸς ἐπιφανέντος, πᾶσα εἰδωλολατρεία ἐκποδὼν "γέγονε, καὶ πᾶν ἄγαλμα εἰδωλικὸν ἠφάνισται καὶ ἐξωστράκι-"σται, ὥς φησι Ζαχαρίας ὁ προφήτης· ὅτι λέγει Κύριος Σα-"βαὼθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ "οὐκέτι αὐτῶν ἔσται μνεία. πλὴν τὴν καθαίρεσιν τῶν ἱερῶν εἰκό-"νων μέλλειν ἔσεσθαι ἀκούομεν, ἀλλ' οὐκ ἐπὶ τῆς σῆς βασι-"λείας." τοῦ δὲ, βιασαμένου εἰπεῖν ἐπὶ ποίας βασιλείας, ἔφη, "ἐπὶ Κόνωνος." ὁ δὲ ἀποκριθεὶς ἔφη, "ὄντως ἐγώ εἰμι, καὶ οὕτως "παιδόθεν ἐκλήθην." καὶ ὁ μέγας Γερμανὸς ὑπολαβὼν ἔφη· "μὴ "γένοιτο, δέσποτα, ἐπὶ τῆς σῆς βασιλείας πραχθῆναι τὸ θεο-"στυγὲς τοῦτο κακόν." ὁ δὲ θεόμαχος τύραννος τοῦτο ἀκούσας, καὶ ὡς ἀνήμερος θὴρ βρύξας, καὶ σφόδρα χαλεπήνας, εἰδωλολάτρην τὲ ἀποκαλέσας, καὶ ταῖς ἰδίαις χερσὶ ῥαπίσας, τῶν βασιλείων

[65] ἀμφοδεῦσαι Cod.

ἐξελαύνει, καὶ ἐξουσιαστικῶς τὲ καὶ δυσσεβῶς τῆς αἱρέσεως ἀπάρχεται, καὶ τὴν ἐπὶ τῆς χαλκῆς πύλης εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατεάξας, καὶ σελέντιον κατὰ τῶν ἁγίων εἰκόνων ποιήσας, προσκαλεῖται πάλιν τὸν ἅγιον Γερμανὸν καὶ τίμιον, οἰόμενος πεῖσαι αὐτὸν ὑπογράψαι κατὰ τῶν ἁγίων εἰκόνων. ὁ δὲ οὐδόλως εἶξε τῇ θωπείᾳ ἢ τῇ ἀπειλῇ τοῦ τυράννου· ἀλλὰ θεὶς τὸ ὠμόφορον ἐν τῇ ἁγίᾳ τραπέζῃ τῆς μεγάλης ἐκκλησίας, ἀπετάξατο τῇ ἱερωσύνῃ, καὶ ὑπεχώρησεν.

Ὁ δὲ θεομάχος ἀντ' αὐτοῦ χειροτονεῖ Ἀναστάσιον πρεσβύτερον· συνθέμενος τῇ ἀσεβεῖ αὐτοῦ βουλῇ, πᾶσαν τὲ εἰκόνα τοῦ Σωτῆρος ἡμῶν καὶ τῆς θεοτόκου μητρὸς καὶ τῶν ἁγίων κατέστρεψε καὶ κατέκαυσε, καὶ διωγμὸν μέγαν ἐγείρας, πολλοὺς ἱερεῖς καὶ μονάζοντας καὶ λαϊκοὺς διαφόροις τιμωρίοις καὶ θανάτοις παρέδωκε. πλησίον δὲ τῶν χαλκοπρατίων παλάτιον ἦν σεμνὸν, ἐν ᾧ ὑπῆρχε κατὰ τύπον ἀρχαῖος οἰκουμενικὸς διδάσκαλος, ἔχων συλλήπτορας ἄνδρας τῶν ἐν τέλει τὸν ἀριθμὸν δώδεκα, πᾶσαν ἐπιστήμην μετερχομένους, καὶ τὰ ἐκκλησιαστικὰ κρατύνοντας δόγματα, βασιλικάς τε διαίτας καὶ βίβλους ἔχοντας ὡσαύτως· ὧν οἱ βασιλεῖς ἄνευ βουλὴν ἢ γνώμην οὐκ ἐθέσπιζον· τούτους ὁ δυσώνυμος θὴρ προσκαλεσάμενος ἐπειρᾶτο πείθειν· τῶν δὲ μὴ καταδεξαμένων, ἀλλ' ἐλεγξάντων αὐτὸν, προσέταξεν ἐνεχθῇ πλῆθος ξύλων, καὶ τούτων ὑπαφθέντων κατακαῆναι τοὺς ἄνδρας σὺν τοῖς οἰκήμασι καὶ βιβλίοις, καὶ τοῖς λοιποῖς αὐτῶν πᾶσι.

Διὰ ταῦτα ὁ πρόεδρος Ῥώμης ἀφηνίασε, καὶ πρὸς τὸν Φράγγον σπονδὴν εἰρηνικὴν ποιησάμενος, τούς τε φόρους ἐκώλυσε, καὶ Ἀναστάσιον καὶ τοὺς σὺν αὐτῷ ἀνεθεμάτισεν. ὁ δὲ τῶν Σαρακηνῶν ἡγούμενος Μάσαλμας ἐξεδέχετο τὰς τοῦ Λέοντος ὑποσχέσεις· μηδὲν δὲ παρὰ Λέοντος δεξάμενος, καὶ γνοὺς ὅτι ἐνεπαίχθη ὑπ' αὐτοῦ, ἐπὶ τὴν βασιλεύουσαν πόλιν ἐκίνησε, καὶ τὴν Ἄβυδον καταλαβὼν, καὶ ἀντιπεράσας λαὸν πλεῖστον, γράφει πρὸς Σουλεϊμᾶν τὸν πρωτοσύμβουλον ἐλθεῖν ἐν τάχει μετὰ στόλου, καὶ τῷ Αὐγούστῳ μηνὶ περικαθήσας τὴν πόλιν, καὶ τὸ χερσαῖον τεῖχος περιχαρακώσας, ἐλυμαίνετο σφόδρα τὰ Θρᾳκῷα μέρη. τῇ δὲ πρώτῃ τοῦ Σεπτεμβρίου, ἀνέβαλεν ὁ Σουλεϊμᾶν ἔχων εὐμεγέθεις ναῦς τριήρεις καὶ δρόμωνας χιλίους ὀκτακοσίους· ὁ δὲ βασιλεὺς

τὸν στόλον κατ᾽ αὐτῶν ἐκπέμψας, καὶ τὰς ταχείας ναῦς μετὰ ὑγροῦ πυρὸς, πυριαλώτους ἐποίησε τὰς πλείω καὶ φοβερὰς ναῦς ἐκείνας· καὶ αἱ μὲν εἰς τὰ παράλια τείχη πυρπολούμεναι προσερρίφησαν· αἱ δὲ εἰς τὸν βυθὸν αὔτανδροι κατεποντίσθησαν· ἕτεραι δὲ μέχρι τῆς Ὀξείας καὶ τῶν λοιπῶν νήσων ἀπηνέχθησαν καταφλεγόμεναι.

Ἐντεῦθεν οἱ τῆς πόλεως θάρσος ἔλαβον, τῶν πολεμίων μεγάλως καταπτωθέντων· παραχειμάσασι δὲ τῇ πόλει τῷ ἐαρίνῳ καιρῷ λοιμικὴ νόσος αὐτοῖς ἐνεσκήψασα μετὰ λιμοῦ, πλῆθος ἀναρίθμητον ἐξ αὐτῶν διέφθειρεν· ἐξ ὧν οἱ περιλειφθέντες πόλεμον ἐν τῇ Θράκῃ μετὰ Βουλγάρων συνάψαντες, ἀνῃρέθησαν πλείονες. τῇ δὲ πεντεκαιδεκάτῃ τοῦ Αὐγούστου μηνὸς ἐκ τῆς πόλεως ἀπάραντες, ἀνέμου σφοδροτάτου πνεύσαντος, οἱ μὲν ἐν τῇ Προικονήσῳ καὶ ταῖς ἄλλαις ἀκταῖς ἀπώλοντο· οἱ δὲ ἐξαβυδίσαντες, ἀθρόως ἐπελθόντος νέφους χαλάζης ὀλέθρου μετὰ βιαίου ἀνέμου, ὑποβρύχιοι πάντες ἐγένοντο· διεσώθησαν δὲ παραδόξως, ἐκ τῶν ͵αω πέντε καὶ μόνα πλοῖα, ἃ καὶ ἀπήγγειλαν εἰς τὰ ἴδια τήν τε Ῥωμαίων νίκην, καὶ τὴν ἑαυτῶν πανώλεθρον κατάπτωσιν.

Σέργιος δὲ στρατηγὸς Σικελίας ἀκούσας ὅτι οἱ Ἀγαρηνοὶ ἐκπόρθουσι τὴν πόλιν, ἔστεψε βασιλέα ἐκ τῶν ἀνθρώπων αὐτοῦ ὀνόματι Βασίλειον, ᾧ ἐπώνυμον Ὀνομάγουλος, ποιήσας καὶ προβολὰς ἀρχόντων. ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας, ἀπέστειλεν ἐκεῖσε Παῦλον μετὰ κελεύσεων καὶ στόλου. μαθόντες οὖν οἱ Σικελιῶται ὅτι κατετροπώθησαν οἱ Σαρακηνοὶ, καὶ Λέων βασιλεύει, τόν τε Βασίλειον καὶ τοὺς λοιποὺς ἄρχοντας παραδεδώκασι τῷ Παύλῳ, καὶ πάντας ὁμοῦ ἐπὶ τὸ αὐτὸ ἀπεκεφάλισεν, ὡς ἀντάρτας. Νικήτας δὲ ὁ πατρικιος ὁ Ξυλινίτης μετὰ καὶ ἑτέρων πατρικίων τὸν Τέρβελιν διὰ γραμμάτων καὶ πολλῶν δώρων καὶ χρημάτων δεξιωσάμενοι, παρώρμησαν ἐλθεῖν κατὰ Λέοντος· οὓς τινὲς τῶν Βουλγάρων προδεδώκασι καταμηνύσαντες τῷ βασιλεῖ, καὶ πάντας ἐν φόνῳ μαχαίρας ἀνεῖλεν.

Ἔστεψε δὲ Κωνσταντῖνον υἱὸν αὐτοῦ ὁ αὐτὸς Λέων ἐν τῷ τριβουναλίῳ τῷ δεκαεννέα ἀκουβίτων· ἐβάπτισε δὲ ἀναγκαστῶς καὶ τοὺς Ἑβραίους, ὥστε λεγέσθαι ἔκτοτε τοὺς Ἑβραίους καὶ Μοντάνους. Ἰωάννην τε τὸν Δαμασκηνὸν, ὃν Χρυσορρόαν ἐκάλουν,

διὰ τὴν ἐνυπάρχουσαν αὐτῷ σοφίαν, ἐξορίσας, Μανσοὺρ ἐπωνόμασεν, ὅ ἐστι βλάσφημον. ἐνυμφεύσατο δὲ εἰς τὸν υἱὸν Κωνσταντῖνον τὴν θυγατέρα τοῦ Χαγάνου τοῦ Σκυθῶν δυνάστου, Χριστιανὴν ποιήσας, καὶ Εἰρήνην ἐπονομάσας· ἥτις μαθοῦσα τὰ ἱερὰ γράμματα διέπρεπεν ἐν εὐσεβείᾳ, τὴν τούτου δυσσέβειαν ἐλέγχουσα· πολλὰ δὲ τῇ Ῥώμῃ κακὰ ἐνεδείξατο διὰ τὸν Πάπαν, καὶ πάκτα ἐτήσια ταῖς ἐκκλησίαις διετάξατο τελεῖν. ἐστράτευσαν δὲ καὶ οἱ Ἀγαρηνοὶ κατὰ πάσης Ῥωμανίας, καὶ πολλὴν αἰχμαλωσίαν λαβόντες, ὑπέστρεψαν.

Καὶ σεισμὸς μέγας ἐγένετο, ὥστε πεπτωθῆναι ἐκκλησίας καὶ οἴκους, καὶ πεσεῖν τὴν στήλην Ἀρκαδίου τὴν ἐν τῷ ξηρολόφῳ· τάτε χερσαῖα τῆς πόλεως τείχη, καὶ Νικομήδειαν καὶ Νίκαιαν, ἀποφυγεῖν δὲ καὶ τὴν θάλασσαν τῶν ἰδίων ὅρων ἔν τισι τόποις. εἰδὼς δὲ ὁ βασιλεὺς τὰ τείχη πτωθέντα, διελάλησε λέγων, "ὅτι "ὑμεῖς οἱ τῆς πόλεως ἀδυνατεῖτε τὰ τείχη κτίσαι, ἀλλὰ προσε-"τάξαμεν τοῖς διοικηταῖς εἰς τὸν κανόνα ἀπαιτῆσαι κατὰ νόμισμα "μιλιαρίσιον ἓν, καὶ λαμβάνειν αὐτὸ τὴν βασιλείαν, καὶ κτίζειν "τὰ τείχη." ἐντεῦθεν ἐκράτησεν ἡ συνήθεια παρέχειν τὰ δικέρατα τοῖς διοικηταῖς. ἐν τούτοις ὁ παμμίαρος Λέων τελευτᾷ, νόσῳ δυσεντερίας τὴν ψυχὴν ἀπορρήξας. τελευτήσαντος δὲ αὐτοῦ, ἐτέθη τὸ σῶμα αὐτοῦ τὸ δύστηνον ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων· τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν Ἀναστάσιος ὁ αἱρετικὸς, διαδεξάμενος Γερμανὸν τὸν μακάριον.

## ΚΩΝΣΤΑΝΤῖΝΟΣ Ὁ ΥἹῸΣ ΛΈΟΝΤΟΣ ΤΟΥ͂ ἸΣΑΎΡΟΥ Ὁ ΚΟΠΡΏΝΥΜΟΣ.

ϛσϛ.
ἰνδικτ. ι΄. Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ, ὁ Κοπρώνυμος, ἐβασίλευσεν ἔτη λδ΄ ἐκ δεινοτάτου Λέοντος φανεὶς, ποικιλότροπος πάρδαλις ἐκ σπέρματος ὄφεως, ἀσπὶς καὶ ὄφις πετώμενος. οὗτος τὴν πατρῴαν τε βασιλείαν καὶ δυσσέβειαν διαδεξάμενος, ἐκ Θεοῦ πλεῖον διΐσταται καὶ τῆς θεοτόκου Μαρίας καὶ πάντων τῶν ἁγίων αὐτοῦ, κἀντεῦθεν λοιπὸν μαγείαις καὶ ἀσελγείαις καὶ ᾠδαῖς καὶ δαιμόνων ἐπικλήσεσι, καὶ σπλάγχνων ἀνατομίαις καὶ ἄλλοις πονηροῖς ἐπιτηδεύμασι, καὶ κυνηγίοις καὶ ἱπποδρομίοις σχολάζων, ὄργανον ἐπιτήδειον τοῦ ἀντικειμένου γέγονεν. εἰς τοσαύτην γὰρ ἀπόνοιαν ἐξώκειλεν, ὡς καὶ θεσμὸν καθολικὸν ἐκθέσθαι, "μὴ λέγεσθαι τινὰ

“ ἅγιον, ἀλλὰ καὶ τὰ λείψανα τούτων εὑρισκόμενα διαπτύεσθαι, καὶ “ μηδὲ πρεσβείαν αὐτῶν ἐξαιτεῖν, οὐδὲν γὰρ ἰσχύουσι,” προσθεὶς ὁ ἀνόσιος· “ μηδὲ τῆς Μαρίας ἐπικαλείσθω τίς τὴν πρεσβείαν· οὐ “ γὰρ δύναταί τι· μηδὲ θεοτόκον αὐτὴν ὀνομάζεσθαι.” λαβὼν γὰρ ἐν χειρὶ βαλάντιον πλῆρες χρυσίου, καὶ ὑποδείξας αὐτὸ πᾶσιν, ἤρετο τίνος ἄξιόν ἐστι; τῶν δὲ πολλοῦ εἰπόντων, κενώσας τὸ χρυσίον, πάλιν ἤρετο, τίνος ἐστὶν ἄξιον; καὶ λέγουσιν οὐδενός· οὕτως ἔφη καὶ ἡ Μαρία· οὐ γὰρ θεοτόκον ὁ ἄθεος ἠξίου λέγειν· ἕως μὲν εἶχε τὸν Χριστὸν ἐν ἑαυτῇ, τετιμημένη ἦν, ἀφ᾽ οὗ δὲ τοῦτον ἀπέτεκεν, οὐδὲν τῶν λοιπῶν γυναικῶν διενήνοχεν· ὢ τῆς βλασφημίας, φεῖσαι ἡμῶν Κύριε.

Ἐκ τούτων οὐ μικρά τις ἀθυμία τοὺς Χριστιανοὺς κατέλαβεν, ὥστε πάντας μισῆσαι αὐτὸν, καὶ Ἀρταβάσδῳ Κουροπαλάτῃ καὶ γαμβρῷ ἐπ᾽ ἀδελφῇ αὐτοῦ προστεθῆναι. ἐξελθὼν γὰρ Κωνσταντῖνος ἐν τοῖς μέρεσι τοῦ Ὀψικίου κατὰ Ἀράβων, Ἀρταβάσδου μετ᾽ αὐτοῦ ὄντος, ὑπεβλέποντο ἀλλήλους, καὶ συμβολῆς γενομένης μετ᾽ ἀλλήλων, καὶ τοῦ Βισὴρ τοῦ καὶ συμμύστου Κωνσταντίνου σφαγέντος παρὰ Ἀρταβάσδου, Κωνσταντῖνος φοβηθεὶς ἔφυγεν εἰς τὸ Ἀμόριον. ἐντεῦθεν μάχαι μεταξὺ αὐτῶν γεγόνασι δεινόταται. Ἀρτάβασδος δὲ Θεοφάνην μάγιστρον, φίλον αὐτοῦ ὄντα, καὶ τότε ἐκπροσωποῦντα ἐν τῇ πόλει, ἔγραψε δέξασθαι αὐτόν. καὶ δεχθεὶς ὑπὸ τῶν θεμάτων, ἀνηγορεύθη βασιλεύς. εἰσελθὼν δὲ ἐν τῇ πόλει πᾶς ὁ λαὸς σὺν τῷ ψευδωνύμῳ Πατριάρχῃ Ἀναστασίῳ ἀνεθεμάτισαν Κωνσταντῖνον, Ἀρτάβασδον δὲ ὡς ὀρθόδοξον βασιλέα ἀνεκήρυξαν. καταλαβὼν δὲ Κωνσταντῖνος ἐν Χρυσοπόλει μετὰ λαοῦ, καὶ μηδὲν ἀνύσας, ὑπέστρεψε πάλιν εἰς τὸ Ἀμόριον.

Ὁ δὲ Ἀρτάβασδος τὰς ἱερὰς εἰκόνας πανταχοῦ ἀνεστήλωσε, καὶ τὸν πρὶν αὐτῆς κόσμον ἡ Ἐκκλησία ἀπέλαβεν. Ἀναστάσιος δὲ ὁ Πατριάρχης κρατήσας τὰ τίμια ξύλα, ὤμοσεν ἐν τῷ ἄμβωνι ἑστὼς, “ ὅτι μὰ τὸν προσηλωθέντα ἐν τούτοις, οὕτως μοι εἶπεν “ Κωνσταντῖνος ὁ βασιλεύς· ὅτι μὴ λογίσῃ υἱὸν Θεοῦ εἶναι τὸν “ Χριστὸν, ὃν ἔτεκεν ἡ Μαρία, εἰ μὴ ψιλὸν ἄνθρωπον, ὡς ἔτεκεν “ ἐμὲ ἡ μήτηρ μου Μαρία.” καὶ τοῦτο ἀκούσαντες οἱ λαοὶ, ἀνεθεμάτισαν αὐτόν· ὁ δὲ Ἀρτάβασδος ἐξελθὼν ἐστρατολόγει. Κωνσταντῖνος δὲ τοῦτο μαθὼν, ἐκίνησε κατ᾽ αὐτοῦ, καὶ συμβαλὼν

μετ' αὐτοῦ πόλεμον τρέπει αὐτὸν, καὶ καταλαβὼν τὴν Κύζικον, ἐκεῖθεν ἐν τῇ πόλει διασώζεται.

Ὁ δὲ Κωνσταντῖνος ἐν Χαλκηδόνι ἐλθὼν, ἀντεπέρασεν ἐν τοῖς Θρᾳκώοις μέρεσι, καὶ τῷ χερσαίῳ τείχει παρακαθίσας, διέδραμεν ἕως τῆς χρυσῆς πόρτης, ἐπιδεικνύων ἑαυτὸν τοῖς ὄχλοις. ὁ δὲ Ἀρτάβασδος ἀνοίξας τὰς πόρτας καὶ συμβαλὼν πάλιν πόλεμον, ἡττήθη κατὰ κράτος· τοῦ δὲ Κωνσταντίνου τὰ πλοῖα κρατήσαντος, ἐγένετο λιμὸς ἰσχυρὸς ἐν τῇ πόλει, ὥστε πραθῆναι τὸν μόδιον τῆς κριθῆς νομισμάτων δώδεκα, καὶ τὰ λοιπὰ ὁμοίως. τοῦ δὲ λαοῦ θνήσκοντος καὶ ἀπολλυμένου, ἠναγκάσθη Ἀρτάβασδος ἀπολύειν καὶ ἐξέρχεσθαι αὐτοὺς ἐκ τῆς πόλεως. νικήσας δὲ ὁ υἱὸς Ἀρταβάσδου, ἐπισυνάξας λαὸν ἱκανὸν, ἦλθεν ἕως τῆς Χρυσουπόλεως· καὶ περάσας ὁ βασιλεὺς ἐδίωξεν αὐτὸν, καὶ καταλαβὼν ἐχειρώσατο, καὶ τοῦτον πεδήσας, ἐλθὼν διὰ τοῦ τείχους τῷ πατρὶ ἐπεδείκνυεν. ἄφνω δὲ παραταξάμενος διὰ τοῦ χερσαίου τείχους, τὴν πόλιν παρέλαβε. καὶ χειρωσάμενος Ἀρτάβασδον σὺν τοῖς δυσὶν υἱοῖς, καὶ τὸν πατρίκιον Βακουάγιον, τὸν μὲν Ἀρτάβασδον σὺν τοῖς δυσὶν υἱοῖς αὐτοῦ ἐτύφλωσε, τοῦ δὲ Βακταγίου χεῖρας καὶ πόδας κόψας, ἐν τῷ κυνηγίῳ ἀπεκεφάλισε· πολλοὺς δὲ καὶ ἄλλους τῶν προὐχόντων ἀνεῖλε, καὶ τὰς οὐσίας αὐτῶν ἐδήμευσεν.

Ἱππικὸν δὲ ποιήσας ἀπήγαγε τὸν Ἀρτάβασδον σὺν τοῖς υἱοῖς αὐτοῦ, ἅμα τῷ Πατριάρχῃ Ἀναστασίῳ καὶ τοῖς φίλοις αὐτοῦ· τοῦ Πατριάρχου ἐπὶ ὄνου ἀντιστρόφως καθεζομένου καὶ πομπευομένου. οὗτος γὰρ περιπατῶν ποτὲ ὄπισθε Γερμανοῦ τοῦ Πατριάρχου σύγκελλος[66] ὢν, ἐπάτησε τὸ ὠμοφόριον αὐτοῦ· ὁ δὲ ἐπιστραφεὶς ἔφη αὐτῷ, "μὴ σπεῦδε, τὸ διίππιον[67] ἐκδέχεταί σε." πάλιν δὲ Κωνσταντῖνος ὡς ὁμόφρονα αὐτοῦ ὄντα, ἐν τούτοις ἐκφοβήσας, ἐν τῷ θρόνῳ τῆς ἱερωσύνης καθίστησιν, ἐφ' οὗ ἤρξατο ἀθρόον καὶ ἀοράτως σημεῖα ἔν τε ἱματίοις τῶν ἀνθρώπων γίνεσθαι, καὶ εἰς τὰ τῶν ἐκκλησιῶν ἱερὰ ἐνδύματα, σταυροὶ ἐλαιώδεις πλεῖστοι, καὶ οὕτως κατέλαβεν ἡ θεομηνία τοῦ βουβῶνος λοιμικὴ νόσος· οὐ μόνον τοὺς ἐν τῇ πόλει, ἀλλὰ καὶ τοὺς ἐν τοῖς περιχώροις αὐτῆς δεινῶς ὀλεθρεύουσα· καὶ πρὸς τούτοις ἐγίνοντο καὶ φαντασίαι τινὲς εἰς

66 σύγκελος Cod. 67 δίππιον Cod.

πολλοὺς τῶν ἀνθρώπων, καὶ δείματα τινὰ ἐξαίσια, ἃ οἱ ὁρῶντες ἐτελεύτων, ὥστε καὶ ὁλοκλήρους οἴκους κλεισθῆναι παντελῶς, καὶ μὴ εἶναι τοὺς ὀφείλοντας θάπτειν τοὺς νεκρούς. παντὸς δὲ οἴκου διαφθαρέντος διὰ τὴν ἀσέβειαν τοῦ τυράννου, πάντα τὸν πλοῦτον τῆς πόλεως τῶν οἰκητόρων εἰσκομίσας, ἐν τῷ παλατίῳ ἀπέθετο. ἔφθασε δὲ καὶ ἡ ὀργὴ εἰς Ἀναστάσιον τὸν ἀνίερον, καὶ οἰκτίστῳ πάθει τῷ λεγομένῳ χορδαψῷ καταλύει τὸν βίον.

Ὁ δέ γε τύραννος τῶν Σαρακηνῶν κατ' ἀλλήλων μαχομένων ἀκούσας, ἐκστρατεύει πρὸς τὰ μέρη τῆς Συρίας· καὶ τὴν Γερμανίκειαν παρέλαβε καὶ Θεοδοσιούπολιν καὶ Μελιτηνὴν, αἰχμαλωτίσας πάντας τοὺς ἐκεῖσε. διὰ δὲ τὴν τοιαύτην πρόφασιν τοῦ θανατικοῦ προσλαβόμενος τοὺς συγγενεῖς αὐτοῦ Ἀρμενίους τε καὶ Σύρους αἱρετικοὺς, εἴς τε τὸ Βυζάντιον μετῴκισε καὶ ἐν τῇ Θρᾴκῃ, οἳ μέχρι τοῦ νῦν τὴν αἵρεσιν τοῦ τυράννου διακρατοῦσιν. ἐτέχθη δὲ τότε τῷ βασιλεῖ Κωνσταντίνῳ υἱὸς ἐκ τῆς Χαγάνου τῆς Χαζάρας θυγατρὸς, ὃν ἐπωνόμασε Λέοντα. ἐπαρθεὶς δὲ τῷ φρονήματι διὰ τὴν παρ' αὐτοῦ γενομένην νίκην, σύνοδον ἀθροίζει κατὰ τῶν ἁγίων εἰκόνων ἐν Βλαχέρναις. καὶ ἀνελθὼν ἀθέσμως ἐν τῷ ἄμβωνι, χειροκρατῶν ἐπίσκοπον τοῦ Συλαίου, ἐξεφώνησαν οὕτως· "Κωνσταντίνου οἰκουμενικοῦ πατριάρχου, πολλὰ τὰ ἔτη." ἐν ᾗ συνόδῳ πολλὰ κατὰ τοῦ Κυρίου κενολογήσαντες οἱ ἱερεῖς τῆς αἰσχύνης, καὶ τὰς μιαρὰς χεῖρας εἰς ὕψος ἄραντες, ἔρρηξαν τὴν ἐλεεινὴν ἐκείνην φωνὴν λέγοντες· "σήμερον σωτηρία τῷ κόσμῳ, "ὅτι σὺ βασιλεῦ ἐλυτρώσω ἡμᾶς ἐκ τῶν εἰδώλων."

Ταῦτα ἐπράξαντο οἱ ἀνίεροι καὶ χριστέμποροι. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ἀνάξια εἰς τὸν χειροτονηθέντα ὑπ' αὐτοῦ Πατριάρχην διεπράξαντο ἔργα. μαθὼν γὰρ ὁ ἀλάστωρ ὅτι ὁ Πατριάρχης πολλοὺς ἐπληροφόρησεν εἰπεῖν τὸν βασιλέα πρὸς αὐτὸν, ὅτι οὐκ ἔστι Θεὸς ὁ Χριστὸς, διὰ τοῦτο οὔτε τὴν μητέρα αὐτοῦ ἔχω θεοτόκον, ἐξεμάνη κατ' αὐτοῦ, ὡς τὸ μυστήριον αὐτοῦ θριαμβεύσαντα, καὶ ἐπιθεὶς αὐτῷ πολλὰς πληγὰς, ἐθριάμβευσεν αὐτὸν ἐπὶ λαοῦ καὶ[68] ἱπποδρομίας ἐμπτυόμενον καὶ συρόμενον· εἶτα ἀσφαλισάμενος αὐτὸν, ἀποστέλλει πρὸς αὐτὸν πατρικίους, καὶ φησὶ, "τί λέγεις

68 Leg. κατ'.

“ ἄρτι περὶ τῆς πίστεως ἡμῶν καὶ τῆς συνόδου ἧς ἐποιήσαμεν;” ὁ δὲ ματαιωθεὶς ταῖς φρεσὶ, καὶ οἰόμενος αὐτὸν πάλιν ἐξευμενίσασθαι, ἀποκριθεὶς εἶπε· “ καλῶς πιστεύεις, καὶ καλῶς τὴν σύνο- “ δον ἐποίησας.” οἱ δὲ ἐπιγελάσαντες εἶπον πρὸς αὐτόν· “ ἡμεῖς “ τοῦτο μόνον ἠθέλομεν ἀκοῦσαι ἐκ τοῦ μιαροῦ σου στόματος,” καὶ παραχρῆμα ἐξενεγκόντες αὐτὸν ἀπεκεφάλισαν, καὶ τὸ σῶμα αὐτοῦ ἔρριψαν εἰς τὰ Πελαγίου, ἔνθα πρώην ὑπῆρχεν ὁ τοῦ ἁγίου μάρτυρος Πελαγίου ναὸς, ὃν ὁ θεομισὴς καταλύσας, καὶ τάφον καταδίκων ποιήσας, ἐκάλεσε τὰ Πελαγίου. καὶ ἀντιχειροτονεῖ Πατριάρχην Νικήταν τὸν εὐνοῦχον καὶ Σκλάβον· ὡσαύτως δὲ καὶ Πέτρον τὸν ἱερὸν, καὶ τὸν θεῖον Στέφανον τὸν τοῦ Αὐξεντίου, τὸν θεοφόρον, πικρῶς φονεύσας, εἰς τὰ Πελαγίου συρρέντας, ῥιφῆναι προσέταξε.

Πολλοὺς δὲ καὶ ἑτέρους ἄρχοντάς τε καὶ μοναχοὺς διὰ τὰς ἱερὰς εἰκόνας δεινῷ θανάτῳ παρέδωκεν. ἐστράτευσε δὲ κατὰ Βουλγάρων πεζῇτε καὶ πλωΐ, καὶ τούτους τροπωσάμενος, εἰσῆλθεν ἐν τῇ πόλει, καθωπλισμένος τοῖς πολεμικοῖς ὅπλοις, θριαμβεύων δεδεμένους τοὺς Βουλγάρους.

Ἐφ’ οὗ χρόνου γέγονε χειμὼν, καὶ ψύχος μέγα καὶ πικρότατον, ὥστε καὶ τὴν ἀρκτώαν τοῦ πόντου θάλασσαν, ἐπὶ μίλια ἑκατὸν ἀπολιθωθῆναι, καὶ ἐπὶ πήχεσι τριάκοντα τὸ βάθος τοῦ πελάγους παγῆναι· οὗπερ χιονισθέντος, ηὐξήθη ἐπὶ ἄλλας εἴκοσι πήχεις, ὥστε συμμορφωθῆναι τὴν θάλασσαν τῇ ξηρᾷ, καὶ πεζοπορεῖσθαι ὕπερθε τοῦ κρύους[69], ὑπὸ ἀγρίων τε καὶ ἡμέρων ζώων. τῷ δὲ Φεβρουαρίῳ μηνὶ προνοίᾳ Θεοῦ τὰ τοιαῦτα πελάγη εἰς πλεῖστα καὶ ὀροφανῆ τμήματα διαιρεθέντα, καὶ τῇ τῶν ἀνέμων βίᾳ ἐπὶ τὸ ἱερὸν κατενεχθέντα, οὕτως διὰ τοῦ στενοῦ ἐπὶ τὴν πόλιν ἔφθασαν, κἀκεῖθε μέχρι τῶν νήσων καὶ Ἀβύδου πᾶσαν τὴν παράλιον ἐπλήρωσαν, ἔχοντα καὶ ζῶα διάφορα προσπεπηγμένα· διὸ πᾶς ὁ βουλόμενος ἀπὸ Σοφιανῶν εἰς τὸν ἅγιον Μάμαντα καὶ εἰς τὴν πόλιν, καὶ πάλιν εἰς Χρυσόπολιν, ὡς διὰ ξηρᾶς διεπέρων βαδίζοντες. ἐκ δὲ τῶν μεγάλων ἐκείνων τμημάτων ἓν τῶν τειχῶν τῆς πόλεως προσρραγὲν ἐκ τῶν θεμελίων τοῦτο ἐδόνησε σὺν τοῖς ἔνδοθε

69 κεύους Cod. vid. Cedren.

πλησίον οἰκήμασιν, ὅπερ διαιρεθὲν εἰς τρία ἀπὸ τῶν Μαγγάνων ἕως τοῦ Βοσπορίου, καὶ τὴν πόλιν περικυκλῶσαν, ὑπερεῖχε πολὺ τῷ ὕψει τῶν τειχῶν. καὶ ταῦτα θεωροῦντες οἱ τῆς πόλεως ἐθρήνουν ἀπαρηγόρητα.

Τῷ δὲ Ἀπριλλίῳ μηνὶ δρόμος καὶ κίνησις ἀστέρων γέγονεν ἐν τῷ ἀέρι, καὶ κατεσπῶντο πρὸς τὴν γῆν, ὡς τοὺς ὁρῶντας νομίζειν εἶναι συντέλειαν. ὁ δὲ βασιλεὺς κατὰ Βουλγάρων ἐπιστρατεύσας, πλωΐ τε καὶ πεζῇ ἐπὶ Ἀχελῶον ἀπέστειλεν· ἀνέμου δὲ βιαίου πνεύσαντος τὰ πλοῖα συνετρίβη. τοῦτο μαθόντες οἱ Βούλγαροι πόλεμον πρὸς αὐτὸν συνάπτουσι· δεινῶς οὖν ἡττηθεὶς, ὑπέστρεψε μετ' αἰσχύνης· μέχρι γὰρ καὶ τήμερον κατὰ τὸν Ἀχελῶον κῶλα τῶν ἀνῃρημένων σαφῶς ὑποδεικνύουσι τὴν ἧτταν.

Οὗτος ὁ θεομισὴς πολλῶν ἁγίων λείψανα κατέκαυσεν, ἀλλὰ καὶ τῇ θαλάσσῃ παρέδωκε· διὸ καὶ τῆς ἁγίας Εὐφημίας τὸ λείψανον μὴ φέρων ὁρᾷν μῦρον ἀναβλύζον, σὺν τῇ λάρνακι τῷ βυθῷ παρέπεμψεν· ὅπερ ἐν τῇ νήσῳ τῇ Λήμνῳ σῶον διασωθὲν, παρὰ τῶν οἰκητόρων ἐδέχθη ἐκ θείας ἀποκαλύψεως· τὸν δὲ ναὸν τῆς ἁγίας καὶ πανευφήμου, ἁρμάμεντον καὶ κοπροθέσιον ἐποίησεν. ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης τὸ αὐτὸ λείψανον τῆς πανευφήμου πάλιν μετὰ τιμῆς πολλῆς ἀνεκομίσθη ἐν τῇ πόλει.

Οὗτος τῶν υἱῶν αὐτοῦ τοὺς μὲν δύο προεβάλλετο Καίσαρας, Νικηφόρον καὶ Χριστοφόρον, τὸν δὲ Νικήταν νουβελίσιμον. εἰσελθούσης δὲ τῆς Εἰρήνης ἐξ Ἀθηνῶν ἐν τῇ βασιλευούσῃ πόλει μετὰ δρομώνων, ἔζευξεν αὐτὴν Λεόντι τῷ υἱῷ αὐτοῦ, στέψας αὐτοὺς ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου, τῷ τῆς βασιλείας καὶ τῷ τοῦ γάμου. ἔσχε δὲ δεξιωσάμενος φίλους κρυπτοὺς ἐν Βουλγαρίᾳ, οἳ κατεμήνυον αὐτῷ ἅπαντα τὰ τῷ ἄρχοντι αὐτῷ βουλευόμενα· οἳ δηλοῦσι τῷ βασιλεῖ, ὅτι ἀποστέλλει ὁ Κῦρις[65] Βούλγαρος λαὸν πρὸς τὸ αἰχμαλωτίσαι τὴν Βερζητίαν. ὁ δὲ βασιλεὺς σχηματισάμενος κατὰ Ἀράβων κινεῖν, ἀποστείλας τοὺς ἀποκρισαρίους τοὺς διὰ εἰρήνην παραγενομένους ἐπὶ Βουλγαρίαν, καὶ ἐπισωρεύσας πάντα τὸν στρατὸν ἅμα τοῖς τάγμασιν, ἐπέπεσε τοῖς Βουλγάροις ἀσαλπιγκτὶ, καὶ τρέψας αὐτοὺς, ἐποίησε νίκος μέγα· καὶ ὑποστρέψας ἐν τῇ πόλει, καὶ θριαμβεύσας τεθωρακισμένος τὸν πόλεμον τοῦτον

[65] Leg. Κύριος.

ἐπωνόμασεν εὐγενῆ, ὡς μηδενὸς αὐτῷ ἀνθιστάντος, μηδὲ σφαγῆς Ῥωμαίων γενομένης.

Ὁ δὲ ἄρχων Βουλγάρων Τέλθριχος, γνοὺς ὅτι ἐκ τῶν οἰκείων αὐτοῦ τὰς βουλὰς ὁ βασιλεὺς μανθάνει, γράφει αὐτῷ ἐν δολιότητι, "ὅτι βουλῆς εἰμι ἐκφυγεῖν καὶ ἐλθεῖν πρὸς σὲ, ἵνα δι' ἐμοῦ "ὑποτάξῃς πᾶσαν τὴν Βουλγαρίαν· ἀλλὰ πέμψον μοι λόγον ἀπα- "θείας μοι, καὶ τίνας φίλους ἔχεις ἐνταῦθα, ἵνα θαῤῥήσω αὐτοῖς "ἐλθεῖν σὺν ἐμοί·" ὁ δὲ κουφότητι γνώμης καὶ ἀνοίᾳ κρατηθεὶς, ἔγραψε τοὺς καταμηνύοντας αὐτῷ· κακεῖνος μαθὼν, πάντας δεινῷ θανάτῳ παρέδωκεν· ὅπερ ἀκούσας Κωνσταντῖνος τὴν γενειάδα αὐτοῦ ἀπέτιλλεν.

Ἐκστρατεύσας δὲ πάλιν κατὰ Βουλγάρων, καὶ δεινῶς κατὰ τῶν σκελῶν ἀνθρακωθεὶς, καὶ πυρετῷ λάβρῳ καὶ διακαεῖ συσχεθεὶς κατὰ τὴν Ἀρκαδιούπολιν, ὑπέστρεψεν ἐγκλίνιος· καὶ ἐλθὼν ἐν Σηλυμβρίᾳ, καὶ πλωΐσας μέχρι τοῦ στρογγύλου καστελλίου, θνησκούσῃ ψυχῇ καὶ σώματι, βοῶν καὶ λέγων, "ὅτι ζῶν πυρὶ "ἀσβέστῳ παρεδόθην, διὰ τὴν θεοτόκον Μαρίαν, ἀλλὰ ἀπὸ τοῦ "νῦν τιμάσθω, καὶ ἀνυμνείσθω ὡς θεοτόκος ἀληθὴς οὖσα." ταῦτα αὐτοῦ ἐπιβοωμένου, καὶ τὴν θεοτόκον Μαρίαν ἐπικαλουμένου, καὶ πᾶσι παρακελευομένου, καὶ δογματίζοντος, ὡς χρὴ τιμᾶσθαι καὶ προσκυνεῖσθαι κυρίως θεοτόκον τὴν ἀειπάρθενον, δεινῷ καὶ χαλεπῷ τὴν ἀθλίαν αὐτοῦ ψυχὴν ἀπέῤῥηξε μόρῳ. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν Ἀναστάσιος, καὶ δεύτερος μετὰ τοῦτον Κωνσταντῖνος ὁ ἀποκεφαλισθεὶς ἐν τῷ κυνηγίῳ· τρίτος δὲ μετὰ τοῦτον Νικήτας, πάντες αἱρετικοί.

### Λέων ὁ υἱὸς τοῦ Κοπρωνύμου ὁ ἐκ τῆς Χαζάρας.

,ς:τε. Λέων, ὁ ἐκ τῆς Χαζάρας, ὁ υἱὸς αὐτοῦ, ἐβασίλευσεν ἔτη πέντε. οὗτος ἤρξατο ἐφαπλοῦσθαι ἐπὶ τοῖς καταλειφθεῖσιν. ἐξευμενισάμενος τοῖς ἐν τέλει καὶ τῷ λαῷ, εὐσεβὴς εἶναι προσποιησάμενος, καὶ φίλος τῆς θεοτόκου, καὶ τῶν μοναχῶν. προχειρισάμενος καὶ μητροπολίτας τινὰς καὶ μοναχοὺς ἐν θρόνοις τισίν. εἰσελθόντες οὖν οἱ τῶν θεμάτων[66] ἄρχοντες σὺν τῷ πολλῷ πλήθει ἐν τῇ πόλει, ᾐτοῦντο Κωνσταντῖνον τὸν υἱὸν αὐτοῦ βασιλέα.

[66] Cod. θεαμάτων.

ὁ δὲ διὰ τοὺς ἀδελφοὺς αὐτοὺς δεδιὼς ἀντεδήλωσεν αὐτοῖς, "ὅτι ὁ "υἱός μου μονογενής μοι ἐστι, καὶ φοβοῦμαι τοῦτο ποιῆσαι, "μήπως συμβῇ μοι θάνατος, καὶ νηπίου αὐτοῦ ὄντος, θανατώσητε "αὐτὸν, καὶ ἄλλον ἀντ' αὐτοῦ προβάλλονται."

Οἱ δὲ μεθ' ὅρκων φρικτῶν ἐπληροφόρουν αὐτὸν μὴ δέξασθαι ἄλλον βασιλέα, ἐκτὸς αὐτοῦ. ἀπὸ δὲ τῆς Βαϊοφόρου ἕως τῆς μεγάλης πέμπτης τοῦτο ᾐτοῦντο. τῇ δὲ ἁγίᾳ παρασκευῇ ἐκέλευσεν ὀμόσαι αὐτοὺς εἰς τὰ τίμια ξύλα· καὶ ὤμοσαν οἵτε τῶν θεμάτων καὶ τῶν ἔσω ταγμάτων, καὶ τῶν πολιτῶν πάντων, τοῦ μὴ δέξασθαι βασιλέα ἐκτὸς Λέοντος καὶ Κωνσταντίνου, καὶ τοῦ σπέρματος αὐτῶν. καὶ τῷ μεγάλῳ σαββάτῳ προεβάλλετο Εὐδόκιμον ἀδελφὸν αὐτοῦ νουβελίσιμον· καὶ προσῆλθε σὺν δυσὶ Καίσαρσι καὶ τρισὶ νουβελισίμοις, καὶ τῷ νέῳ Κωνσταντίνῳ εἰς τὴν ἐκκλησίαν· καὶ τὰ ἐξ ἔθους ποιήσας σὺν τῷ Πατριάρχῃ καὶ τῷ υἱῷ αὐτοῦ, ἀνῆλθεν εἰς τὸν ἄμβωνα. εἰσελθόντος δὲ παντὸς τοῦ λαοῦ, καὶ ἀποθεμένων τὰ ἔγγραφα αὐτῶν ἐν τῇ ἁγίᾳ τραπέζῃ, εἶπεν ὁ βασιλεύς· "ἰδοὺ ἐκ τῆς Ἐκκλησίας καὶ τῆς χειρὸς τοῦ Χριστοῦ τὸν υἱόν "μου παραλαμβάνετε." οἱ δὲ ἐβόησαν, "Χριστὸς ἐγγύησον ἡμᾶς, "ὅτι ἐκ τῆς χειρός σου παραλαμβάνομεν τὸν Κύριον Κωνσταν"τῖνον εἰς βασιλέα, τοῦ διαφυλάττειν αὐτὸν, καὶ ὑπεραποθνήσκειν "αὐτοῦ, καὶ τοῦ Πατριάρχου, ἐνώπιον παντὸς τοῦ λαοῦ." Καὶ προσῆλθον ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ οἱ δύο βασιλεῖς σὺν δυσὶ Καίσαρσι καὶ τρισὶ νουβελισίμοις.

Τῶν δὲ Ἀράβων ἐξελθόντων, ἀποστείλας ὁ βασιλεὺς τὰ στρατεύματα, ἐποίησε νίκην μεγίστην. ἐν Σοφιαναῖς δὲ ἐλθὼν, καὶ ποιήσας Μαϊουμᾶν, ἐθριάμβευσε τὰ ἐπινίκια. ἐκεῖ γὰρ ἦν ἔθος τοὺς βασιλεῖς δέχεσθαι τὰ λάφυρα. τοῦ δὲ Νικήτα Πατριάρχου, τοῦ ἀπὸ Σκλάβων καὶ εὐνούχων, τεθνηκότος, προχειρίζεται Πατριάρχης Παῦλος ὁ Κύπριος καὶ τίμιος, ὁ λόγῳ καὶ πράξει τετιμημένος.

Κατεμηνύθη δὲ τῷ βασιλεῖ ὡς ὅτι Θεοφάνης ὁ παπείας τοῦ παλατίου, καὶ κουβικουλάριοι τρεῖς σὺν αὐτῷ, σέβονται καὶ προσκυνοῦσι τὰς τιμίας εἰκόνας, καὶ τὴν αὐτοῦ γαμετὴν Εἰρήνην παρέπεισαν ταύτας σέβεσθαι. ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας, καὶ τὴν ἐν αὐτῷ ἐγκεκρυμμένην κακίαν ἀπογυμνώσας, τούτους ἀνηλεῶς

ἔτυψε, καὶ λαθραίως φονεύσας ὁμολογητὰς πεποίηκε· τὴν δέ γυναῖκα αὐτοῦ ἐξουδενώσας ἀπώσατο, μὴ ἐγνωκὼς αὐτὴν ἔτι. ὁ δὲ Ἀαρὼν ὁ τῶν Ἀράβων βασιλεὺς ἐξελθὼν ἐν τοῖς θέμασι, καὶ κάστρα πολλὰ παραλαβὼν, καὶ αἰχμαλωσίαν πολλὴν συναγαγὼν, ὑπέστρεψεν. ὁ δὲ αὐτὸς Λέων λιθομανὴς ὑπάρχων, λίαν ἠράσθη τοῦ στέμματος Μαυρικίου, καὶ λαβὼν, ἐφόρεσεν αὐτὸ, καὶ προῆλθεν. ὑποστραφέντος δὲ ἀπηνθρακώθη δεινῶς ἡ κεφαλὴ αὐτοῦ, καὶ σφοδροτάτῳ πυρετῷ συνεχόμενος καὶ φθειρόμενος, ἐτελεύτησε, τῆς ἱεροσυλίας τὰ ἐπίχειρα κομισάμενος.

## Κωνσταντῖνος ὁ υἱὸς τοῦ ἐκ τῆς Χαζάρας Λέοντος καὶ ἡ μήτηρ αὐτοῦ Εἰρήνη.

[67] Κωνσταντῖνος σὺν τῇ μητρὶ αὐτοῦ Εἰρήνῃ ἐβασίλευσεν ἔτη δέκα, τῆς εὐσεβείας καὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως ἐπ' αὐτῶν ἀναλαμψάσης. μετὰ δὲ τεσσαράκοντα ἡμέρας τοῦ κρατῆσαι αὐτὴν μετὰ τοῦ υἱοῦ αὐτῆς, συμβούλιον ποιήσαντες τινὲς τῶν ἐν τέλει, εὐφήμισαν εἰς βασιλέα Νικηφόρον Καίσαρα τὸν ἀνδράδελφον αὐτῆς· οὓς δήρασα καὶ δημεύσασα ἐξώρισεν ἐν διαφόροις τόποις· τοὺς δὲ ἀνδραδέλφους αὐτῆς Καίσαράς τε καὶ νουβελισίμους ἀποκείρασα, ἱερατεῦσαι καὶ μεταδοῦναι τῷ λαῷ πεποίηκεν ἐν τῇ ἑορτῇ τῆς Χριστοῦ γεννήσεως, ἐν ᾗ καὶ προσελθοῦσα βασιλικῶς δημοσίᾳ σὺν τῷ υἱῷ προσήνεγκε τῇ ἐκκλησίᾳ τὸ ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς ἀρθὲν στέμμα, ἐπικαλλωπισθὲν διὰ μαργαρίτων. ἐν δὲ τῷ μακρῷ τείχει, ἄνθρωπός τις ὀρύττων, εὗρε λάρνακα, καὶ τοῦτον ἀποσκεπάσας, εἶδεν ἄνδρα κείμενον μέγαν νεκρὸν, καὶ γράμματα ἐγκεκολαμμένα τῷ λάρνακι γράφοντα τάδε· "Χριστὸς "μέλλει γεννᾶσθαι ἐκ τῆς παρθένου Μαρίας, καὶ πιστεύω εἰς "αὐτὸν, ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τῶν βασιλέων, πάλιν ὦ "ἥλιε ὄψει με."

Ἀπέστειλε δὲ Εἰρήνη πρὸς Κάρουλον τὸν ῥῆγα τῶν Φράγγων, ὅπως τὴν αὐτοῦ θυγατέρα νυμφεύσηται εἰς τὸν υἱὸν αὐτῆς. ἀλλὰ τούτου διασκεδασθέντος φθόνῳ, ἤγαγε κόρην ἐκ τῶν Ἀρμενιακῶν ὀνόματι Μαρίαν, καὶ ἔζευξεν αὐτὴν Κωνσταντίνῳ τῷ υἱῷ αὐτῆς,

67 Κωνσταντῖνος καὶ Εἰρήνη ,ςτε. ὁ Κωνσταντῖνος μόνος ζ. καὶ μετὰ τὸ ἀποτυφλωθῆναι τοῦτον ἡ μήτηρ αὐτοῦ ἔτη ε, ἤτοι ,ςτιζ.

ἄκοντα καὶ μὴ βουλόμενον διὰ τὴν σχέσιν ἣν εἶχε πρὸς τὴν Καρούλου θυγατέρα. Ἀαρὼν δὲ ὁ τῶν Ἀράβων ἀρχηγὸς κατὰ τῆς πόλεως ἦλθεν ἐν μεγάλῃ[68] δυνάμει, καὶ περιεκάθισεν ἐν Χρυσοπόλει. ὁ δὲ βασιλεὺς πέμψας λαὸν, τὴν λίμνην Βανῆς ἐκράτησε, καὶ εἰρήνην διὰ τοῦτο ὁ Ἄραψ ἐξαιτεῖται. συναρπασθέντες οὖν ἐπὶ τούτου ἄνευ λόγου, πρὸς αὐτὸν ἐξῆλθον Πέτρος μάγιστρος, καὶ Σταυράκιος Λογοθέτης, καὶ ἕτεροι πλεῖστοι τῶν ἐν τέλει, οἵτινες δέσμιοι παρ' αὐτῶν ἐκρατήθησαν. διόπερ ἀναγκασθέντες οἱ τῆς πόλεως, καὶ δῶρα πλεῖστα δόντες, ἀναλαβόμενοι τούτους, εἰρήνην ἐποίησαν καὶ ἀνεχώρησαν οἱ Ἄραβες. Σταυράκιον δὲ Λογοθέτην ἀποστείλασα Εἰρήνη μετὰ δυνάμεως πολλῆς κατὰ τῶν Σκλαβηνῶν ἐθνῶν, ὑπέταξε πάντας καὶ ὑποφόρους ἐποίησε τῇ βασιλείᾳ.

Ἐξῆλθε δὲ καὶ ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ ἐν τῇ Θρᾴκῃ μετ' ὀργάνων μουσικῶν καὶ λαοῦ πλείστου, καὶ ἀπῆλθον ἕως Βεροίας· καὶ ταύτην κτίσασα ἡ μήτηρ αὐτοῦ, Εἰρηνούπολιν ἐπωνόμασε. ἔκτισε δὲ καὶ τὴν Ἀγχίαλον, καὶ ὑπέστρεψε μετ' εὐφροσύνης. ὁ δέ γε Πατριάρχης Παῦλος ἀῤῥωστήσας, καὶ τὴν ἐνθένδε[69] μετάστασιν αὐτοῦ προγνοὺς, τὸν θρόνον καταλιπὼν, ἀπελθὼν ἀπεκείρατο ἐν τῇ μονῇ τῶν Φλώρου. ἀπέρχεται οὖν πρὸς αὐτὸν ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ, βουλόμενος μαθεῖν τῆς ὑποχωρήσεως τὴν αἰτίαν. ὁ δὲ μετὰ πολλῶν δακρύων ἔφη· "εἴθε μηδόλως ἐκάθισα ἐν τῷ θρόνῳ τῆς Ἐκκλησίας, ἀπεσχισμένης ὑπαρχούσης ἐκ τῶν λοιπῶν ἁγίων θρόνων, καὶ ἀναθεματιζομένης." Ταῦτα ἀκούσαντες οἱ βασιλεῖς μετὰ σκυθρωπότητος καὶ κατηφείας ἀνεχώρησαν· καὶ ἀποστέλλουσι πρὸς αὐτὸν πατρικίους ἀκοῦσαι τὰ παρ' αὐτοῦ λεγόμενα. πρὸς οὓς μετὰ παῤῥησίας ἐν τῷ τέλει τῆς διδασκαλίας εἶπεν· "ἐὰν μὴ σύνοδος οἰκουμενικὴ γένηται, καὶ τὸ σφάλμα διορθωθῇ τῆς πίστεως ἡμῶν, οὐκ ἔχετε σωτηρίαν." οἱ δὲ πρὸς αὐτὸν, "καὶ ἱνατί καθυπέγραψας ἐν τῷ χειροτονεῖσθαί σε, τοῦ μὴ προσκυνεῖν τὰς ἁγίας εἰκόνας;" ὁ δὲ ἔφη· "διὰ τοῦτο κἀγὼ θρηνῶ, καὶ πρὸς μετάνοιαν φεύγω, δεόμενος, ἵνα μὴ ὡς ἱερέα κολάσῃ ὁ Θεὸς καὶ ποιμένα, σιγήσαντα μέχρι τοῦ νῦν, καὶ μὴ κηρύξαντα τὴν ἀλήθειαν, τῷ φόβῳ τῆς μανίας ὑμῶν." ταῦτα ἀκούσαντες ἀπῆλθον, ἔχοντες ἐν ἑαυτοῖς πολλὴν συζήτησιν. ἐν τού-

68 Cod. μεγάλει. 69 Cod. ἐνθεόδε.

τοις οὖν τὴν μυσαρὰν διαπτύων αἵρεσιν, καὶ τὸν λόγον τῆς ἀληθείας κηρύσσων, ἐκοιμήθη ἐν εἰρήνῃ, πένθος καταλιπὼν τοῖς τε βασιλεῦσι, καὶ τοῖς εὐσεβέσιν ἀνθρώποις. ἦν γὰρ σεβάσμιος πάνυ, καὶ πάσῃ ἀρετῇ κεκοσμημένος. ἀντ᾽ αὐτοῦ γὰρ κεχειροτόνηται Ταράσιος ὁ ἀπὸ ἀσηκρίτης.

[70] Διὰ οὖν βασιλικῆς παρακλήσεως ἀπό τε Ῥώμης καὶ τῶν λοιπῶν ἁγίων θρόνων καὶ τῶν ὑπὸ τὴν βασιλεύουσαν πόλεων, πάντων ἐπισκόπων ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐπισυναχθέντων, τῇ βουλῇ καὶ παραινέσει Ταρασίου Πατριάρχου, ὡς γενέσθαι σύνοδον εἰς τὸ προσκυνεῖσθαι τὰς ἁγίας εἰκόνας. τὰς περὶ συνόδου δὲ θείας γραφὰς εἰς ἐπήκοον τῷ βασιλεῖ καὶ τοῦ λαοῦ παντὸς ἀναφωνούντων, ἐστασίασαν κατ᾽ αὐτῶν οἱ τοῦ Κοπρωνύμου σχολάριοι, καὶ γυμνώσαντες τὰ ξίφη αὐτῶν τὸν σύλλογον διέλυσαν· οὓς οἱ βασιλεῖς αὐτίκα τῆς πόλεως ὑπεξαγαγόντες ἀόπλους προφάσει εὐωχίας, εἰς τὰ Μαλάγινα πρὸς τὰς ἰδίας χώρας ἀτίμως ἐξήλασαν· τὸν δὲ θεῖον Ταράσιον σὺν τοῖς προῤῥηθεῖσιν ἐπισκόποις ἐν Νικαίᾳ ἀποστέλλουσι· καὶ γενομένης συνόδου, ἀπέλαβεν ἡ Ἐκκλησία τὸν ἀρχαῖον αὐτῆς κόσμον, συνελθόντων [71] πατέρων τὸ δεύτερον ἐν Νικαίᾳ τ̅ν̅, οἳ τὰς εἰκόνας σὺν τῷ στρατῷ διωρίσαντο προσκυνεῖσθαι.

Φθόνῳ δέ τινες φερόμενοι προσφιλῶν Εἰρήνης τῆς βασιλίσσης, βουλόμενοι οὗτοι τὰ πράγματα διοικεῖν, συνέβαλον τὴν μητέρα κατὰ τοῦ υἱοῦ, πείσαντες αὐτὴν "ὡς οὐκ ἔστιν ὡρισμένον παρὰ "Θεῷ τοῦ κρατῆσαι τὸν υἱόν σου, σὴ γὰρ ἐστὶν ἡ βασιλεία." αὕτη δὲ ὡς ἅτε γυνὴ ἐξαπατηθεῖσα, στέργουσα δὲ καὶ τὸ φίλαρχον, ἐβεβαιώθη τῷ νοῒ οὕτως εἶναι, καὶ τῷ υἱῷ οὐδεμίαν ἐξουσίαν ἐνεχείρισεν. ὁ οὖν βασιλεὺς εἰκοσαετὴς ὢν, καὶ ῥωμαλεώτατος πάνυ καὶ ἱκανὸς ἐν τοῖς πολέμοις, ἐλυπεῖτο μηδὲν ἐξουσιάζων, καὶ ἐμελέτησε κατὰ τῆς μητρὸς αὐτοῦ. ἡ δὲ τοῦτο γνοῦσα παρὰ τοῦ Σταυρακίου, τοὺς μὲν οἰκείους αὐτοῦ ἀνθρώπους πάντας τύψασα ἐξώρισε, τὸν δὲ υἱὸν αὐτῆς πολλὰ λοιδορήσασα ἀπρόϊτον ἐποίησε· πάντα δὲ τὸν στρατὸν καὶ πάντας τοὺς ἐν τέλει ὀμόσαι πεποιη-

70 Σύνοδος ζ̅ ἐν Βιθυνίᾳ ὑπὸ τ̅ν̅ πατέρων κατὰ τῶν ἀθέων εἰκονομάχων, καὶ κεντουκλάβων, ἔτει τῆς Κωνσταντίνου καὶ Εἰρήνης μητρὸς βασιλείας ὀγδόῳ.

71 Σύνοδος ἐν Νικαίᾳ ὑπὸ πατέρων τ̅ν̅.

κεν, "ὅτι ἕως οὗ ζῇς, οὐ καταδεξόμεθα τὸν υἱόν σου κρατῆσαι." Ἀρμενιακοὶ δὲ μόνοι τοῦτο οὐ κατεδέξαντο, ἀλλὰ Κωνσταντῖνον καὶ Εἰρήνην ὡς ἐξ ἀρχῆς εὐφήμουν. ἡ δὲ ἀπέστειλεν Ἀλέξιον Δρουγγάριον τῆς βίγλης, ᾧ ἐπίκλην Μωσηλὲ, πρὸς τὸ πεῖσαι αὐτούς. οἱ δὲ τοῦτον κρατήσαντες, αὐτὸν ἄρχειν αὐτῶν προεβάλοντο, τὸν ἴδιον στρατηγὸν φρουρήσαντες, Κωνσταντῖνον μόνον εὐφήμουν. τοῦτο δὲ μαθόντες καὶ οἱ τῶν λοιπῶν θεμάτων λαοὶ, ὁμοίως εὐφήμουν, τοῦ διαβόλου τὴν τοιαύτην ἄρνησιν καὶ ἐπιορκίαν τοῖς ἀνθρώποις ὑποβαλόντος. φοβηθεῖσα δὲ ἡ Εἰρήνη τὸ τοῦ λαοῦ ὅρμημα ἐξαπέστειλε τὸν υἱὸν αὐτῆς πρὸς τὸ στράτευμα. αὐτοὶ δὲ τοῦτον αὐτοκράτορα εὐφημήσαντες, τὴν μητέρα αὐτοῦ ἀποκηρύξαντες. τὸν δὲ Ἀλέξιον ἐκύρωσαν στρατηγὸν τῶν Ἀρμενιακῶν. ὑποστρέψας δὲ ἐν τῇ πόλει, Σταυράκιον καὶ Ἀέτιον πρωτοσπαθαρίους καὶ οἰκείους αὐτῆς ἀνθρώπους ἀνηλεῶς τύψας, ἐξώρισεν, ὡσαύτως καὶ τοὺς λοιποὺς οἰκείους αὐτῆς εὐνούχους· αὐτὴν δὲ μετὰ ἀπαθειῶν ἐκάθισεν ἐν τῷ οἴκῳ τῷ Ἐλευθερίου, ᾧ αὐτὴ ᾠκοδόμησεν, ἐν ᾧ καὶ τὰ πλεῖστα χρήματα κατέκρυψεν [72].

Ἐγένετο δὲ καὶ ἐμπρησμὸς, καὶ ἐκάη ὅ τε τρίκλινος τοῦ πατριαρχείου, ὁ λεγόμενος Θωμαΐτης, καὶ αἱ καμάραι αἱ ὑποκάτω, ἔνθα ἀπέκειντο καὶ τὰ σχέδη πάσης γραφῆς, ἃ ἡρμήνευσεν ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος· καὶ διῆλθεν ἡ φλὸξ ἕως τοῦ μιλίου, καὶ τοῦ κοιαιστωρίου, πανταχόθεν ἐπινεμομένη, ἕως οὗ πάντα κατέκαυσεν. ὁ δὲ βασιλεὺς ἐξῆλθε κατὰ Βουλγάρων, καὶ τούτους ληϊσάμενος καὶ νικήσας, ὑπέστρεψεν. ὡσαύτως καὶ ἐν Ταρσῷ μετὰ στρατοῦ πολλοῦ ἀπῆλθε κατὰ Ἀράβων, καὶ πολλοὺς αἰχμαλωτίσας, ὑπέστρεψε. παρακληθεὶς δὲ ὁ βασιλεὺς ὑπὸ τῆς ἰδίας μητρὸς, καὶ πολλῶν τῶν ἐν τέλει, αὖθις ἀναγορεύει αὐτὴν εὐφημεῖσθαι, ὡς ἐξ ἀρχῆς, Κωνσταντῖνον καὶ Εἰρήνην, τοῖς πᾶσι διεκελεύσατο· καὶ πάντες μὲν πειθαρχοῦσιν, Ἀρμενιακοὶ δὲ μόνοι στασιάζουσι, καὶ ἐπιζητοῦσιν Ἀλέξιον τὸν Μουσηλὲ, ὃν ἐτίμησε πατρίκιον, καὶ μεθ' ἑαυτοῦ εἶχεν ὁ βασιλεύς. τοῦτον οὖν διὰ τὴν τοιαύτην ἐπιζήτησιν καὶ διά τινας λόγους, οὓς ἤκουεν, ὡς μέλλειν βασιλεύειν αὐτὸν, δήρας καὶ κουρεύσας, ἐν εἱρκτῇ ἀπέκλεισε. τῶν δὲ ταγμάτων καὶ θεμάτων ἐν τῇ

72 Κωνσταντῖνος μόνος ἔτη ἑπτά.

πόλει ἐπισυναχθέντων, ἐβούλοντο ποιῆσαι Νικηφόρον τὸν τῶν ἀποκαισάρων εἰς βασιλέα. τοῦτον γνοὺς καὶ ἀποστείλας ἐξήγαγεν ἀμφοτέρους τοὺς υἱοὺς Κωνσταντίνου τοῦ πάππου αὐτοῦ ἐν τῷ ἁγίῳ Μάμαντι· καὶ τὸν μὲν Νικηφόρον δεινῶς ἐτύφλωσε, Χριστοφόρον δὲ καὶ Νικήταν, Ἄνθιμον καὶ Εὐδόκιμον ἐγλωσσοκόπησε· σὺν αὐτοῖς δὲ καὶ Ἀλέξιον τὸν Μουσηλὲ ἐτύφλωσε, πεισθεὶς ταῖς μητρικαῖς εἰσηγήσεσι. τοὺς δὲ Ἀρμενιακοὺς χειρωσάμενος, καὶ πολέμῳ τροπωσάμενος, τοὺς ἄρχοντας αὐτῶν ἐποινάλισεν[73], ἐπιγράψας εἰς τὸ πρόσωπον αὐτῶν μέλανι κεντητῷ, "Ἀρμενιακὸς "ἐπίβουλος," ἐξορίσας αὐτοὺς ἔν τε Σικελίᾳ καὶ ταῖς λοιπαῖς νήσοις.

Μισήσας δὲ ὁ βασιλεὺς τὴν ἑαυτοῦ γυναῖκα Μαρίαν, ὑποβολῇ τῆς ἑαυτοῦ μητρὸς, ἐφιεμένης τῆς ἀρχῆς πρὸς τὸ μισηθῆναι αὐτὸν, ἐξεβιάσατο αὐτὴν τοῦ ἀποκείρασθαι. ἐμνηστεύθη δὲ παρανόμως Θεοδότῃ κουβικουλαρίᾳ, καὶ ἔστεψεν αὐτήν. ἀπέσχισε δὲ τοῦ Πατριαρχείου Πλάτων ὁ τοῦ Σαδουκίονος ἡγούμενος καὶ λοιποὶ, διὰ τὸ κοινωνῆσαι τὸν βασιλέα ἑτέρου γάμου. εἰς οὓς πολλὰς θλίψεις ἐνεδείξατο ὁ βασιλεύς. ἡ δὲ μήτηρ αὐτοῦ ὑπερασπίζετο αὐτῶν ὡς τὸν υἱὸν μισούντων. Κάρδαμος δὲ ὁ κύριος Βουλγαρίας ἔγραψε τῷ βασιλεῖ, "ἢ τέλεσόν μοι πάκτα, ἢ ἔρχομαι ἕως τῆς "χρυσῆς πόρτης." ὁ δὲ βασιλεὺς βαλὼν καβαλίνας ἐν μαντιλίῳ ἔπεμψεν αὐτῷ, εἰπὼν, "οἷα δεῖ σοι πρέπει πάκτα, ἀπέστειλα. "γέρων δὲ εἶ, καὶ οὐ θέλω κοπεθῆναί σε ἕως τῶν ὧδε, ἀλλ' ἐγὼ "ἔρχομαι πρὸς σέ." καὶ λαὸν συναθροίσας καὶ ἐξελθὼν ὁ βασιλεὺς, ἐδίωξεν αὐτὸν ἕως τὰ ἴδια.

Ἡ δὲ μήτηρ αὐτοῦ θωπεύσασα πάντας, καὶ δωρεῶν ὑποσχέσεσιν ἑλκύσασα πρὸς ἑαυτὴν, ἐτήρει ἡμέραν ἐπιτηδείαν πρὸς τὸ μοναρχῆσαι. τοῦ οὖν βασιλέως ἐξελθόντος κατὰ Ἀράβων, τοῦ λαοῦ παρητοιμασμένου ὄντος τοῦτον κρατῆσαι, ἐπί τε τῇ ὑποθέσει τῆς μητρὸς καὶ τῇ παρανομίᾳ τῆς γυναικὸς, δι' ἃ μισητὸς ἐγένετο, πείθουσιν αὐτὸν οἱ μεγιστᾶνες αὐτοῦ ὑποστρέψαι ἐν τῇ πόλει, εἰσηγήσεσι τῆς μητρός. καὶ δὴ παραγενόμενον ἐν τῷ παλατίῳ, τῆς μητρὸς αὐτοῦ μὴ παρούσης, ἀπέκλεισαν αὐτὸν οἱ μεγιστᾶνες καὶ σύμβουλοι τῆς μητρὸς αὐτοῦ ἐν τῇ πορφύρᾳ ἐν ᾗ ἐγεννήθη, καὶ ἐκτυφλοῦσιν αὐτὸν, τῆς μητρὸς αὐτοῦ τοῦτο βουλευσαμένης.

[73] An leg. ἐποινηλάτησεν.

ἐσκοτίσθη δὲ ὁ ἥλιος ἐπὶ ἡμέρας δεκαεπτὰ, ὥστε καὶ τὰ πλοῖα πλανᾶσθαι, καὶ λέγειν πάντας ὅτι διὰ τὴν τοῦ βασιλέως τύφλωσιν ἐσκοτίσθη ὁ ἥλιος. ἀλλ' ὅρα τὰ τοῦ Θεοῦ ἀνεξερεύνητα κρίματα. μετὰ γὰρ τὰ πέντε ἔτη, τῷ αὐτῷ μηνὶ καὶ τῇ αὐτῇ ἡμέρᾳ, ἐν ᾗ ἀπετύφλωσε τοὺς ἰδίους θείους, καὶ Ἀλέξιον τὸν Μουσηλὲ, ἀποτυφλοῦται καὶ αὐτὸς ὁ Κωνσταντῖνος. ἐκράτησε δὲ [69]Εἰρήνη μόνη τὴν βασιλείαν· ἐστασίασαν δὲ οἱ αὐτῆς ἀνδράδελφοι, καὶ ἐξώρισεν αὐτοὺς ἐν Ἀθήναις, οἳ κακεῖθεν βουλευσάμενοι περὶ βασιλείας, ὑπὸ τῶν ἐντοπίων ἀνῃρέθησαν, καὶ ἠφανίσθη τὸ τοῦ μιαροῦ Κωνσταντίνου γένος.

Τῇ δὲ δευτέρᾳ τοῦ ἁγίου Πάσχα ἀπελθοῦσα ἡ βασίλισσα ἐπὶ τῇ κατὰ τύπον γινομένῃ προελεύσει εἰς τοὺς ἁγίους Ἀποστόλους, τῇ δείλῃ προῆλθεν ἐν ὀχήματι χρυσῷ ἐποχουμένη τέσσαρσιν ἵπποις λευκοῖς, κρατουμένοις ὑπὸ πατρικίων, ῥίψασα ὑπατείαν ἐν τῇ μέσῃ πολλήν. νοσησάσης δὲ τῆς βασιλίσσης, ἐδηλώθη αὐτῇ "ὅτι Σταυράκιος στάσιν κατὰ σοῦ μελετᾷ," ἡ δὲ ἐν τῷ Ἰουστινιανοῦ τρικλίνῳ σελέντιον ποιήσασα, ἐξεφώνησε μὴ προέρχεσθαι Σταυρακίῳ τινὶ τῶν ἀρχόντων. Ἀέτιος δὲ ὁ σὺν αὐτῷ παραδυναστεύων, φθονῶν Σταυράκιον, εἰς ἑαυτὸν τὸ κράτος μετεχειρίζετο. τούτων δὲ οὕτως ὄντων Νικηφόρος πατρίκιος καὶ γενικὸς ἐτυράννησε κατ' αὐτῆς μετὰ συμβουλῆς Νικήτα πατρικίου καὶ Σισιννίου τῶν αὐταδέλφων τῶν ἐπιόρκων καὶ δολερῶν Τριφυλλίων, καὶ Λέοντος πατρικίου τοῦ τεσσαρακονταπήχεως, καὶ Γρηγορίου πατρικίου τοῦ Μουσαλακίου, καὶ ἑτέρων τινῶν τῶν ἐν τέλει· οἳ καὶ ἐλθόντες ἐν τῇ χαλκῇ, ὥρᾳ τετάρτῃ τῆς νυκτὸς, ἀπατήσαντες τοὺς φύλακας, ὡς παρὰ τῆς Αὐγούστης ἀπεστάλησαν, εἰσῆλθον ἐν τῷ παλατίῳ, καὶ διὰ τῆς νυκτὸς κατὰ πάσης τῆς πόλεως τὴν ἀναγόρευσιν αὐτοῦ ἐποιήσαντο, τοὺς φύλακας περιστήσαντες ἐν τῷ παλατίῳ τῶν ἐλευθέρων φυλάττειν Εἰρήνην. ὄρθρου δὲ μεταστειλάμενος ἀπέκλεισεν αὐτὴν ἐν τῷ παλατίῳ, καὶ οὕτως προῆλθεν ἐν τῇ ἐκκλησίᾳ ἐπὶ τῷ στεφθῆναι τὸν ἀλιτήριον, Ταρασίου ἔτι τὸν θρόνον κατέχοντος.

69 βασιλεύει Εἰρήνη μόνη, ἔτη ε.

## Νικηφόρος ὁ ἀνδράδελφος Εἰρήνης ὁ ἀπὸ γενικῶν.

[70]Νικηφόρος ὁ ἀνδράδελφος Εἰρήνης ἐβασίλευσεν ἔτη η̅ μῆνας θ̅. οἱ δὲ ὄχλοι ἐπαρῶντο καὶ τὸν στέφοντα καὶ τὸν στεφόμενον. χρηστότητα δὲ ὑποκρινόμενος παρηγόρει τὴν βασίλισσαν, ὡς πᾶσαν αὐτῆς ἀνάπαυσιν ποιήσειεν, εἰ τοὺς θησαυροὺς αὐτῆς καταμηνύσει ἐν αὐτῷ. ἡ δὲ συνετῷ τῷ φρονήματι πρὸς τὸν χθὲς μὲν δοῦλον ἐπίορκον, σήμερον δὲ τύραννον, ἔφη· "ἐγὼ μέν, ὦ ἄνθρωπε, Θεὸν εὐεργέτην ἡγοῦμαι, τὸν ὑψώσαντά με εἰς ταύτην τὴν βασιλείαν, ταῖς δὲ ἐμαῖς ἁμαρτίαις τὴν καθαίρεσιν ἐμαυτῇ προσάπτω. ἐν πᾶσι δὲ τούτοις εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον· οὐ μὴ δὲ ἀγνοῇς τὰς κατὰ σοῦ μηνυθείσας μοι ἐπιβουλάς, αἷς εἰ συναπήχθην, ἀκωλύτως εἶχον τοῦ ἀνελεῖν σε, ἀλλὰ τὸ μὲν τοῖς σοῖς ὅρκοις πειθομένη, τὸ δὲ φειδομένη σου, πάντα παρελογισάμην, τῷ Θεῷ ἀποδοῦσά σε, δι' οὗ βασιλεῖς βασιλεύουσι, καὶ δυνάσται κατεξουσιάζουσι. καὶ τὰ νῦν ὡς εὐσεβῆ σε, καὶ ἐκ Θεοῦ προβληθέντα εἰς βασιλείαν, προσκυνῶ, καὶ αἰτοῦμαι φείσασθαί μου τῆς ἀσθενείας, καὶ συγχωρῆσαί μοι τὸν ὑπ' ἐμοῦ κτισθέντα τὸν Ἐλευθερίου οἶκον, εἰς ψυχαγωγίαν τῆς ἀσυγκρίτου μου συμφορᾶς." ὁ δὲ ἔφη, "καὶ εἰ τοῦτο θέλεις σοι γενέσθαι, ὅμοσόν μοι μὴ ἀποκρύψαι τι τῶν θησαυρῶν, καὶ πᾶσάν σου θεραπείαν ποιῶ." ἡ δὲ ὤμοσεν αὐτῷ, ὑποδείξασα καὶ πλοῦτον πολύν. ὁ δὲ τοῦ ποθουμένου τυχών, παρευθὺ ἐξώρισεν αὐτὴν ἐν τῇ Πριγκήπῳ τῇ νήσῳ, ὃ αὐτὴ ᾠκοδόμησεν εἰς μονήν.

Ἰδὼν δὲ πάντας τοὺς ἐν τέλει λυπουμένους ἐπ' αὐτῇ διὰ τὴν ἀπληστίαν αὐτοῦ, φοβηθείς, καίπερ βαρυτάτου χειμῶνος ὄντος, ἐξώρισε τὴν αὐτὴν τὴν Εἰρήνην ἐν Λέσβῳ τῇ νήσῳ φρουρεῖσθαι. προσελάβετο δὲ Κωνσταντῖνον υἱὸν αὐτῆς, ὃς καὶ ὑπέδειξεν αὐτῷ τὸν ἀνακτισθέντα πλοῦτον ὑπὸ ὀρθομαρμαρώσεως, τὸν νῦν ἐν τῷ σίγματι ὄντα. Νικήταν δὲ τὸν Τριφύλλιον ὁ αὐτὸς Νικηφόρος φαρμάκῳ ἀνεῖλε. Βαρδάνης δὲ ὁ πατρίκιος καὶ στρατηγὸς τῶν ἀνατολικῶν θεμάτων, ὅς γε τοῦτο πολλὰ παρῃτήσατο, διαδράναι

70 Νικηφόρος ὁ ἀνδράδελφος Εἰρήνης τῆς βασιλίσσης, ὁ σφαγεὶς ἐν Βουλγαρίᾳ ις̅ κε.

δὲ μὴ δυνηθεὶς, βίᾳ κατελθὼν ἐν Χρυσοπόλει, εἶτα φοβηθεὶς τὸν Θεὸν, μήπως δι' αὐτοῦ γένηται σφαγὴ Χριστιανῶν, λαβὼν παρὰ Νικηφόρου λόγον ἀπαθείας, νυκτὸς λάθρα τοῦ λαοῦ ἦλθε πρὸς τὴν μονὴν Ἡρακλείου ἐν τῷ Καταβόλῳ, καὶ παρευθὺ γέγονε μοναχός. ἐρχόμενος δὲ διὰ τοῦ σταλέντος βασιλικοῦ χελανδίου ἐν τῇ Πρώτῃ νήσῳ εἰς τὸ μοναστήριον αὐτοῦ, ὃ ἦν αὐτὸς προκατασκευάσας, τυφλοῦται· Λυκαόνων τινῶν τοῦτο κατὰ γνώμην τοῦ βασιλέως ποιησάντων. διὸ καὶ ἐπὶ τῇ τοιαύτῃ ὑποκρίσει, ὡς δῆθεν λύπῃ συσχεθεὶς, πάντας μεθ' ὅρκων ἐπληροφόρει, ἀναίτιον αὐτὸν εἶναι τοῦ τοιούτου δράματος. ἐφ' οὗ ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς ἐξελθὼν παρεγένετο ἐν τῷ Ἀμορίῳ.

Ἐξῆλθε δὲ Νικηφόρος πρὸς τὸ Δορύλεον, δηλώσων τῷ πρωτοσυμβούλῳ ταῦτα. "ἵνα τί ἐπιχαίρετε ταῖς ἀδικίαις καὶ ταῖς "αἱματοχυσίαις, μὴ ἀρκούμενος εἰς τὰ ἴδια, ἀλλὰ παραβαίνεις "ὅρκους[71] ἀρχαίους καὶ πατρώους. ποῖος γάρ σοι προφήτης θεῖος "ταῦτα ποιεῖν ἐδίδαξεν; οὐχὶ Μοχόμετ ὁ προφήτης σου παρ-"ήγγειλε Χριστιανὸν ὡς ἀδελφὸν ἔχειν καὶ λέγειν; μὴ γὰρ ὁ "πάντων δημιουργὸς Θεὸς καὶ προνοητὴς ἀμφοτέρων αἵμασιν "ἀνθρώπων ἀδίκως ἐκχυνόμενον χαίρει; μὴ γένοιτο. ἢ ἀργυρίου "καὶ χρυσίου καὶ λοιπῶν ὑστερούμενος ἐξῆλθες ἀδικῆσαι τοὺς "μηδὲν ἀδικήσαντάς σε; καί τοι γε τὰ κάλλιστα καὶ δυσπό-"ριστα καὶ ἡμῖν ἐπέραστα κατὰ κόρον ἔχεις· αὐτίκα παρέξομεν "φιλοστοργίας τρόπῳ. μὴ τοίνυν ὡς ἀθάνατοι καὶ ἄθεοι κατ' "ἀλλήλων ἀντιστρατευόμεθα, καὶ τὸν ἐκ δαιμόνων κατὰ τῶν "ἀνθρώπων πόλεμον ἐκ φθόνου μιμώμεθα· γινώσκοντες ὅτι μικρὸν "ὕστερον τελευτήσομεν, καὶ πρὸς κριτὴν ἀδέκαστον ἀπελευσό-"μεθα, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ."

Ταῦτα τοῦ βασιλέως Νικηφόρου ἀποστείλαντος μετὰ δώρων τινῶν, ὁ Ἄραψ ἀγαθυνθεὶς καὶ ἀνταποστείλας δῶρα πλεῖστα τὲ καὶ θαυμάστα, μετ' εἰρήνης ἐπέστρεψε, τὴν Νικηφόρου σύνεσιν ὑπερθαυμάσας. τῆς δὲ Εἰρήνης τὴν ἐξορίαν ἐκ λύπης καὶ ἀθυμίας τελευτησάσης ἐν Λέσβῳ τῇ νήσῳ, ἔνθα καὶ ἦν φρουρουμένη, μετεκόμισε τὸ σῶμα αὐτῆς ὁ βασιλεὺς ἐν τῇ μονῇ τῆς Πριγκίπου, ἣν αὐτὴ ᾠκοδόμησε. σφόδρα γὰρ εὐσεβὴς καὶ φιλάρετος

71 ὅρους Cod.

οὖσα, πολλὰ ξενοδοχεῖα καὶ γηρωκομεῖα καὶ μοναστήρια κατεσκεύασε, καὶ φόρων κουφισμοὺς καὶ ἄλλα πλεῖστα κατορθώματα. ὁ δέ γε βασιλεὺς ἔστεψε τὸν υἱὸν αὐτοῦ Σταυράκιον, δυσειδῆ καὶ ἀφελῆ ὄντα. ἀπεβίω δὲ καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Ταράσιος, καὶ χειροτονεῖται ἀντ' αὐτοῦ Νικηφόρος ὁ ἁγιώτατος Πατριάρχης. ὁ δὲ βασιλεὺς κατὰ Βουλγάρων ἐκστρατεύσας, ἥττησεν αὐτοὺς κατὰ κράτος· ὥστε καὶ τὴν λεγομένην αὐλὴν τοῦ ἀρχηγοῦ αὐτῶν Κοίμου πυρπολῆσαι· ἐκείνου δὲ δηλώσαντος παρακλήσεως λόγους, "ἱκανούσθω σοι, ὦ βασιλεῦ, ἕως τούτου," οὐ προσείκατο παντελῶς τῆς εἰρήνης τὰ ῥήματα διὰ πολλὴν ἀπληστίαν· ἐφ' οἷς χαλεπήνας ὁ βάρβαρος, τὰς τῆς χώρας εἰσόδους καὶ ἐξόδους περιέφραξεν ὀχυρώμασι ξυλίνοις, καὶ μεθ' ἡμέρας δύο συναθροίσας λαὸν, καὶ κατὰ τῆς τοῦ βασιλέως σκηνῆς ἀπελθὼν[69], ἀναιρεῖ τοῦτον καὶ πάντας τοὺς σὺν αὐτῷ. τὴν δὲ Νικηφόρου κεφαλὴν ἐκκόψας, καὶ ἐπὶ ξύλου ἀναρτήσας, εἶθ' οὕτως γυμνώσας τὸ ὀστοῦν, καὶ περιαργυρώσας πέριξ, ἐκέλευσε πίνειν εἰς αὐτὴν τοὺς τῶν Βουλγάρων ἄρχοντας, ἐγκαυχώμενος κατ' αὐτοῦ, ὡς ἀπλήστου, καὶ τὴν εἰρήνην μὴ θελήσαντος. ὡς δέ τινες ἔφασαν πολλοὺς Χριστιανοὺς αὐτὸν πεφονευκέναι, διὰ τὴν ἀπληστίαν καὶ φιλαργυρίαν αὐτοῦ· ἐπιτείνεται τούς τε φόρους τῶν ὑπὸ χεῖρα, καὶ τὰς δημοσίας ἀρχὰς ὠνείτω χρυσίου τοῖς βουλομένοις προὔθηκε. κακεῖνος ἄξιος ἦν προβαλέσθαι εἰς ἄρχοντα, ὃς πλειόνως τῶν ἄλλων χρυσὸν κατεβάλετο. καὶ ἃ δὲ φασὶ χαρτιατικὰ οὗτος ἐξεῦρε, καὶ πᾶν πονηρὸν καὶ βαρὺ, ὡς ἔπος εἰπεῖν, αὐτὸς τοῖς Χριστιανοῖς ἐπενόησεν.

## ΣΤΑΥΡΑΚΙΟΣ Ὁ ΥἹΟΣ ΝΙΚΗΦΟΡΟΥ.

,στζ. Σταυράκιος ὁ υἱὸς Νικηφόρου ἐβασίλευσεν ἔτος ἓν, μῆνας δύο. οὗτος ἐν τῷ κατὰ Βουλγάρων πολέμῳ ἐπλήγη κατὰ τοῦ δεξιοῦ μηροῦ, καὶ φορίῳ τὴν πόλιν κατέλαβεν. ὃς διὰ τὴν πληγὴν ἐν τῷ παλατίῳ κείμενος ἀπρόϊτος ἦν. ἐβουλεύετο δὲ Μιχαὴλ τὸν γαμβρὸν αὐτοῦ καὶ Κουροπαλάτην ἐκτυφλῶσαι, καὶ τῇ γαμετῇ τὴν βασιλείαν καταλιπεῖν. ἐντεῦθεν Μιχαὴλ τοῦτο γνοὺς, ὁ γαμβρὸς αὐτοῦ, ἐξαίφνης ἀναγορεύεται βασιλεὺς ἐν τῷ ἱππικῷ παρὰ τῆς

[69] Leg. ἐπελθών.

συγκλήτου καὶ τῶν ταγμάτων, ὡς ἤδη ἀπεγνωσμένου τοῦ Σταυρακίου. ὅπερ μαθὼν Σταυράκιος, καὶ τοῦ παλατίου ἐξελθὼν, καὶ τὸ μοναδικὸν αὐτίκα σχῆμα σὺν τῇ γυναικὶ αὐτοῦ Θεοφανὼ περιθέμενος, εἰς Σταυρακὰ λεγόμενον μοναστήριον ἐτελεύτησε. καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ Σταύρου[70]· τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν ἔτι ὁ ἁγιώτατος Νικηφόρος.

### Μιχαὴλ ὁ Κουροπαλάτας ὁ γαμβρὸς Σταυρακίου.

ϛτκθ. Μιχαὴλ ὁ εὐσεβέστατος ἐβασίλευσεν ἔτη β´· στεφθεὶς ὑπὸ Νικηφόρου Πατριάρχου· δοὺς τῷ Πατριάρχῃ χρυσίου λίτρας ν´, καὶ τῷ κλήρῳ λίτρας εἰκοσιπέντε. ἀφιλάργυρος γὰρ ἦν, καὶ μεγαλόψυχος· παραμυθησάμενος καὶ τοὺς ἐκ τῆς Νικηφόρου πλεονεξίας ἠδικημένους. ἔστεψε δὲ καὶ Προκοπίαν τὴν γυναῖκα αὐτοῦ· πολλαῖς δωρεαῖς τὴν σύγκλητον φιλοτιμησάμενος· καὶ Θεοφύλακτον τὸν υἱὸν αὐτοῦ ὁμοίως ἔστεψεν ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας· πάμπολλα προσενέγκας ἱερὰ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. οὗτος γὰρ ὁ Μιχαὴλ πατὴρ ἦν Ἰγνατίου Πατριάρχου. ἐπωνομάζετο δὲ Ῥαγαβέ. Κροῦμος δὲ ὁ τῶν Βουλγάρων ἀρχηγὸς ἔγραψε περὶ εἰρήνης, ἐπιζητῶν καὶ πολλὰ πάκτα. ὁ δὲ κακῶν συμβουλίαις πεισθεὶς οὐ προσείκατο εἰρήνην. οὗτος εἰς πάντα μὲν χρηστὸς ἦν καὶ ἐπιεικής· εἰς δὲ τὴν τῶν πραγμάτων διοίκησιν παντελῶς ἀκυβέρνητος ὑπῆρχε, καὶ δεδουλωμένος ματαίων ἀνθρώπων βουλαῖς καὶ ἀπειροπολέμων· ὅθεν ἐκστρατεύσαντος αὐτοῦ κατὰ Βουλγάρων, καὶ μετὰ μεγάλης ἥττης ὑποστρέψαντος, ἀναγορεύεται Λέων ὁ πατρίκιος καὶ στρατηγὸς τῶν ἀνατολικῶν ὑπὸ τοῦ λαοῦ καὶ τῶν ἀρχόντων ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου. καὶ δὴ τοῦτο Μιχαὴλ ἀκούσας, καὶ τὸ μοναδικὸν σχῆμα σὺν γυναικὶ καὶ τέκνοις ἀμφιεσάμενος, εἰς τὸ πλησίον τῆς πόλεως νησίον τὴν Πλάτην περιορίζεται· ἐν ᾧ καὶ ἐτελεύτησε· τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν ἔτι ὁ ἁγιώτατος Νικηφόρος.

### [71] Λέων ὁ Ἀρμένιος ὁ καὶ Παραβάτης.

Λέων ὁ Ἀρμένης καὶ, &c . . . . .

[70] σατύρου Cod. [71] Quæ sequuntur exstant apud Leonem Grammaticum, continuatorem Theophanis.

Scholia ad marg. Ej. Cod. 854. fol. 339. v. et seqq.

Ὀλυμπιάς ἐστι παρ' Ἕλλησι τετραετηρικὸς χρόνος, οὗ κατὰ τὴν συμπλήρωσιν ἀρχομένου τοῦ ἔτους Ὀλυμπιακὸς ἀγὼν ἤγετο. φασὶ δέ τινες καὶ[72] μὲν ἀπὸ τῆς ὑπὸ Ἡρακλέους τοῦ Ἀλκμήνης οὗ[73] ἀγωνοθέσεως τὸ πρῶτον ἦχθαι τὸ τῆς Ὀλυμπιακῆς ἀθλήσεως εἶδος. ἄλλοι δὲ ὑπὸ Ἀεθλίου τεθῆναι τὸν ἀγῶνα, κἀντεῦθεν ἀθλητὰς ὀνομάζεσθαι τοὺς ἀγωνιστάς. Παρ' Αἰγυπτίοις Ὀλυμπιὰς λέγεται, διότι ἡ σελήνη παρ' αὐτοῖς κυρίως Ὀλυμπιὰς καλεῖται διὰ τοῦτο, κατὰ μῆνα περιπολῶν τὸν ζωδιακὸν κύκλον, ὃν οἱ παλαιοὶ αὐτῶν Ὄλυμπον ἐκάλουν. αὕτη γὰρ ἀπὸ καρκίνου, τοῦ ἰδίου οἴκου, ὡς ἀπὸ κάστρου προερχομένη τὰ ιβ καταςπάζεται ζῶα διὰ νυχθημέρων κθι καὶ λεπτοῖς λπν. τῷ δὲ ἐνιαυτῷ ὅλῳ δωδεκάκις αὐτὸν περιπολοῦσα πληροῖ νυχθήμερα τνδ, καὶ ὥρας η καὶ λεπτὰ μ.

Ὁ δὲ ἥλιος ἐν νυχθημέροις τξεδ περιπολεῖ τὸν αὐτὸν Ὄλυμπον, ὡς λείπεσθαι τὸν σεληνιακὸν ἐνιαυτὸν τοῦ ἡλιακοῦ νυχθήμερα δέκα, ὥρας κα, λεπτὰ ε. πληροῖ οὖν ὁ ἥλιος ἐν Ὀλυμπιάδι μιᾷ τετραετηρικῇ ἡμέρας ͵αυξα· ἡ δὲ σελήνη νυχθήμερα ͵αυιζ, ὥρας ιζ, λεπτὰ κε, σελήνιον αι. ἐν δὲ Ὀλυμπιάσι δύο γίνονται σελήνια ϛθ, νυχθήμερα δὲ ͵βλκβ, ἃ καὶ ὁ ἥλιος ἐν τῷ ὀκταέτει[74]. τοιαύτη καὶ ἡ τῶν Αἰγυπτίων δόξα περὶ Ὀλυμπιάδων.

F. 340. r. Ὁ Σαλμανασὰρ τὰς δέκα φυλὰς τοῦ Ἰσραὴλ ἠχμαλώτισεν· καὶ αὕτη πρώτη τοῦ Ἰσραὴλ αἰχμαλωσία πέφυκεν εἰς Ἀσσυρίους, ἥτις γέγονεν ἀρχομένῳ ἔτει ϛ Ἐζεκίου, κοσμικῷ δὲ ἔτει ͵δψο.

F. 340. v. Ἀριθμοῦνται τὰ ο ἔτη τῆς αἰχμαλωσίας ἀπὸ τοῦ δ ἔτους Ἰωακεὶμ, ἔτη ὀκτώ. τῶν δύο Ἰεχονίων ἔτος α. Σεδεκίου ἔτη ια. Ναβουχοδονόσορ ἀπὸ τοῦ ιθ ἔτους τῆς βασιλείας αὐτοῦ, τὰ λοιπὰ ἔτη κδ. Εὐϊλὰδ Μαροδὰχ ἔτη ε. Ῥινιγλισάρου, τοῦ καὶ Βαλτάσαρ ἔτη γ. Δαρείου Ἀστυάγους ἀπὸ κα τῆς βασιλείας αὐτοῦ, τὰ λοιπὰ ἔτη ιζ. Κύρου ἔτος α. ὁμοῦ ο.

Ὅτι Ναβουχοδονόσορ μγ τὰ ὅλα ἔτη ἐβασίλευσε τῶν Χαλδαίων. ἀπὸ δὲ τοῦ ιθ ἔτους αὐτοῦ ἐβασίλευσε καὶ τῶν Ἰουδαίων,

72 Sic. 73 Sic. 74 ὀκτ` ἔτει Cod.

τὰ λοιπὰ ἔτη κδ. τοῦτον φασὶ τὸν Ἰωακεὶμ ἄνδρα εἶναι Σωσάννης· τὴν δὲ Σωσάνναν θυγατέρα Λεληοῦ τοῦ ἱερέως.

Οὗτος ὅρος ἀκριβὴς τῶν ō τῆς αἰχμαλωσίας ἐτῶν ἀνατρέχουσιν ἡμῖν ἀπὸ τοῦ α΄ ἔτους Κύρου· καὶ αὐτὸν ἐπὶ τὸ δ ἔτος Ἰωακεὶμ τὸ ō ἔτος εὑρίσκομεν ἀρχόμενοι οὕτως. Κῦρος ἔτος ᾱ. Δαρεῖος Ἀστυάγους ἔτη ιζ. Ῥινιγλισάρου, τοῦ καὶ Βαλτάσαρ, ἔτη γ. Εὐϊλὰδ ἔτη ε̄. Ναβουχοδονόσορ ἔτη κδ. Σεδεκίου ἔτη ια. τῶν δύο Ἰεχονίων ἔτος ᾱ. Ἰωακεὶμ ἔτη η̄. ὁμοῦ γίνονται ἔτη ō, ἀπὸ τοῦ ἔτους Ἰωακεὶμ ἕως τοῦ ᾱ ἔτους Κύρου. Σεδεκίου ἔτη ια.

Ὅτι ἡ Λυδῶν βασιλεία ἀρξαμένη τῷ ,δϡλε ἔτει τοῦ κόσμου, κατελύθη τῷ ,δϡξς, ἤτοι Κύρου τοῦ Περσῶν ἔτει ιδ· διαρκέσασα ἔτεσι σλβ. Κροῖσος γὰρ κατὰ Κύρου στρατεύσας, ἥλω σὺν τῇ Λυδῶν βασιλείᾳ. οὗτος ἔνατος βασιλεὺς Λυδῶν γεγονὼς, ἐβασίλευσεν ἔτη ιε, ἕως τοῦ τεσσαρεσκαιδεκάτου ἔτους Κύρου.

Ἰστέον ὅτι Πέρσαι πρῶτοι ἐβασίλευσαν, εἶτα οὕτως Μακεδόνες, εἶτα Ῥωμαῖοι. πρὸ δὲ τῶν Περσῶν, ἀρχαιότεροι καὶ πρῶτοι βασιλεῖς Βαβυλώνιοι.

## Καμβύσης ὁ καὶ Ἀρταξέρξης ὁ υἱὸς Κύρου.

Ὅτι ἐκ τῶν ἐν τῇ θείᾳ γραφῇ μνημονευομένων ὀνομάτων φαίνονται τρεῖς ἀρχαὶ πρὸ τῆς Κύρου βασιλείας μετὰ Σαρδανάπαλον. ἕως γὰρ τούτου ὁ λόγος κρατεῖ Ἀσυρίους ἄρχειν τῶν δύο λοιπῶν, λέγω δὴ Μήδων καὶ Χαλδαίων. μετὰ δὲ Σαρδανάπαλον, ποτὲ μὲν Μήδους ἄρχειν καὶ Ἀσυρίων, ποτὲ Χαλδαίων.

Ἀλέξανδρος ὁ Φιλίππου καὶ Ὀλυμπιάδος παῖς κδος ἐβασίλευσε Μακεδόνων ἔτη δυώδεκα· τοῦ δὲ κόσμου ἦν ἔτος ,ερν. καὶ τότε πρὸ αὐτοῦ κγ παρῆλθον Μακεδόνων βασιλεῖς.

Ὅτι Ἀλέξανδρος τὴν Σαμάρειαν πόλιν ἑλὼν, Μακεδόνας αὐτοῦ κατῴκισεν. Ἑλλήνων βασιλείας ἔτος ᾱ ἀπὸ τοῦ ἔτους Ἀλεξάνδρου ἀριθμοῦσιν Ἕλληνες, καὶ Μακεδόνες οἱ αὐτοί. ἀπὸ δὲ Κύρου Περσῶν βασιλέως ἕως Δαρείου τοῦ ἀναιρεθέντος ὑπὸ Ἀλεξάνδρου ἔτη σλ.

Οὗτος ὁ Φίλιππος Ἀριδαῖος ὀνομάζεται, ἐπεκλήθη δὲ Φίλιππος· ἦν δὲ ἀδελφὸς Ἀλεξάνδρου πρὸς πατρὸς, μητρὸς Φιλίνης Θετταλῆς.

Ὅτι Πτολεμαῖος τοῦ Λάγου κεραυνῷ τεθνεῶτος ἐν τῇ κατὰ Γαλατῶν μάχῃ, Πτολεμαῖος, ὁ Φιλαδέλφου παῖς ὢν, τὴν ἀρχὴν τῆς Αἰγύπτου κληροῦται· ἀνὴρ τὰ πάντα σοφὸς καὶ φιλοπονώτατος, ὃς πάντων Ἑλλήνων τε καὶ Χαλδαίων Αἰγυπτίων τε καὶ Ῥωμαίων τὰς βίβλους συλλεξάμενος, καὶ μεταφράσας ἀλλογλώσσως εἰς τὴν Ἑλλάδα γλῶσσαν, μυριάδας βίβλων δέκα ἀπέθετο κατὰ τὴν Ἀλεξάνδρειαν, ἐν ταῖς ὑπ' αὐτοῦ συστάσαις βιβλιοθήκαις. οὗτος τὸν Φάρον Ἀλεξανδρείας μεγαλοπρεπῶς ἀνέστησεν. ὁ αὐτὸς τοὺς κατ' Αἴγυπτον αἰχμαλώτους Ἰουδαίους μυριάδας δώδεκα ἐξωνησάμενος, ρκ δραχμῶν ὑπὲρ ἑκάστου δοθεισῶν, ὡς εἶναι τὰ ὑπὲρ αὐτῶν λύτρα τάλαντα υξ, ἐλευθέρους ἀνῆκεν, πόθῳ τῆς μεταφράσεως τῶν παρ' αὐτοῖς θείων εἰς τὴν Ἑλλάδα γλῶσσαν.

Ὅτι μετὰ τὴν ὑπὸ Ἀλεξάνδρου καθαίρεσιν Περσῶν, ἔτους ζ τῆς αὐτοῦ βασιλείας, ἤτοι πρώτου τῆς Ἑλλήνων βασιλείας ἔτους. Ἕλληνας γὰρ καὶ Μακεδόνας κατὰ τὴν τῶν Μακκαβαίων γραφὴν τοὺς αὐτοὺς μεμαθήκαμεν. ἡ κατὰ τὴν Μακεδονίαν μετὰ θάνατον Ἀλεξάνδρου διαιρεθεῖσα ἀρχὴ εἰς ἀρχὰς, τήν τε κατ' Αἴγυπτον τῶν Πτολεμαίων, καὶ Ἀντιόχειαν τῶν Ἀντιόχων, καὶ τὰς λοιπὰς, ὡς ἐκεῖ δεδήλωται, καὶ αὐτὴν τὴν Μακεδονίαν, ὑποχείριον ἔσχε τὸ τῶν Ἰουδαίων ἔθνος. ποτὲ μὲν ὑπὸ τοὺς Πτολεμαίους, ποτὲ δὲ ὑπὸ τοὺς Ἀντιόχους, μέσον ἐχουσῶν τῶν δύο τούτων ἀρχῶν τὴν κατοίκησιν τῆς ὑπὸ Θεοῦ κεκληροδοτουμένης χώρας, εἰρήνην τε ἀπέλαυον ὡς τὰ πολλὰ ἐπὶ ἔτη ρλζ, ἕως Ἀντιόχου τοῦ Ἐπιφανοῦς, διεπώμενοι ὑπὸ τῶν ἀρχιερέων ἀντὶ βασιλέως. ἐβασίλευσεν οὖν πρῶτος μετὰ Ἀλέξανδρον Ἀλξανδρείας Αἰγύπτου Πτολεμαῖος ὁ Λάγου ἔτη μ. τοῦ δὲ κόσμου ἦν ἔτος ,εροα. δεύτερος Πτολεμαῖος ὁ Φιλάδελφος, ἔτη λη, υἱὸς αὐτοῦ, ὃς καὶ τὰς Ἑβραϊκὰς μετέφραζε βίβλους. τρίτος Ἀλεξανδρείας καὶ Αἰγύπτου ἐβασίλευσε Πτολεμαῖος ὁ Εὐεργέτης, ἔτη κδ. τρίτον ἐβασίλευσε Πτολεμαῖος ὁ Φιλοπάτωρ, ἔτη ιζ, Αἰγύπτου καὶ Ἀλεξανδρείας ἐβασίλευσε Πτολεμαῖος ὁ Ἐπιφανὴς ἔτη κδ. Ἀντίοχος ὁ μέγας Πτολεμαίῳ τῷ Ἐπιφανεῖ φιλιωθεὶς Κλεοπάτραν ἔγημε θυγατέρα αὐτοῦ καὶ λοφερν[74] Συρίαν, Φοινίκην, Σαμάρειάν τε καὶ Ἰουδαίαν ἔλαβε

[74] Sic.

παρ' αὐτοῦ. Πτολεμαίου δὲ τοῦ Ἐπιφανοῦς ἀποθανόντος, οἱ παῖδες αὐτοῦ Πτολεμαῖοι τὴν ἀρχὴν μετ' αὐτὸν διεδέξαντο. ὧν ὁ πρεσβύτερος Φιλομήτωρ ἐπεκέκλητο, ὁ δὲ νεώτερος Εὐεργέτης. ὁ δὲ χρόνος τῶν ἑκατέρων ἀδελφῶν λε καὶ κθ, ἤγουν ἔτη ξδ. ἐβασίλευσεν οὖν Αἰγύπτου καὶ Ἀλεξανδρείας ἕκτος μὲν Πτολεμαῖος ἔτος ͵ετιδ, ὁ Φιλομήτωρ· ἔτος ἕβδομον δὲ Πτολεμαῖος ὁ Εὐεργέτης· ὄγδοος Πτολεμαῖος ὁ Φούσκων, ὃς οὕτως ἐπεκλήθη διὰ τὸν ὄγκον τοῦ σώματος· οὗτος καὶ Σωτὴρ ἐκαλεῖτο, υἱὸς δὲ ἦν τοῦ Εὐεργέτου Πτολεμαίου. ἐβασίλευσεν οὖν Πτολεμαῖος ὁ Φούσκων ἔτη ιη, ἔτος δὲ κόσμου ͵ετοζ.

Εἰπόντες οὖν τοὺς μετὰ Ἀλέξανδρον Αἰγύπτου βασιλεῖς, ἔτη μέχρι τούτου τοῦ Φούσκωνος, εἴπωμεν καὶ τοὺς μετὰ Ἀλέξανδρον πάλιν βασιλεύσαντας τῆς Συρίας βασιλεῖς, ἵν' ὁδῷ κατέλθωμεν ἐπὶ τὸν Ἀντίοχον τὸν Ἐπιφανῆ, τὸν καὶ τὴν Ἱερουσαλὴμ ἐκπορθήσαντα, καὶ τοὺς ἁγίους τιμωρήσαντα· καὶ δείξωμεν ἐπὶ ποίου βασιλέως Αἰγύπτου Ἀλεξάνδρου βασιλεύοντος, ὁ τῆς Συρίας βασιλεὺς Ἀντίοχος τὰ κατὰ τῆς Ἱερουσαλὴμ τετόλμηκεν. ἐβασίλευσεν οὖν πρῶτον Συρίας καὶ Βαβυλωνίας, ἤτοι Συρίας καὶ Ἀσίας, μετὰ Ἀλέξανδρον, Σέλευκος Νικάτωρ ἔτη λγ· τοῦ δὲ Κόσμου ἔτος ͵εροα. ἰστέον δὲ ὅτι μετὰ Ἀλέξανδρον πρῶτος τῆς Ἀσίας Ἀντίγονος ἐβασίλευσε, ὅστις καὶ πρὸς τῷ Ὀρόντῃ ποταμῷ Ἀντιγονίαν ἔκτισε, ἣν Σέλευκος ἐπικτίσας Ἀντιόχειαν ὠνόμασε· ἀλλὰ διὰ τὸ μόνης Ἀσίας βασιλεῦσαι ἐπὶ χρόνους κη, συναριθμουμένων καὶ τῶν χρόνων Δημητρίου υἱοῦ αὐτοῦ τοῦ πολιορκοῦντος, καὶ Πτολεμαίου τοῦ Λάγου μετ' αὐτὸν κρατήσαντος, εἶτα ὑπὸ Σέλευκα πεσών, τὴν τῆς Ἀσίας ἀρχήν, ὃς[72] Συρίας μόνον καὶ Βαβυλῶνος, ἀλλὰ καὶ τῶν ἄνω τόπων ἐκράτει εἰκότως. ἐκ τούτου δὴ τοῦ Σελεύκου καὶ τῶν πλεόνων ἄρατος[73] καὶ τῆς Ἀσίας κραταιότατος ἀρχόμεθα τῆς βασιλέων ἀπαριθμήσεως. ἐβασίλευσεν οὖν πρῶτος οὗτος ὁ Νικάτωρ Σέλευκος Συρίας καὶ Βαβυλωνίας, ἤτοι Συρίας καὶ Ἀσίας, ἔτη λγ. δεύτερος ἐβασίλευσεν Ἀντίοχος ὁ Σωτὴρ ἔτη ιθ. τρίτος υἱὸς αὐτοῦ Ἀντίοχος, ὁ Θεὸς ἐπικληθείς, ἐβασίλευσε Συρίας ἔτη ιε. Συρίας καὶ Ἀσίας τέταρτος ἐβασίλευσεν

72 Suppl. οὐ. 73 Sic.

Ἀντίοχος υἱὸς αὐτοῦ, ὁ ἐπικληθεὶς Καλλίνικος, ὁ αὐτὸς καὶ Σέλευκος ἔτη κδ̄. Συρίας ἐβασίλευσε Σέλευκος, ὁ καὶ Ἀλέξανδρος, Σελεύκου τοῦ Καλλινίκου, ὁ Κεραυνὸς ἐπικληθεὶς, ἔτη ς̄. Συρίας ἕκτος ἐβασίλευσεν Ἀντίοχος, ὁ ἐπικληθεὶς Μέγας, λς̄. οὗτος ὁ Μέγας Ἀντίοχος Ῥωμαίων πολεμεῖν ἤρξατο, Ἀνίβου κατὰ τὰς Σπανίας καὶ τὴν Καρχηδόνα στρατηγοῦντος, καὶ ὑπὸ Ῥωμαίων καταπολεμουμένου, καὶ πολεμοῦντος. Συρίας ἕβδομος ἐβασίλευσε τρίτος, ὁ υἱὸς[74] ἔτη ιβ̄. Συρίας ὄγδοος ἐβασίλευσεν Ἀντίοχος Ἐπιφανὴς, ἔτη ιᾱ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετι̅. Ἀντίοχος ὁ Ἐπιφανὴς Συρίας βασιλεὺς, πρῶτον μὲν τῷ Πτολεμαίῳ τῷ Φιλομήτορι ἐπιτίθεται κατὰ τὴν Αἴγυπτον, καὶ διωχθεὶς ὑπὸ τῶν Ἀλεξάνδρεων καὶ Ῥωμαίων τὴν Ἱερουσαλὴμ ἐκπορθεῖ, καὶ τὸν ναὸν βεβηλοῖ βδέλυγμα ἀναστηλώσας, κατὰ τὴν προφητείαν Δανιὴλ τοῦ μεγάλου, τά τε ἱερὰ σκεύη ἀφαιρεῖται, καὶ ἑλληνίζειν ἀναγκάζει τοὺς Ἰουδαίους. ἐφ' οἷς Ματθίας ὁ ἱερεὺς ζηλώσας σὺν τοῖς υἱοῖς Ἰούδα καὶ Ἰωνάθαν τοῖς Μακκαβαίοις, Σίμωνί τε καὶ Ἰωάννῃ, κατηγωνίσατο τοῦ τυράννου, τοῖς αὐτοῦ στρατηγοῖς ἐπιθέμενος, καὶ καταπολεμήσας αὐτοὺς τῇ τῶν οἰκείων παίδων ἀντιμαχίᾳ, τῶν καὶ διὰ τοῦτο Μακκαβαίων κληθέντων, [ἐφ' οἷς] καὶ οἱ ἑπτὰ νέοι σφόδρα γενναίως σὺν τῇ μητρὶ καὶ τῷ διδασκάλῳ Ἐλεαζάρῳ πολλῶν καὶ πικρῶν βασάνων καταφρονήσαντες νομίμως θανάτῳ μαρτυρικῷ τελειωθέντες. ὁ δὲ Ἐπιφανὴς Ἀντίοχος οὗτος υἱὸς ἦν τοῦ μεγάλου Ἀντιόχου. Συρίας ἔννατος βασιλεὺς ἔτος ᾱ μῆνας ς̄. Συρίας δέκατος ἐβασίλευσε Δημήτριος ὁ υἱὸς Σελεύκου ἔτη ιβ̄ ὁ ἐπικληθεὶς Σωτήρ.

Ὅτι τῷ θ̄ ἔτει τῆς Κλεοπάτρας ἀρχομένῳ βασιλεύει Αὔγουστος, καὶ βασιλεύει τὴν Κλεοπάτραν ἔτη ιᾱ. τῷ γὰρ ιδ̄ ἔτει αὐτὴν Κλεοπάτραν ἀνελὼν, καθεῖλε τὴν τῶν Πτολεμαίων ἀρχὴν, καὶ γίνεται ὑπὸ Ῥωμαίους ἡ Αἴγυπτος, κρατήσασα ἔτη σ̄ι̅δ̄. ἀρξαμένη μὲν ἐκ τῆς τοῦ Πτολεμαίου τοῦ Λάγου, λήξασα δὲ τῷ ιδ̄ ἔτει αὐτῆς, ἔτει τῆς ρπζ Ὀλυμπιάδος. ἐνταῦθα καὶ ὁ προφητευόμενος παρὰ τοῦ Δανιὴλ Χριστὸς ἡγούμενος τέλος λαμβάνει. μέχρι γὰρ Ἡρώδου χριστοὶ ἡγούμενοι· οὗτοι δὲ ἦσαν

74 Cod. ·τ̄·

ἀρχιερεῖς, ἀρξάμενοι ἀπὸ τῆς κατὰ τὸν Δαρεῖον ἀναθέσεως ἀπὸ ἔτους αὐτῆς γ, λήξαντες δὲ ἐπὶ τὸν Ὑρκανὸν, γίνονται ἔτη υπγ, ὁπόσα καὶ ἡ τοῦ Δανιὴλ προφητεία θεσπίζει. πληροῦνται γὰρ τὰ ἔτη ζ. ἔτος αὐτῆς σιλε΄, Ἡρώδου ἔτη λζ, [τῷ γὰρ λζ,] τῷ γὰρ μβ ἔτει ἀρχομένῳ αὐτοῖς κη τῆς καταλύσεως, Ἀντωνίου καὶ Κλεοπάτρας ἔτει λε ἀρχομένῳ, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν ἀνθρώποις γίνεται, σαρκωθεὶς ἐκ παρθένου, μηνὶ Δεκεμβρίῳ κε, ἡμέρᾳ α, ὥρᾳ α, ἔτος γ τῆς ρξδ Ὀλυμπιάδος

ἔτους ἐνεστῶτος ͵εφζ, κατὰ τὰς ἀκριβεστάτας ἀναγραφὰς, ἔτος δὲ τοῦ Χριστοῦ τῶν τελειωσάντων Ἡρώδου τελευτὴν βασιλ

ὁ υἱὸς αὐτοῦ ἔτη ι κατὰ τὸν Ἰώσηπον, καὶ αὐτὸ μ ἔτει αὐτοῦ, καὶ ἄρχει Ἡρώδης ὁ ἀδελφὸς αὐτοῦ ἔτη κε. ἐτελεύτησε δὲ οὗτος σὺν τῷ Τιβερίῳ      ὁ Κύριος ἡμῶν τριακονταετὴς ὢν βαπτίζεται ὑπὸ Ἰωάννου. τῷ δὲ ιη ἔτει τοῦ αὐτοῦ Τιβερίου, ὁ Κύριος ἡμῶν ἐπὶ τὸ πάθος      Ὀλυμπιάδα. ἀπὸ δὲ Ἀδὰμ ἔτος παρῆν ͵εφλθ, ἡμέρα ϛ, ἐν ᾧ ἐτελέσθη τὸ νομικὸν Πάσχα, ἡμέρᾳ ζ ἀνέστη ὁ Χριστὸς      μ α. Γάϊος δὲ Ἀγρίππας τῶν δεσμῶν λύσας βασιλεύει τῶν Ἰουδαίων κθ παρίη, καὶ ἄρχει ἔτη ζ καὶ τελευτᾷ γ.      Ἀγρίππας υἱὸς εἰς ἔτη κϛ. τῷ ιγ ἔτει Νέρωνος Πέτρος καὶ Παῦλος οἱ Ἀπόστολοι διὰ Χριστὸν ἐτελειώθησαν.

Cod. 1630. form. in 4°. min. Chart. sæc. XIV. nitide scriptus hæc hab. fol°. 234.

Ἀπὸ τῆς ἐκθέσεως Ἰωάννου Ἀντιοχέως[75] τῆς περὶ χρόνων καὶ κτίσεως κόσμου πονηθείσης, ὥς φησιν, ἀπὸ βίβλων Μωσέως, Ἀφρικανοῦ, Εὐσεβίου, Παππίου, καὶ Διδύμου, καὶ ἑτέρων.

Πρῶτος ἐκ γῆς ἄνθρωπος πλασθεὶς ὁ Ἀδὰμ ἀπὸ Θεοῦ εἶχε μέτρον ἡλικίας ποδῶν ϛ μετὰ τῆς αὐτοῦ κεφαλῆς κ. τ. λ.

Ἐν τοῖς χρόνοις τούτοις σφαῖραν πυρὸς ἔπεμψεν ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ, κατὰ τῶν ὄντων ἐν τῇ Κελτικῇ χώρᾳ γιγάντων, καὶ ἔκαυσεν αὐτὴν, καὶ αὐτούς· καὶ εἰς τὸν Ἰορδάνην ποταμὸν ἐνεχθεῖσα ἡ

75 Hic est Joannes Malala.

σφαῖρα, ἐσβέσθη. τοῦτο ἱστοροῦσι τὸ πῦρ, καὶ λέγουσι τὸν υἱὸν τοῦ Ἡλίου εἶναι, ὃν Φαέθοντα εἶπον, πεπτωκότα ἐκ τοῦ ἅρματος εἰς τὴν γῆν. καὶ ποιητικῶς μὲν οὕτω τὴν ἱστορίαν Ὀβίδιος, ἀληθέστερον δὲ εἶπεν ὁ Χαιρωνεὺς[76] Πλούταρχος. τούτους ἰδόντες οἱ λοιποὶ γίγαντες κεραυνοβοληθέντες, ἔμειναν ἀπειθεῖς, καὶ ὀργισθεὶς ὁ Θεὸς "οὐ μὴ καταμείνῃ[77] τὸ πνεῦμά μου ἐν αὐτοῖς, διὰ τὸ εἶναι "αὐτοὺς σάρκας." Τούτους Πείσανδρος ποιητὴς Ἑλλήνων ὠνόμασε δρακοντόποδας, ἐκ τούτων γεννηθέντας, καὶ τολμησάντας τινα κατὰ τῶν ὑψίστων θεϊκῶν δυνάμεων, ἕως τὸ θεῖον διαφόροις πληγαῖς ἀνάλωσεν. ὁ δὲ Σέραιος[78] εἶπεν, ἐν βαθείᾳ πεδιάδι διάγοντας ἐσχηκέναι πόλεμον μετά τινων οἰκούντων ἐν ὑψηλοῖς ὄρεσι, καὶ ταῖς κοιλίαις συρομένους φονευθῆναι ὑπὸ τῶν ἐν τοῖς ὑψηλοῖς οἰκούντων.

Τότε ἐγένετο Νῶε, ἄνθρωπος ἀγαπώμενος ὑπὸ τοῦ Θεοῦ· καὶ ἐγένετο ὁ κατακλυσμὸς, καθὼς ἐν ταῖς βίβλοις φέρεται. ἔτη ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ͵βφνβ. ἐν δὲ τῷ χβ ἔτει τῆς ζωῆς αὐτοῦ ἐξῆλθε Νῶε ἀπὸ τῆς κιβώτου, καὶ πᾶσα ψυχὴ τοῦ γένους αὐτοῦ· καὶ μετὰ τὸ παύσασθαι τὸν κατακλυσμὸν ἐκάθισεν ἡ κιβωτὸς, ὡς μὲν Πέργαμος συνεγράψατο, ἐν τοῖς ὄρεσιν Ἀραρὰτ τῆς Πισιδίας ἐπαρχίας, ἧς μητρόπολις ἡ Ἀπάμεια· ὡς δὲ Ἰώσηπος καὶ ἄλλοι, ἐν τοῖς ὄρεσιν Ἀραρὰτ τῆς Ἀρμενίας μεταξὺ Πάρθων καὶ Ἀρμενίων διαβηνῶν[79].

Fol. 236. Ἐγέννησε δὲ Ζεὺς καὶ ἕτερον υἱὸν ὀνόματι Ἡρακλῆ μετὰ Ἀλκμήνης τῆς Θηβαίας· ὃς ἐκλήθη τριέσπερος. οὗτος Ἡρακλῆς κατέδειξε τοῦτο φιλοσοφεῖν ἐν τοῖς ἑσπερίοις μέρεσιν, ἤτοι τοῖς δυτικοῖς. τοῦτον ἀποθεώσαντες τοῦ γένους αὐτοῦ μετὰ τὴν αὐτοῦ τελευτὴν ἐκάλεσε ἀστέρα οὐράνιον ὀνόματι αὐτοῦ τὸν ἀστροχίτωνα Ἡρακλέα. ὃν γράφουσι δορὰν λέοντος φοροῦντα, καὶ ῥόπαλον φέροντα, τρία μῆλα κρατοῦντα. ἅπερ τρία μῆλα ἀφελέσθαι

76 Cod. χερωνήσιος (ρωνεὺς written above).
77 Cod. κείνῃ.
78 Leg. credo Σέρβιος cum Symeon. Logoth. in Chronic. Cod. Reg. 1712. ἢ ὡς Σέρβιος ἱστορεῖ, ὅτι πολέμου ἔχοντες μετά τινων οἰκούντων ἐν ὑψηλοῖς, εἶτα χερσὶ καὶ κοιλίαις ὡς δράκοντες κατ' αὐτῶν ἀνέρποντες, ὑφ' ὧν καὶ πολλοὶ πολλάκις ἄνωθεν ἀνῃροῦντο βαλλόμενοι δρακοντόποδες ἐκέκληντο.—His et Pisandri quædam latere puto.
79 Sic.

αὐτὸν ἐμυθολόγησαν, τῷ ῥοπάλῳ φονεύσαντα τὸν δράκοντα· τουτέστι νικήσαντα τὸν πολυποίκιλον τῆς πικρᾶς ἐπιθυμίας λογισμὸν διὰ τοῦ ῥοπάλου τῆς φιλοσοφίας, ἔχοντα περιβόλαιον φρόνημα ὡς δορὰν λέοντος· καὶ οὕτως ἀφείλετο τὰ μῆλα, ὅπερ ἐστὶ τρεῖς ἀρετὰς, τὸ μὴ ὀργίζεσθαι, τὸ μὴ φιλαργυρεῖν, τὸ μὴ φιληδονεῖν. διὰ γὰρ τοῦ ῥοπάλου τῆς καρτερικῆς ψυχῆς, καὶ τῆς δορᾶς τοῦ θρασυτάτου σώφρονος λογισμοῦ, ἐνίκησε τὸν υἱὸν τῆς φαύλης ἐπιθυμίας· φιλοσοφήσας μέχρι θανάτου, κάθως Ἡρόδοτος ὁ σοφώτατος συνεγράψατο, ὃς καὶ ἄλλους Ἡρακλεῖς ἱστορεῖ γεγενῆσθαι ἑπτά.

# ΑΡΧΑΙΟΛΟΓΙΑ ΙΩΑΝΝΟΥ ΑΝΤΙΟΧΕΩΣ

## ΕΧΟΥΣΑ ΚΑΙ ΔΙΑΣΑΦΗΣΙΝ ΤΩΝ ΜΥΘΕΥΟΜΕΝΩΝ.

HÆC descripta sunt e Cod. Reg. 1763. form. in 4°. Chart. et recentissimo, quippe ipsius Cl. Salmasii manu exarato. Unde autem hæc deprompsit Salmasius non liquet. Excerpta sunt, ut opinor, ex magno opere Joannis Antiocheni, non Malalæ, ut annotavit aliquis in prima Codicis pagina, sed illius e quo Excerpta habemus inter Collectan. Const. Porphyrog. Vales. et in prima hujus Vol. parte περὶ Ἐπιβουλῶν. His enim cum Malala collatis facile apparebit, quod dico verum esse, licet nonnulla utrique sint communia.

Ὁ παρ' Ἕλλησιν ἀρχαῖος Ὤγυγος καὶ Φορωνεὺς ὁ υἱὸς Ἰνάχου κατὰ τὴν διὰ Μωσέως ἀπ' Αἰγύπτου ἔξοδον τοῦ λαοῦ ἦσαν. ἀπὸ γὰρ Ὠγύγου μέχρι ν̄ε̄ Ὀλυμπιάδων, ἤγουν μέχρι τοῦ Κύρου τοῦ Πέρσου βασιλέως ἔτη ͵ασλε, ὅτε τὸ Πάσχα καὶ ἡ τῶν Ἑβραίων ἔξοδος ἀπ' Αἰγύπτου ἐγένετο, ὁ ἐπὶ Ὠγύγου γέγονε κατακλυσμός. καὶ εἰκότως· τῶν γὰρ Αἰγυπτίων ὀργῇ Θεοῦ χαλάζαις καὶ χειμῶνι μαστιζομένων, εἰκὸς ἦν μέρη τινὰ συμπάσχειν τῆς γῆς· ἔτι τε Ἀθηναίους τῶν αὐτῶν Αἰγυπτίοις ἀπολαύειν εἰκὸς ἦν, ἀποίκους ἐκείνων ὑπονοουμένους, ὡς φασίν. ὅτι δὲ Ὠγύγῳ συνήκμαζε Μωσῆς, Πολέμων ἐν πρώτῳ (ἱστοριῶν) Ἑλληνικῶν ἱστορεῖ λέγων· "Ἐπὶ Ἄπιδος τοῦ Φορωνέως μοῖρα τοῦ Αἰγυπτίων στρατοῦ ἐξέπεσεν Αἰγύπτου, οἳ ἐν τῇ Παλαιστίνῃ καλουμένῃ Συρίᾳ, οὐ πόρρω Ἀραβίας ᾤκησαν." δῆλον δὲ ὅτι τούτους φησὶ τοὺς μετὰ Μωσέως ἐξελθόντας ἐκεῖθεν Ἑβραίους.

Οἱ Ἀναξαγόρειοι τὴν Ἀθηνᾶν εἰς τὴν τέχνην ἀλληγοροῦσιν, ὅθεν καὶ τὸ,

Ὀλλυμένων χειρῶν ἔρρει πολύμητις Ἀθήνη·[1]

[1] Hunc versum, nescio unde derivatum, citat et Meletius Anecd. Nostr. t. iii. p. 118, 10.

Χειρῶν ὀλλυμένων ἔρρει πολύεργος Ἀθήνη.

Ὁ Ἀϊδωνεὺς βασιλεὺς ἦν Μολοττῶν, παμμεγέθη κύνα ἔχων Κέρβερον, ὃς διεχρήσατο Πειρίθουν[1]· τὸν δὲ Θησέα Ἡρακλῆς ἐρύσατο. διὰ δὲ τοῦ κινδύνου τὸ προῦπτον ἐξ ᾅδου ἀναγαγεῖν αὐτὸν Ἡρακλῆς ἐμυθεύθη. Ἀπὸ Ἀτθίδος τῆς Κραναοῦ τοῦ αὐτόχθονος θυγατρὸς ἡ Ἀττικὴ ἐκλήθη. Τριπτόλεμος μακρῷ πλοίῳ προσβάλλων ταῖς πόλεσι, καὶ τὸν σῖτον διαδιδοὺς, πτερωτὸς ὄφις ἐμυθεύθη· εἰκὸς δὲ καὶ τὴν ναῦν τοιούτου σχήματος εἶναι. Τὴν Ὠρείθυιαν ὁ Ἀστρέου Βορέας, ὁ Θρᾷξ, ἥρπασεν, οὐχ ὁ ἄνεμος. Ὁ Φρύξου μυθώδης Κριὸς πλοῖον ἦν οὕτω καλουμένον, ἢ ὁ διασώσας αὐτὸν τροφεύς. Ἡ Γοργὼν ἑταίρα ἦν εὔμορφος διὰ κάλλος ἐξιστῶσα τοὺς θεατὰς, ὡς ἀπολιθοῦσθαι δοκεῖν· καὶ ὁ Πήγασος αὐτῆς ἦν κτῆμα ἵππος ὀξὺς ὤν· Παλαίφατος δὲ Βελλεροφόντου τοῦτο φησὶ πλοῖον.

Ὅτε Κάδμος ἔκτιζε Θήβας, οἱ πλησιόχωροι ἐνέπεσον ἐξαίφνης αὐτῷ, καὶ διὰ τὸ πανταχόθεν συρρεῖν, σπαρτοὶ ὀνομάσθησαν. Οἱ παρ' Ἀμφίονος θελγόμενοι λίθοι ἠλίθιοι τινὲς ἦσαν ἀκροαταί. Δαίδαλος ἔδοξεν ἀγάλματα κινούμενα ποιεῖν διὰ τὸ πρῶτον διαστῆσαι τοὺς πόδας αὐτῶν, τῶν ἄλλων συμπεφυκυίας[2] ποιούντων· ὃς φεύγων Μίνωα, διὰ τὸ ἀνεύρετον ἔδοξεν ἀποπτῆναι, πλοίου τυχὼν ἅμα τῷ υἱῷ Ἰκάρῳ. Ἡ Σφὶγξ γυνὴ οὖσα Κάδμου διὰ ζῆλον Ἁρμονίας ἀπέστη, καὶ Θηβαίοις ἐπολέμει· Οἰδίπους δὲ ἐπιστρατεύσας, εἷλεν αὐτήν. Ὅτε Σαμψὼν ἡγεῖτο τοῦ λαοῦ, Ἡρακλῆς ἐτέλει τοὺς ἄθλους· ἰσχυρὸς δὲ ὤν, ἄτεχνος ἦν παλαιστής· ὁ δὲ Ἀνταῖος ἔμπειρος τῶν παρὰ τοῖς παλαισταῖς χαμαὶ καλουμένων, ὡς ὑπὸ γῆς τῆς μητρὸς βοηθεῖσθαι δοκεῖν. ταῦτα φεύγων ὁ Ἡρακλῆς, ζώσας αὐτὸν τοῖς ἅμμασι, καὶ μετέωρον ἄρας ἀπέκτεινε. λέγει Πλάτων καὶ τὴν ὕδραν σοφιστρίαν εἶναι δεινήν. οἱ Κένταυροι Θεσσαλῶν ἦσαν ἱππεῖς ἄριστοι.

Τὸν Μινόταυρον θηρίον μυθεύονται καταθοινώμενον παῖδας Ἀττικοὺς, στρατηγὸς δὲ ἦν ὁ Μίνως Ταῦρος καλούμενος διὰ τὸ θυμοειδὲς, καὶ τοῦ τρόπου τὸ ἄγριον. ἐπεὶ δὲ ἀγῶνα ἐτίθει ἐπ' Ἀνδρόγεω, ὃν ἀπέκτειναν Ἀθηναῖοι, ἐδίδουν αὐτῷ ἔπαθλα παῖδας Ἀττικοὺς, ὡς νικῶντι πάντας, ἰσχυρὸς γὰρ ἦν. ὡς δὲ τοῦ ἀγῶνος μετείληφε [καὶ] Θησεὺς καὶ ἐνίκησε Μίνωα, ἐπαύθη τὸ κατὰ τοὺς

1 πειρίνθουν Cod. 2 Leg. συμπεφυκότας.

παῖδας. Ἡρακλῆς εἰς λοιμὸν ἐμπεσὼν εἰς πυρὰν ἥλλατο. Ἡ μυθευομένη Σκύλλη τριήρης ἦν τυράννων[2] ληϊζομένων τοὺς παραπλέοντας· αἱ δὲ Σειρῆνες ἑταῖραι ἐπιβουλεύουσαι τοῖς παραπλέουσι. Φασί τινες Ὅμηρον καὶ Ἡσίοδον Δαυὶδ συνακμάσαι, οἱ δὲ ὀλίγῳ πρότερον, οἱ δὲ μετὰ ταῦτα γενέσθαι.

Ξανθίππου[3] τοῦ Βοιωτοῦ Θυμοίτην εἰς μονομαχίαν προκαλουμένου, μὴ ὑπακούσαντος αὐτοῦ, ὁ Ἀνδροπόμπου υἱὸς Μελάνθιος ποδίως τε ἐλάφου σχῆμα ἀναλαβὼν, ἐμονομάχησε καὶ νενίκηκεν· ὅθεν ἡ τῶν Ἀπατουρίων ἑορτή. ἐπ' Ἀρχεμόρῳ τὰ Νέμεα πρὸς τῶν Ἀργείων ἄγεται· ἐπὶ Μελικέρτῃ ὑπὸ Κορινθίων τὰ Ἴσθμια· ὑπὸ Δελφῶν τὰ Πύθια, ἐπὶ Δελφύνι τῷ δράκοντι· οἱ δέ φασιν ἐπὶ Δελφύνῃ ἀρχαίᾳ ἡρωΐδι. ἀπὸ τῆς ἁμίλλης τῶν ἀεθλίων παίδων ἀθληταὶ ἐκλήθησαν οἱ ἀγωνισταί.

Αἰγύπτιοι φασὶν, ὡς Ἥφαιστος αὐτῶν ἐβασίλευσεν ἀπείρους τινὰς χρόνους· μετὰ τοῦτον Ἥλιος ὁ Ἡφαίστου ἔτη ,ξψοξ· μετ' αὐτὸν Σῶς, ἤτοι Ἄρης, μεθ' ὃν Κὴβ τοῦ Ἡλίου, ἤτοι Κρόνος. Ὁ ἀπὸ Χὰμ τοῦ υἱοῦ Νῶε Μεστρὲμ, εἰς Αἴγυπτον ἀπῳκίσθη, καὶ ἀπ' αὐτοῦ ἐκλήθη ἡ χώρα· τὸ γὰρ Μεστρὲμ Ἑβραϊστὶ Αἴγυπτον δηλοῖ. Ἐπὶ Βινώριος[4] βασιλέως Αἰγύπτου, φασὶ τὸν Νεῖλον μέλιτι κεκραμένον ἡμέρας ῑᾱ ῥυῆναι. Ψιὼφ ἑξαέτης ἀρξάμενος βασιλεύειν διεγένετο μέχρις ἐτῶν ρ̄. Σεμίραμις ἡ περιβόητος πολλαχοῦ τῆς γῆς ἤγειρε χώματα, προφάσει μὲν διὰ τοὺς κατακλυσμούς· τάδ' ἦσαν ἄρα τῶν ἐρωμένων ζώντων κατορυσσομένων οἱ τάφοι, Κτησίας ἱστορεῖ. Σέσωστρις βασιλεὺς Αἰγύπτου θ̄ ἔτεσιν τὴν ἅπασαν Ἀσίαν ἐχειρώσατο, καὶ τῆς Εὐρώπης τὰ μέχρι Θρᾴκης, καὶ μνημόσυνα πεποίηκε τῆς τῶν ἐθνῶν ἁλώσεως· ἐπὶ μὲν τοῖς γενναίοις ἀνδρῶν, ἐπὶ δὲ τοῖς ἀγεννέσι γυναικῶν, χαράσσων μόρια. ἐπὶ Βοκχόρεως βασιλέως Αἰγύπτου ἀρνίον ἐλάλησεν ἀνθρωπίνῃ[5], ὃν Σαβάκων ὁ Αἰθιόπων βασιλεὺς αἰχμάλωτον λαβὼν, ζῶντα κατέκαυσεν· οἱ δέ φασιν ὡς ἐξέδειρεν[6]. Σέλευκός τις ψευδόμενος ἐκ γένους εἶναι τοῦ μεγάλου Σελεύκου, τῇ βασιλίσσῃ

[2] Leg. vid. Τυρσηνῶν. [3] Leg. Ξάνθου. [4] Hujus Regis nomen deest in Manethone et ap. Euseb. Vers. Armen. et ap. Syncell. ubi legitur p. 45. ἐπὶ τοῦ ἑβδόμου μυθεύεται τὸν Νεῖλον κ. τ. λ. [5] ἀνθρωπίνῃ deest in Syncell. [6] His carent Eusebius et Syncellus.

Βερενίκῃ συνεβασίλευεν· ὕστερον δὲ γνωσθεὶς ἰδιώτης εἶναι, ὑπ' αὐτῆς ἀνῃρέθη.

Ἀπὸ Αἰγιαλέως βασιλέως Σικυῶνος Αἰγιάλεια ἡ νῦν Πελοπόννησος. Λεωνίδης μόνος καὶ πρῶτος ἐπὶ τέσσαρας Ὀλυμπιάδας στεφανους ἔσχε δώδεκα. Χιόνου τοῦ Λάκωνος τὸ ἅλμα ποδῶν ἦν νβ. Πολυμνήστωρ ὁ Μιλήσιος ἐκ ποδῶν κατέλαβε λαγών· καὶ Ἰουδαῖος τις ἱστορεῖται ταχίων δορκάδος γενέσθαι. Μίλων ὁ Κροτωνιάτης ἐνίκησεν Ὀλύμπια ἑξάκις, Ἴσθμια δεκάκις, Νέμεα ἐννάκις. ὁ Ὁλοφέρνης τοῦ δευτέρου Ναβουχοδονόσορ, ὃν Ἕλληνες Καμβύσην καλοῦσιν, ἦν στρατηγός.

Ἐκ τῆς φυλῆς Σὴμ τοῦ υἱοῦ Νῶε ἐγένετό τις Νεβρὼ κυνηγὸς πρῶτος, ὃν οἱ Ἀσσύριοι ἀποθεώσαντες, ἔταξαν ἐν τοῖς ἄστροις. καὶ καλοῦσιν Ὠρίωνα, διὸ καὶ τὸν κύναστρον αὐτῷ συνῆψαν· ἐκλήθη δὲ ὑπὸ τῶν ἐπιχωρίων[7] καὶ Χρόνος, καὶ ἔλαβε γυναῖκα τὴν Σεμιράμιδα, ἣ Ῥέα ἐκλήθη, καὶ ἔσχεν ἐξ αὐτῆς Πίκον, τὸν καὶ Δία, καὶ Ἥραν καὶ ἄλλους παῖδας· οὗτος ἐάσας τὸν Δία τῶν Ἀσσυρίων κρατεῖν, ἀπῆρεν ἐπὶ δύσιν, καὶ ἔσχεν υἱὸν Ἄφρον, ᾧπερ ἔδωκε τὴν Λιβύην· ἐξ οὗ καὶ ἡ Ἀφρική· ἔσχε δὲ οὗτος ὁ Ἄφρος Ἀφροδίτην θυγατέρα. ὁ δὲ Ζεὺς ἐάσας τὴν Ἀσσυρίων ἀρχὴν τῷ υἱῷ Νίνῳ, πρὸς τὸν πατέρα Κρόνον ἀπήρθη· καὶ ἐκράτησεν ἐκεῖ, παραχωρήσαντος αὐτῷ τοῦ πατρὸς, καὶ ἀφανοῦς γενομένου. Νῖνος δὲ ἔγημεν Ἥραν τὴν Σεμίραμιν, τὴν οἰκείαν μητέρα· ἐξ οὗ ὁ νόμος παρὰ Πέρσαις γαμεῖν τὰς μετέρας. Τότε ἐφάνη καὶ Ζωροάστρης ὁ ἀστρονόμος, ὅστις ηὔξατο ὑπὸ πυρὸς οὐρανίου τελευτῆσαι, εἰπὼν Ἀσσυρίοις τὴν ἑαυτοῦ τέφραν τηρεῖν, οὕτω γὰρ αὐτῶν τὴν βασιλείαν μὴ ἐκλείπειν.

Μετὰ Νῖνον ἐβασίλευσε Θούρρας, ὃν Ἄρεα ὠνόμασαν· ἦν δὲ σφόδρα δεινὸς καὶ πολεμικὸς, καὶ προσεκύνησαν αὐτῷ Ἀσσύριοι ὡς θεῷ, ὀνομάσαντες αὐτὸν Βῆλον, ἤτοι Ἄρεα πολέμων θεόν· ὁ δὲ Ζεὺς ἐν τῇ δύσει Φαῦνον τὸν Ἑρμῆν γεννᾷ, καὶ θανὼν θάπτεται ἐν Κνώσσῳ τῆς Κρήτης. οὗτος ὁ Ἑρμῆς εὗρε μέταλλα χρυσοῦ καὶ ἀργύρου, διὸ καὶ πλουτοδότης ἐκλήθη, καὶ ἐβασίλευσεν Αἰγύπτου μετὰ Μαστρέμ. μετὰ δὲ Ἑρμῆν ἐβασίλευσεν Αἰγύπτου

[7] χωρίων Cod.

Ἥφαιστος, ὃς πολεμῶν ἐπλήγη τὸν πόδα, καὶ γέγονε χωλός. ἐνομοθέτησε δὲ οὗτος πρῶτος μονανδρίαν ταῖς γυναιξὶ, καὶ δι' εὐχῆς ὀξυλαβῆ ἀπὸ τοῦ ἀέρος ἐδέξατο, καὶ κατεσκεύασεν ἀπὸ σιδήρου πολεμικὰ ὅπλα. μετὰ Ἥφαιστον Ἥλιος ὁ υἱὸς αὐτοῦ, καὶ οὗτος Αἰγύπτου, ὃς τὴν τοῦ πατρὸς φυλάττων νομοθεσίαν, εὑρὼν μοιχευομένην γυναῖκα, ἐθριάμβευσεν αὐτήν· ὃ Ὅμηρος εἰς μῦθον μετέβαλε. Σέσωστρις βασιλεὺς Αἰγύπτου ἐκ φυλῆς Χὰμ ἐκράτησε πάσης Ἀσίας, καὶ κατῴκισεν ἐν τῇ Ἀσσυρίων χώρᾳ.

Τότε ὁ Τρισμέγιστος Ἑρμῆς ἀνεφάνη, ὃς καὶ ἐθεολόγησεν οὕτως· "ἦν φῶς νοερὸν, πρὸ φωτὸς νοεροῦ, καὶ ἦν ἀεὶ νοῦς ὁ φωτεινὸς, καὶ οὐδὲν ἕτερον ἦν ἢ ἡ τούτου ἑνότης, καὶ πνεῦμα πάντα περιέχον. ἐκτὸς τούτου, οὐ θεὸς, οὐκ ἄγγελος, οὐκ οὐσία τίς, ἀλλ' ἡ πάντων κόσμος, καὶ πατὴρ καὶ Θεὸς, καὶ πάντα ὑπ' αὐτὸν, καὶ ἐν αὐτῷ ἐστιν· ὁ γὰρ λόγος αὐτοῦ παντέλειος ὢν καὶ γόνιμος καὶ δημιουργικὸς, ἔγγυον τὸ ὕδωρ ἐποίησεν."

Ὁ δὲ αὐτὸς Ἑρμῆς καὶ ἐπηύξατο λέγων· "Ὁρκίζω σε οὐρανὸν Θεοῦ μεγάλου σοφὸν ἔργον· ὁρκίζω σε φωνὴν πατρὸς, ἣν ἐφθέγξατο πρώτην, ἡνίκα τὸν πάντα κόσμον ἐστηρίξατο· ὁρκίζω σε κατὰ τοῦ μονογενοῦς αὐτοῦ λόγου καὶ τοῦ πνεύματος τοῦ πάντα περιέχοντος, ἵλεως ἔσο." ὁ δὲ Ἑρμῆς οὗτος σοφὸς ἦν Αἰγύπτιος. Ἴναχος ὁ Ἀργείων βασιλεὺς ἐκ φυλῆς ἦν Ἰάφεθ, οὗ τὴν θυγατέρα Ἰὼ Ζεὺς ἥρπασεν· ἡ δὲ καταλιποῦσα διὰ τὴν διαφθορὰν τὸν πατέρα, ἐπὶ Συρίαν ἀπῆλθεν, κᾀκεῖθεν εἰς Ἀντιόχειαν, ἣν οἱ οἰκεῖοι μὴ ἀνευρόντες, ἀλλὰ μαθόντες αὐτὴν αὐτοῦ τελευτῆσαι, κτίζουσιν αὐτῇ ἱερὸν, καὶ ἐκάλεσαν τὸν τόπον Ἰώπολιν.

Περσεὺς παρὰ τοῦ πατρὸς Διὸς τὰς μυσαρὰς τελετὰς μαθὼν, εὑρὼν γυναῖκα τινὰ Μέδουσαν ἀνεῖλεν αὐτὴν, καὶ τελέσας ὡς ἐδιδάχθη, ἐβάσταζεν, ἀναιρῶν δι' αὐτῆς τοὺς ὁρῶντας· ἣν Γοργόνα ἐκάλεσαν, διὰ τὸ τῆς ἐνεργείας ὀξύ· ἐλθὼν δὲ εἰς Ἄμανδραν ἐποίησε πόλιν, στήσας στήλην βαστάζουσαν τὴν Γοργόνην· καὶ ἐκλήθη ἡ πόλις Ἰκόνιον. χρηματισθεὶς δὲ κτίσαι πόλιν, ἔνθα πρῶτον μετὰ τὴν τῶν πολεμίων νίκην ἀπόθηται τὸν ταρσὸν τοῦ ποδὸς, ἔκτισε τὴν νῦν λεγομένην Ταρσόν. οὗτος ἐδίδαξε πολλοὺς τὰς

μυσαρὰς τελετὰς, καὶ ἐκάλεσεν αὐτοὺς μάγους, καὶ σφαίρας πυρὸς κατενεχθείσης ἔλαβε, καὶ παρέδωκε τοῖς ὑπ' αὐτοῦ κληθεῖσι Πέρσαις τιμᾷν αὐτήν.

Διόνυσος πολεμήσας Πενθεῖ τῷ ἐξαδέλφῳ δέσμιος ἤχθη· Ἀγαυὴ δὲ ἡ μήτηρ Πενθέως ἔπεισεν αὐτοὺς σπείσασθαι ἐνώπιον τοῦ πάππου Κάδμου· ὁ δὲ Διόνυσος ἐνετείλατο τοῖς οἰκείοις ἀνελεῖν Πενθέα· καὶ ἐμυθεύθη ὅτι ἡ Ἀγαυὴ τὸν οἰκεῖον διεσπάραξεν, οἷα τοῦ θανάτου αὐτοῦ αἰτία γενομένη. στασιασάντων δὲ τῶν πολιτῶν ἐπὶ τῷ θανάτῳ Πενθέως, Διόνυσος μὲν ἀπελαύνετο, προχειρίζεται δὲ Λυκοῦργος. Σερούχ[8] τις ἐκ τῆς Ἰάφεθ φυλῆς ἐνομοθέτησεν, ὡς δεῖ τοὺς ἀριστεύσαντας ἄνδρας καὶ ἀποθανόντας δι' εἰκόνων τιμᾶσθαι καὶ προσκυνεῖσθαι κατ' ἔτος· ἔνθεν γέγονεν ἡ πολυθεΐα, καὶ κατεκράτησε μέχρι Θάρρα, τοῦ πατρὸς Ἀβραάμ· οὗτος γὰρ ἀγαλματοποιὸς ἦν. μάλιστα δὲ μετέσχε ταύτης ἡ Ἑλλὰς, τιμήσασα Ἕλληνα τὸν γίγαντα τὸν τῆς πυργοποιΐας ἄρξαντα· δι' ἣν μερισθεισῶν τῶν γλωσσῶν, οἱ ἄνθρωποι μέροπες ἐκλήθησαν.

Ἰορδάνης λέγεται ὁ ποταμὸς, διότι δύο ἅμα μίγνυνται ποταμοὶ, Ἰόρ τε καὶ Δάνης, καὶ ἀποτελοῦσιν αὐτὸν, ὥς φησιν Πλούταρχος.

ὀργίου (sic)

## Περὶ τοῦ Ἰορδάνου ἀπὸ τῆς ἱστορίας Φιλοστράτου[9].

"Ἐπ' ἐσχάτοις τῆς Παλαιστίνης τέρμασι, μεθ' ἣν ἡ τῶν "Φοινίκων ἐκδέχεται, κεῖται πόλις Δὰν ὀνομασθεῖσα πρότερον ἐκ "τῆς τοῦ Δὰν φυλῆς, ὁπηνίκα χρόνον ἐπ' οὐκ ὀλίγον οὗτοι δὴ "μόνοι τοῦ παντὸς ἔθνους πλανώμενοι, τελευταῖον τὰ ταύτη κατα-"σχόντες χωρία, μόγις ἱδρύνθησαν, καὶ πόλιν ἐπὶ τοῖς ἄκροις "αὐτῶν ὄρεσι δειμάμενοι, τὴν τοῦ φυλάρχου σφῶν ἐπέθηκαν κλῆ-"σιν, καὶ τοῦτο ἦν τῆς Ἰουδαίας ὁ ἔσχατος πρὸς Φοινίκην ὅρος. "ταύτην χρόνῳ ὕστερον Ἡρώδης ὁ μέγας οἰκοδομήσας, Καισά-"ρειαν Φιλίππου μετωνόμασε, νῦν δὲ Πανεάς ἐστι καλουμένη· "τὸ γὰρ Πανὸς ἐν ταύτῃ βρέτας στησάμενοι, εἰς τοῦτο τὴν τῆς "πόλεως ἔτρεψαν προσηγορίαν. ἐν ταύτῃ τῇ Πανεάδι τῶν τοῦ

8 σιροὺχ Cod.

9 Hæc jam vulgavit Vales. inter Supplem. Philostorgiana p. 541.

“ Ἰορδάνου πηγῶν ἡ ἑτέρα τίκτεται, δυοῖν οὐσῶν, Δὰν ἐκ τοῦ “ παλαιοῦ ὀνόματος ἐστὶ[10] καὶ νῦν ὀνομαζομένη· τὴν γὰρ ἑτέραν “ ἥτις Ἰὸρ ἐπικαλεῖται, πόρρωθεν αὐτῆς ὡς ἀπὸ σταδίων ρ̅ξ̅, κό- “ λωνος τις τοῦ αὐτοῦ προΐησιν ὄρους, ὧν ἐξ ἑκατέρας προχεῖται “ ποταμὸς, ὁ μὲν Ἰοράτης ὁ δὲ Δανίτης ἐπικαλούμενος· οἳ διὰ “ τοῦ ὄρους ἐνεχθέντες, ἐπειδὴ καταβαῖεν εἰς τὸ πεδίον, ἐνταῦθα “ ἤδη ξυνίασιν, καὶ ἕνα μέγιστον ἀποτελοῦσι ποταμὸν τὸν Ἰορδά- “ νην· ἐν ταυτῷ ἤδη τότε ῥεῦμα καὶ τὴν προσηγορίαν κιρνάμενοι[11]· “ ὃς τὴν τῆς Τιβεριάδος διέξεισι λίμνην μέσην τέμνων αὐτὴν, “ καὶ δι' ὅλης αὐτῆς ἐν τῷ οἰκείῳ ὁρκῷ[12] ῥεόμενος μέχρις ἂν ἐπὶ “ τὴν κατέναντι ἐκπέσειε[13] γῆν, ἴσος αὐτὸς αὐτῷ καὶ παραπλή- “ σιος ὤν· κἀντεῦθεν ἤδη διὰ τῆς Παλαιστίνης ἐνεχθεὶς, ἅπας εἰς “ τὴν νεκρὰν καλουμένην εἰσπεσὼν ἀφανίζεται θάλασσαν.”

Ἦν ἐπὶ τῶν ι̅β̅ πατριαρχῶν ὁ Ἡσίοδος, ὃς τὰ Ἀσσυρίων γράμματα εἰς Ἑλλάδα γλῶσσαν μετέβαλεν. Ὁ Ἐνδυμίων διὰ μυστικῶν εὐχῶν ἀπὸ τῆς σελήνης ἐβούλετο μαθεῖν τὸ τοῦ Θεοῦ ὄνομα, καὶ δι' ὀνείρου μαθὼν ἀπέψυξεν· ὁ δὲ μῦθος φησὶν αὐτὸν ὑπὸ τῆς σελήνης φιλεῖσθαι. Οἱ δυνάσται τῶν ἐθνῶν ὑπὸ Ἰησοῦ τοῦ Ναυῆ διωκόμενοι, καὶ μὴ προσδεχθέντες παρ' Αἰγυπτίων, εἰς τὴν τῶν Ἄφρων χώραν μετοικήσαντες ἐπέγραψαν, “ ἡμεῖς ἐσμὲν “ Χαναναῖοι, οὓς ἐδίωξεν Ἰησοῦς ὁ λῃστής.” Ἡ Περσεφόνη θυγάτηρ ἦν Ἀΐδου τοῦ βασιλέως Μολοττῶν, ἐκαλεῖτο δὲ Κόρη, οὕτω τῶν Μολοττῶν τὰς εὐμόρφους καλούντων. ἐξελθοῦσαν δὲ ἐπὶ βοήθειαν Πειρίθου ὑπὸ τοῦ Κερβέρου ἀναιρουμένου, ἀναιρεῖται καὶ αὐτὴ, καὶ ἐμυθεύθη ὅτι ὁ Ἀΐδης ἥρπασεν αὐτήν. Προμηθεὺς σοφίαν ἀνθρώπους διδάξας, ἤκουσεν ὅτι πλάττει ἀνθρώπους. Ἄτλας δὲ τὴν ἀστρονομίαν διδάξας, ὅτι βαστάζει τὸν οὐρανόν· καὶ ὁ Ἄργος πολυόμματος, ὅτι περίβλεπτος ἦν, καθὸ τὴν τεχνικὴν ἐπιστήμην αὐτὸς ἐπενόησε πρῶτος. Κέκροψ διφυὴς λέγεται, διὰ τὸ μέγεθος, ἢ ὅτι πρὸ αὐτοῦ τῶν γυναικῶν θηριωδῶς μιγνυμένων οἷς ἠβούλοντο, καὶ ᾧ ἤθελον διδουσῶν τὸ τικτόμενον, αὐτὸς ἐνομοθέτησεν ἑνὶ ἐκδίδοσθαι ἀνδρί· ἔλεγε γὰρ ὅτι διὰ τὴν ἀσέλ-

10 Leg. ἔτι.
11 κιρνάμενος Vales. qui mox om. ὃς.
12 ὁλκῷ emend. Vales.
13 ἐκπεράσειε Vales.

γειαν ἡ Ἀττικὴ κατεκλύσθη. Αἰγύπτιος δὲ ὢν ἀπὸ τῆς Ἡφαίστου τοῦ βασιλέως νομοθεσίας ᾔδει τὴν μονανδρίαν. Οἱ Ἀργοναῦται διὰ τὸν Ἀμύκου φόβον ἐν δάσει καταφυγόντες, εἶδον ὀπτασίαν ἀγγέλου, ὃς προεῖπεν αὐτοῖς νίκην, καὶ ἐξελθόντες καὶ νικήσαντες Ἄμυκον, ᾠκοδόμησαν τῷ φανέντι ἱερὸν, ὀνομάσαντες τὸν τόπον Λαοσθένην. Τὸ μυθολογούμενον χρυσοῦν δέρας βιβλίον ἦν ἐν δέρμασι γεγραμμένον περιέχον ὅπως δεῖ διὰ χειμείας χρυσὸν ἐργάζεσθαι. Αἰγεὺς ἀγγελθέντος αὐτῷ ψεύδους, ὅτι ὁ υἱὸς αὐτοῦ Θησεὺς ὑπὸ Μινωταύρου ὤλετο, ἔρριψεν ἑαυτὸν εἰς τὴν θάλασσαν, καὶ ἐκλήθη ὁ τόπος Αἰγαῖος. Ὁ Πάρις ἐγκώμιον ἐξέθετο τῆς Ἀφροδίτης, ἤγουν τῆς ἐπιθυμίας, καὶ συγκρίνας αὐτὴν μετὰ Ἥρας καὶ Ἀθηνᾶς, δέδωκεν αὐτῇ τὸ μῆλον, ἤτοι τὴν νικῶσαν, εἶπε δὲ εἰς[14] αὐτὴν καὶ ὕμνον τὸν λεγόμενον κεστόν. Ὁ Παλαμήδης διὰ τῆς ταύλας τὸν γήϊνον κόσμον ᾐνίξατο, τὸν ζωδιακὸν κύκλον διὰ τῶν δώδεκα κάσων, διὰ τοῦ ψηφοβόλου, καὶ τῶν ἐν αὐτῷ ἑπτὰ κοκκίων, τὰ ἑπτὰ ἄστρα τῶν πλανήτων· διὰ δὲ τοῦ πύργου τὸ ὕψος τοῦ οὐρανοῦ, ἐξ οὗ δίδοται πᾶσι καλά τε καὶ φαῦλα.

Δίκτυς ὁ μετὰ Ἰδομενέως συστρατεύσας ἐπὶ Τροίαν φησὶν, ὅτι Πρίαμος ἔπεμψε καὶ πρὸς τὸν Δαυὶδ πρεσβείαν, καὶ πρὸς Ταυτάνην βασιλέα Ἀσσυρίων· καὶ ὁ μὲν Δαυὶδ οὐ προσήκατο ταύτην, ὁ δὲ Ταυτάνης ἔπεμψε τὸν Τιθωνὸν καὶ τὸν Μέμνονα μετὰ πλήθους Ἰνδῶν. φησὶ δὲ καὶ ὅτι Ἕκτορι εἰς ὑπάντησιν Πενθεσιλείας τῆς Ἀμαζόνος ἐξερχομένῳ νυκτὸς ἐπιθέμενος Ἀχιλλεὺς, αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ ἀπέκτεινεν. ὁ αὐτὸς λέγει ὅτι καὶ τὸν παρὰ Πολυμνήστορος φυλαττόμενον Πολύδωρον Πριάμου παῖδα ἔλαβεν Αἴας ὁ μέγας πολεμῶν Πολυμνήστορι· ἀναγαγόντος οὖν αὐτὸν, οἱ Ἕλληνες πρὸ τοῦ τείχους τῆς πόλεως διεκηρύκευον λαβεῖν τὴν Ἑλένην καὶ δοῦναι τὸν παῖδα· ὡς δ' οὐκ ἐπείθοντο πάντων ὁρώντων κατετοξεύθη.

Ῥῆσος τὰς οἰκήσεις ἔχων ἐν Βυζαντίῳ ἐν τῷ λεγομένῳ Ῥηάτῳ, ὅπου νῦν ἐστιν ὁ τοῦ μεγαλομάρτυρος ἁγίου Θεοδώρου ναός. Τὸ ἐν Τροίᾳ Παλλάδιον ζώδιον ἦν μικρὸν, ὑπὸ Ἀσίου τινὸς φιλοσόφου κατασκευασθὲν εἰς φυλακὴν τῆς πόλεως. ἐν τῷ μέλλειν τὴν

14 εἰς supplevi.

Τροίαν ἁλίσκεσθαι, κατὰ τὴν ἑορτὴν τῶν ἀναθημάτων, τὸ τοῖς θύμασιν ἐπιβαλλόμενον πῦρ οὐχ ἧπτεν, ἀλλ' ἐσβέννυτο· τοῦτο εἰπὼν Ὀδυσσεὺς τοῖς Ἕλλησιν ἤδη ἀπαγορεύσασιν καὶ μέλλουσιν ὑποχωρεῖν, ἐθάῤῥυνεν αὐτούς.

Ἡ Σικελία τρίγωνος οὖσα ὑπὸ τριῶν ἀδελφῶν ἐβασιλεύετο, ὧν ὁ μὲν ἐλέγετο Κύκλωψ, ὁ δὲ Πολύφημος. καταπονηθεὶς δὲ ὑπ' αὐτοῦ, καὶ πολλοὺς τῶν οἰκείων ἀποβαλὼν, δώροις δελεάσας αὐτὸν καὶ οἴνῳ, τὴν αὐτοῦ μονογενῆ θυγατέρα ἁρπάσας ἔφυγεν, ὡς Σίσυφος ὁ Κῷος ἱστορεῖ· ὅτι γοῦν ἀλλήλοις συνήρχοντο οἱ τρεῖς ὠνομάζοντο Κύκλωπες, καὶ ἐμυθεύσαντο ὅτι τρεῖς ὀφθαλμοὺς εἶχον, σημαίνοντες τοὺς τρεῖς ἀδελφοὺς ἀλλήλοις συγκειμένους· ὁ δὲ Πολύφημος ἕνα, ὃν διὰ πυρὸς διετύφλωσεν Ὀδυσσεὺς, ὅτι τὴν αὐτοῦ θυγατέρα ἐκκαυθεῖσαν ἔρωτι ἀφείλετο. Καλυψὼ καὶ Κίρκη Ἡλίου καὶ Σελήνης ἦσαν ἱέρειαι.

Οἰνόμαος πρῶτος ἐφεῦρε τὰ τοῦ ἱπποδρόμου χρώματα, καὶ ἐποίει τὸν ἀγῶνα Μαρτίου κδ̄, γῆς καὶ θαλάσσης. ἐβάλλοντο κλῆροι, καὶ ὃν ἔλαχον ὑπὲρ τῆς γῆς ἀγωνίσασθαι, ἐφόρει χλοανὸν, ὃν δὲ ὑπὲρ τῆς θαλάσσης κυανόν. ἐτίθει δὲ Οἰνόμαος ἔπαθλον τὴν ἑαυτοῦ θυγατέρα, καὶ ὁ νικηθεὶς ὑπὸ τοῦ πλήθους τῶν θεωμένων ἀνῃρεῖτο. εἶχον οὖν σημεῖον οἱ τότε, καὶ εἰ μὲν τὸ χλοανὸν ἐνίκα, τῆς γῆς εὐφορίαν ἤλπιζον, καὶ οὕτως ἐγίνετο· εἰ δὲ τὸ κυανὸν, τῆς θαλάττης εὔπλοιαν· καὶ ηὔχοντο οἱ μὲν γεωργοὶ τὸ χλοανὸν νικᾷν, οἱ δὲ ναυτίλοι τὸ κυανόν. πρῶτον δὲ Ἐνυαλίου τινὸς διπώλῳ χρησαμένου ἅρματι, ἐν τούτῳ πρῶτος Οἰνόμαος τετραπώλῳ ἐχρήσατο.

Οἱ Ῥόδιοι θαλασσοκρατήσαντες στήλην ἔστησαν, ἣν διὰ τὸ μέγεθος Κολοσσὸν ἔλεγον, καὶ διὰ τοῦτο ὠνομάσθησαν Κολοσσαεῖς. Ἡ Καρχηδὼν χώρα ὑπὸ Καρχηδόνος τοῦ Τυρίου ἐκτίσθη.

Ῥώμυλος πρῶτος ἐν Ῥώμῃ ἔκτισεν ἱππικὸν, καὶ διεῖλε τὸν δῆμον εἰς μέρη δ̄, εἰς τιμὴν τῶν δ̄ στοιχείων, καὶ τὰς ιβ̄ θύρας κατὰ τύπον τοῦ ζωδιακοῦ κύκλου ἱστόρηκεν, τὸ δὲ πέλμα τῆς γῆς πάσης, καὶ τὸν Εὔριπον τῆς θαλάσσης ὑπὸ γῆς βασταζομένης· τὸν ἐπὶ τὰς θύρας καμπτὸν, τὴν ἀνατολὴν, καὶ τὸν ἐπὶ τὴν σφενδόνην, τὴν δύσιν, ὡς φησὶ Χάραξ, τὰ ἑπτὰ ὑπάτια τὸν δρόμον ἑπτὰ πλανήτων. τὸ βένετον ἀπὸ Βενετίας ὠνόμασεν, ἐν ᾗ γίνονται κυανὰ χρώματα, καὶ προσεκόλλησε τῷ πρασίνῳ, ἤτοι τῇ γῇ,

ὅπερ ἀπὸ τοῦ πραίσεται ὠνόμασεν διὰ τὸ παραμένον· τὸ λευκὸν, ἤτοι τὸν ἀέρα, διότι ἑκάτερα τῆς ἀλλήλων συγκράσεως δέονται. τὸ δὲ ῥούσιον, ἤτοι τὸ πῦρ, τῷ κυανῷ, ἤτοι τῷ ὕδατι ὑπέταξε, διότι τὸ πῦρ ὑπείκει τῷ ὕδατι.

Νουμᾶς ὁ βασιλεὺς ἐκέλευσεν ἐν τοῖς ὑποδήμασι Ῥωμαίων τῶν πατρικίων τυποῦσθαι τὸ Ῥωμαϊκὸν κάππα, ὃ παρὰ τοῖς Ἕλλησιν ἐστὶ ῥῶ, οἳ διὰ τὸ τῶν κοινῶν ἐπιμελεῖσθαι πατέρων ἔσχον ἐπωνυμίαν. ἐφόρουν οὖν οἱ πατρίκιοι τὰ καππάγια, ὡς οὐκ ἐξὸν ἄλλως ὁρᾶσθαι τῷ βασιλεῖ. ὁ αὐτὸς πρῶτος ἀπὸ χαλκοῦ καὶ σιδήρου ἐποίησεν ἀσσάρια, τῶν πρὸ αὐτοῦ δι' ὀστρακίνων καὶ σκυτίνων τὴν χρείαν πληρούντων, ἅπερ ἀπὸ τοῦ οἰκείου ὀνόματος νοννούμια[3] ἐκάλεσε. Τὸ δεσμωτήριον τὸ νούμερον καὶ τὰ ὀρύγματα οἱ ὑπόνομοι ἀπὸ τοῦ Νουμᾶ τοῦ βασιλέως ὀνομάζονται, ὡς πρώτου ἐπινοησαμένου αὐτά.

Δαρεῖος ὁ υἱὸς Ἀρσάμου, ὃν ὁ Μακεδὼν καθεῖλεν Ἀλέξανδρος, προσαχθείσης αὐτῷ κύλικος ὑπὸ Βαγώου τοῦ εὐνούχου, ἠνάγκασεν αὐτὸν πιεῖν, καὶ πιὼν ὁ Βαγώας ἀπέθανεν[4]. Ὅτι κατὰ τοὺς Ἀβραὰμ χρόνους Νῖνος καὶ Σεμίραμις ἐβασίλευον. Φαραὼ τινὸς βασιλέως Αἰγύπτου πολλοὺς τῶν προσοίκων καταγωνισαμένου, καὶ τοὺς ληστρικοὺς ἄνδρας μεταῤῥυθμίσαντος πρὸς τὸ φιλάνθρωπον, καὶ οἱ λοιποὶ βασιλεῖς Αἰγύπτου εἰς τιμὴν ἐκείνου Φαραὼ ἐκαλοῦντο. Ἐβασίλευσαν ἐν Αἰγύπτῳ καὶ οἱ καλούμενοι ποιμένες· κατάγεσθαι δὲ δοκοῦσιν ἀπὸ τῶν υἱῶν Ἰακὼβ ὄντων ποιμένων.

Γάϊος Ἰούλιος Καίσαρ νέος ὢν, ἔδοξε καθ' ὕπνους συνουσιάζειν τῇ ἰδίᾳ μητρὶ, καὶ ἐν ταῖς ἀγέλαις αὐτοῦ ἵππος ἐτέχθη χηλοὺς ἔχων ἀντὶ ὁπλῆς, καὶ οὐδένα ἕτερον ἀναβάτην ἐδέχετο, εἰ μὴ αὐτὸν μόνον, ὡς ὁ Βουκέφαλος τὸν Ἀλέξανδρον. Πρὸ δὲ μιᾶς ἡμέρας τοῦ θανάτου αὐτοῦ, ἔδοξεν ὁρᾷν ἡ γυνὴ αὐτοῦ πεπτωκυῖαν τὴν οἰκίαν αὐτοῦ, καὶ αὐτὸν τραυματίαν καὶ αἵματι κατάῤῥυτον ἐμπεσεῖν τοῖς κόλποις αὐτῆς. προϊόντι δὲ αὐτῷ ἔδωκέ τις ἐν χάρτῃ τὴν κατ' αὐτοῦ ἐπιβουλήν· ὁ δὲ ἄλλό τι νομίσας εἶναι, καὶ διὰ τοῦτο μὴ ἀναγνοὺς, ἀλλὰ δοὺς τοῖς ὑπογραφεῦσιν, ἐσφάγη.

Ὀκταΐος ἔτη ζ ἡμέρας β. ἡμέρας μιᾶς πρὸ τεχθῆναι τοῦτον,

[15] Sic. Cf. Suid. v. Ἀσσάρια. [16] Vid. nostr. περὶ ἐπιβουλῶν p. 7–8.

εἶδεν ἡ μήτηρ αὐτοῦ, ὡς τὰ σπλάγχνα αὐτῆς ἐξαρπαγέντα εἰς οὐρανὸν ἐφέρετο· καὶ ἐν τῇ νυκτὶ ᾗ ἐγεννήθη εἶδεν ὁ πατὴρ αὐτοῦ ὅτι ἐκ τῶν κόλπων τῆς αὐτοῦ γυναικὸς ἀνέτειλεν ὁ ἥλιος. Νιγίδιος δέ τις βουλευτὴς ἀστρολόγος, βραδύτερον προελθόντος τοῦ πατρὸς αὐτοῦ, ἠρώτησε τὴν αἰτίαν, ὁ δὲ ἔφη υἱὸν αὐτῷ τεχθῆναι· κακεῖνος, “ὢ τί ἐποίησας; δεσπότην ἡμῖν ἐγέννησας,” ἀνεβόησε. τρεφομένου δὲ τοῦ παιδὸς ἐν ἀγρῷ, ἀετὸς καταπτὰς ἄρτον ἐκ χειρῶν αὐτοῦ ἀφείλετο, καὶ ἐπανελθὼν πάλιν αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ ἀπέθετο. ἐν παισὶ δὲ τελοῦντα εἶδε καθ' ὕπνους αὐτὸν Κικέρων χρυσῇ ἁλύσει δεδεμένον, καὶ μάστιγα κρατοῦντα ἐν τῷ Καπιτωλίῳ χαλασθῆναι οὐρανόθεν. ἐν δὴ τῷ μέλλειν αὐτὸν τελευτᾷν, κεραυνὸς ἐμπεσὼν εἰς τὴν εἰκόνα αὐτοῦ τὸ πρῶτον γράμμα τοῦ ὀνόματος αὐτοῦ ἠφάνισε, καὶ προεῖπον οἱ μάντεις ὅτι ἀποθανεῖται.

Οὗτος τοὺς λογίους τιμῶν μετεωρολέσχας ἀπήλαυνε, τὸ δὲ λόγιον προφερόμενος, “μήτι πελώρια μέτρα γύης ὑπὸ σὴν φρένα βάλ- “λου, μηδὲ μέτρει μέτρῳ ἠελίου κανόνας συναθροίσας, ἀϊδίου “βουλῇ φέρεται πατρὸς οὐκ ἕνεκα σοῦ, ἀστέρων προπόλευμα “σέθεν χάριν οὐκ ἐλοχεύθη.”

Δρούσου θυγάτηρ Ἰουλία γαμετὴ ἦν Νέρωνος τινὸς, ἐξ οὗ καὶ παῖδα Τιβέριον εἶχεν, εἶτα ϛ̄ μηνῶν ἐγγύου οὔσης ἠναγκάσθη Νέρων ὁ ταύτης ἀνὴρ, εἴτε ὑπὸ τοῦ πρώτου Καίσαρος, εἴτε ὑπὸ τοῦ Ὀκταυΐου, ἐκδοῦναι αὐτὴν αὐτῷ ὡς πατήρ· τεκούσης οὖν μετὰ τρεῖς μῆνας τοῦ γάμου, τὸ μὲν τεχθὲν Νέρωνι τῷ πατρὶ ἀπέπεμψεν· ἐντεῦθεν δὲ αἴτιος γέγονε τοῦ λέγεσθαι παροιμίαν, “τοῖς εὐτυχοῦσι καὶ τρίμηνα παιδία.” οὗτος τοσοῦτον ὑπὸ πάντων ἠγαπᾶτο, ὥστε καὶ τελευτῶν τις ἐκέλευσε τοῖς ἑαυτοῦ κληρονόμοις θῦσαι, ὅτι ζῶντα τὸν Σεβαστὸν καταλείπει. δυστυχήσας δὲ περὶ γάμον καὶ τὰ εἰς παῖδας ἐκβεβηκότα, ἐβόα,

Αἴθ' ὤφελον ἄγαμός τ' ἔμεναι ἄγονός τ' ἀπολέσθαι·

περὶ δὲ ὀρθογραφίαν ἐσπουδάκει, ὥστε καὶ διάδοχόν τινα τινὶ[17] τῶν ἀρχόντων ἔπεμψεν, ὅτι αὐτῷ ἐπιστέλλων τῆς ὀρθῶς ἐχούσης ἐσφάλη γραφῆς.

Ταῦτα ποτὲ δικάζοντος, καὶ πολλῶν θάνατον καταψηφισα-

[17] Sic.

μένου, Μηκίνας τις ἀνὴρ σοφὸς ἀγαπώμενος ὑπ' αὐτοῦ μὴ δυνάμενος ἐντυχεῖν αὐτῷ διὰ τὸ πλῆθος, ἔγραψεν ἐν χάρτῃ "ἀνάστηθι "δήμιε," καὶ σημηνάμενος ἔῤῥιψεν ἐν τῷ κόλπῳ αὐτοῦ· ὅπερ ἀναγνοὺς ἐκεῖνος ἀνέστη, καὶ ἐκέλευσεν ἀργῆσαι τὰ κριθέντα. Τινὸς ποτὲ τῶν συστρατευσαμένων αὐτῷ δεηθέντος τῆς εἰς τὸ βουλευτήριον αὐτοῦ παρουσίας, εἶπεν αὐτὸς μὲν ἀσχολεῖσθαι, ἐπιτρέψαι δέ τινι τῶν φίλων παραγενέσθαι, καὶ τὴν χρείαν πληρῶσαι· καὶ ὃς ὀργισθεὶς ἔφη, "ἐγὼ μέν τοι ὁσάκις τῆς "ἐμῆς ἐπικουρίας ἐδεήθης, οὐκ ἄλλον ἀντ' ἐμοῦ ἔπεμψα." ἐρυθριάσας οὖν ὁ Καῖσαρ, καὶ συναπῆλθε καὶ συνέπραξε.

Μανιώδης δὲ ἦν περὶ τὰς ἀλλοτρίας γυναῖκας, ὡς καὶ τοὺς ἄνδρας αὐτῶν ἐξυπηρετεῖν τῷ μιάσματι. ἡνίκα γὰρ ἤρχετό τις τῶν βουλευτῶν πρὸς αὐτὸν, ὡραίαν ἔχων γυναῖκα, ἔπεμπε πρὸς αὐτὸν τὸν οἰκεῖον δακτύλιον, καὶ ἠξίου ἐμβαλεῖν τὴν γαμετὴν ἐν τῷ καταστέγῳ φορείῳ, καὶ κατασημηνάμενον αὖθις τὸν δακτύλιον ἀντιπέμψαι, καὶ οὕτως δεχόμενος τὴν γυναῖκα ἐν τῷ φορείῳ ἀσελγαίνων ἐσφράγιζε καὶ ἀνταπέστελλε. ποτὲ γοῦν ἐκέλευσε τινὶ τὴν ὁμευνέτιν[18] αὐτῷ πέμψαι· ὁ δὲ μὴ δυνάμενος ἀντειπεῖν, ἀπωδύρετο. ἐπιστὰς δὲ ὁ Ἀθηνόδωρος ὁ Ἀλεξανδρεὺς, ὃν ὡς σοφὸν ἀεὶ σύνοικον καὶ διδάσκαλον ἔσχεν ὁ Καῖσαρ, καὶ τὴν αἰτίαν μαθὼν, ἑαυτὸν ᾔτησεν ἐμβαλεῖν τῷ φορείῳ, καὶ κατασημηνάμενον ἀποστεῖλαι γυμνὸν ξίφος ἐπιφερόμενον. ἀπαχθέντος δὲ δοκῶν ὁ Καῖσαρ τὴν τοῦ συγκλητικοῦ εἶναι γυναῖκα, κλείσας τὰς θύρας ἀνέῳξε τὸ φορεῖον, καὶ ἐξέθορε ξιφήρης ὁ Ἀθηνόδωρος, καὶ πάνυ τὸν Καίσαρα κατέπληξε· δεδιότα[19] δὲ αὐτὸν ἀνακτησάμενος ἐκεῖνος τοῖς μεγίστοις ὅρκοις κατέδησε[20], μηδέποτ' ἄλλοτε τοῦτο πρᾶξαι· ὃν τοσοῦτον ὑπερηγάπησεν, ὥστε τὴν σύγκλητον συναγαγὼν καὶ πολλὰ τὸν Ἀθηνόδωρον ἐγκωμιάσας, καὶ τοῦτο προσέθηκεν, ὡς κακὸν βίον ἐσχηκὼς ὑπὸ Ἀθηνοδώρου ἐπηνωρθώθη.

Οὗτος ὁ φιλόσοφος ἠξίου τὸν Καίσαρα συγχωρῆσαι αὐτῷ εἰς τὴν πατρίδα ἐπανελθεῖν. καὶ μόλις πείσας, ἀσπαζόμενος αὐτὸν, ἐπικύψας πρὸς τὸ οὖς παρεκάλει ἵνα ὁσάκις ὀργισθῇ, μὴ πρότερον κελεύσῃ τὸ πρακτέον, πρὶν ἂν καθ' ἑαυτὸν ἀριθμήσῃ τὰ γράμ-

18 Cod. ὁμευνίτην. 19 Cod. δεδιόντα. 20 Cod. κατέδυσε.

ματα· ᾔδει γὰρ αὐτοῦ τὸ ὀξύθυμον καὶ εὐμετάβλητον. ὁ δὲ Καῖσαρ ἀσπαζόμενος ἔφη, "εὖγε ὑπέμνησάς με, ὡς ἀτελὴς "εἰμὶ, καὶ οὐ συγχωρήσω σοι τέως τῆς ἐνεγκαμένης ἐπιβῆναι." Παρεγγύησεν ὁ Καῖσαρ ἵνα ἐν τῇ τελευτῇ αὐτοῦ κροτήσωσι καὶ γελάσωσιν, ὡς ἐπὶ μίμου[21] τελευτῇ· δηλονότι ἀποσκώπτων εἰς τὸν ἀνθρώπινον βίον.

Γάϊος τὰς δύο ἀδελφὰς αὐτοῦ διεπαρθένευσεν. ἰδὼν δὲ πηλὸν ἐν στενωπῷ, ἐκέλευσεν ἀχθῆναι Οὐεσπασιανὸν ὄντα καὶ ἐμβληθῆναι τὸν πηλὸν εἰς τὸν κόλπον αὐτοῦ. οὗτος κυβεύων ποτὲ ἐν Γαλλίαις, καὶ μαθὼν ὡς οὐκ ἔστιν αὐτῷ ἀργύριον, ἀναστὰς ἐκέλευσε πολλοὺς πλουσίους ἀναιρεθῆναι· καὶ ἐλθὼν πρὸς τοὺς συγκυβευτὰς εἶπεν, "ἐν ᾧ ὑμεῖς[22] πρὸ ὀλίγου φιλονεικεῖτε, ἐγὼ "πλῆθος χρημάτων συνήγαγον." Ἐλέγετο δὲ Καλλιγούλας, ὅτι ἐκ μικρᾶς ἡλικίας ἐν τῷ στρατοπέδῳ τὰ πολλὰ ἐτρέφετο, καὶ τοῖς στρατιωτικοῖς ἐχρῆτο ὑποδήμασιν· ἐκ τῶν καλλίγων οὖν Καλλιγούλας ἐλέγετο.

Κλαύδιος[23] δειλὸς ὢν πάντας τοὺς προσιόντας αὐτῷ ἀνερευνᾶσθαι, μήτι ξιφίδιον ἔχωσιν, καὶ ἐν τοῖς συμποσίοις ὡπλισμένοι παρεστήκεσαν αὐτῷ. Νέρων ἰδὼν τοὺς ἀναιρήσοντας αὐτὸν, παρακάλει τοὺς συνόντας ἀνελεῖν αὐτόν· ὡς δ' οὐδεὶς ὑπήκουεν, ἑαυτὸν διεχρήσατο· τελευτῶν δὲ ἔφη, "ὦ Ζεῦ οἷος κιθαρῳδὸς τεχνίτης "ἀπόλλυται." Ὅτε δὲ ἐτέχθη εἶπον οἱ ἀστρολόγοι, ὅτι καὶ βασιλεύσει καὶ τὴν μητέρα φονεύσει· ἦν δὲ καὶ λόγιος

ἔσχατος Αἰνεάδων μητροκτόνος ἡγεμονεύσει.

Οὐϊτίλλιος μῆνας ὀκτὼ ἡμέρας πέντε. Οὐϊτίλλιος ἔθηκε πρόγραμμα τοὺς γόητας καὶ ἀστρολόγους ἐντὸς ῥητῆς ἡμέρας ἀπαλλαγῆναι τῆς Ἰταλίας, καὶ αὐτοὶ νυκτὸς ἀντιτεθείκασι πρόγραμμα παραγγέλλοντες, ἀπαλλαγήσεσθαι τοῦ βίου ἐντὸς ἡμέρας, ἐν ᾗ τελευτᾷν ἔμελλεν. Οὐεσπασιανὸς ἔτη δέκα. Οὐεσπασιανοῦ τελευτήσαντος οἶνος ἐν καπηλείῳ τινὶ τοσοῦτον ὑπὲρ τὸ ἀγγεῖον ἐξεχύθη, ὡς καὶ εἰς τὴν ὁδὸν προχωρῆσαι. Δομετιανὸς ἔτη πέντε. προεῖπεν ἀστρολόγος καὶ πότε καὶ ὅπως τεθνήξεται. ἠρώτησεν οὖν αὐτὸν ἐκεῖνος, ποίῳ τέλει αὐτὸς χρήσεται· καὶ εἰπόντος, θέλων ἀπελέγξαι

21 Cod. μίμα. 22 Cod. ἡμεῖς. 23 Cod. Κλαύδειος.

αὐτὸν ψευδόμενον, ἐκέλευσε ζῶντα καυθῆναι, ἀχθέντος δὲ πυρὸς, ὑετὸς πολὺς καταῤῥαγεὶς τὴν πυρὰν ἔσβεσε, καὶ κύνες ὀπίσω τὼ χεῖρε δεδεμένου τοὺς δεσμοὺς διεσπάραξαν. Δομετιανὸς δὲ εἶδε πρὸ μιᾶς ἡμέρας τοῦ θανάτου αὐτοῦ, ὡς ἵππῳ μέλανι ἐπεκάθητο ἔνοπλος· καὶ πεσόντων αὐτομάτως ἐξ αὐτοῦ τῶν ὅπλων σὺν τῷ ἵππῳ εἰς τὸ χάσμα κατηνέχθη. Λάργιος δὲ Πρόκλος ἐν Γερμανίᾳ προεῖπε δημοσίᾳ τὴν ἡμέραν ἐν ᾗ ὁ βασιλεὺς τεθνήξεται· διὸ δέσμιος Δομετιανῷ εἰς Ῥώμην ἐπέμφθη. καὶ εἶπεν αὐτῷ εἰς ὄψιν τὸ αὐτό. ὁ δὲ ἐκέλευσεν αὐτὸν φυλαχθῆναι, ὡς ἂν τῆς ἡμέρας ἐκείνης διαδραμούσης ἀναιρεθῇ· ἀλλὰ θανόντος τοῦ βασιλέως ἀπελύθη ἀβλαβής.

Πρὸ Δομετιανοῦ Τίτος πρεσβύτερος ἀδελφὸς αὐτοῦ, ἔτη δύο, μῆνας ὀκτὼ, ἡμέρας κ. Νέρβας ἔλεγεν, ὡς οὐδὲν τοιοῦτον πεποίηκα, ὥστε μὴ δύνασθαι τὴν ἀρχὴν καταθέσθαι, καὶ ἀσφαλῶς ἰδιωτεῦσαι. καί τισι δὲ ἔδωκε ξίφη, λόγῳ μὲν ἵνα ἐπισκέψωνται αὐτὰ εἰ ὀξέα εἰσὶν, ἔργῳ δὲ ἐνδεικνύμενος, ὡς οὐδὲν αὐτῷ μέλει κἂν παραχρῆμα ἀποθάνῃ. οὗτος ἀπηγόρευσεν ἐκτέμνειν ἐν Ῥώμῃ. Ἀδριανὸς Σίμιλον[24] τινὰ, ἄνδρα φρονήσει καὶ ἐπιεικείᾳ κεκοσμημένον, ἠνάγκασε τὴν ἀρχὴν τῶν δορυφόρων παραλαβεῖν, καὶ μόλις μὲν, ἔπεισε δ' οὖν. ὀλίγον δὲ ἐπισχὼν καὶ δεηθεὶς, ἐξέστη τῆς ἀρχῆς, καὶ ἐν ἀγρῷ ἔτη ζ̄ διαγαγὼν τελευτᾷ, ἐπιγραφῆναι προστάξας ἐν τῷ μνημείῳ αὐτοῦ· Σίμιλος[25] ἐνταῦθα κεῖται, βιοὺς μὲν ἔτη ν̄, ζήσας δὲ ἔτη ζ̄. ἐγένετο δὲ μετὰ θάνατον Ἀδριανῷ τηλικοῦτον ἄγαλμα μετὰ τεθρίππου, ὥστε διὰ τοῦ ὀφθαλμοῦ ἑκάστου ἵππου παχύτατον ἄνδρα διιέναι· οἱ δὲ ἐν γῇ βαδίζοντες, ἐκ τῆς ὑπερβολῆς τοῦ ὕψους τοῦ κτίσματος, αὐτοὺς δὲ τοὺς ἵππους βραχυτάτους, καὶ τὸν Ἀδριανὸν νομίζουσι.

Μάρκος ἔτη ι̅θ̅. πρὸ τοῦ Μάρκου Τίτος Αὐρήλιος Φοῦλβος Βοτώνιος. Ἀντωνῖνος Πῖος, ὁ κληθεὶς εὐσεβὴς, ἔτη κ̅δ̅. Μάρκος Ἀντωνῖνος, ἐν πολέμῳ τῶν δημοσίων ἐξηντλημένων ταμείων, πράξασθαι μὲν χρήματα παρὰ τὸ σύνηθες οὐκ ἠνέσχετο, πάντα δὲ τὸν βασιλικὸν κόσμον ἐπ' ἀγορᾶς ἀγαγὼν πρὸς χρυσίον ἀπέδοτο. καταστάσης δὲ τῆς βαρβαρικῆς κινήσεως, τοῖς μὲν ἑκούσιον ποιουμένοις τὴν τῶν βασιλικῶν σκευῶν ἀνάδοσιν, τὸ αὐτὸ μέτρον τῆς

24 Cod. Σιμίλιον. 25 Cod. Σίμιλις.

τιμῆς ἀπεδίδου, τοὺς δὲ μὴ θέλοντας οὐκ ἠνάγκαζε. τούτῳ ἡ βουλὴ μετὰ τελευτὴν χρυσοῦν ἀνδριάντα ἔστησεν διὰ τὴν ἀρετὴν αὐτοῦ. Μετὰ Μάρκον ὁ υἱὸς αὐτοῦ Κόμμοδος ἔτη ιγ̅. μετὰ Κόμμοδον Περτίναξ μῆνας ϛ̅. μεθ' ὃν Δίδιος Ἰουλιανὸς ἡμέρας ξ̅. Σεβῆρος ἔστειλε γράμματα εἰς Ῥώμην ὑπαντῆσαι αὐτῷ τοὺς στρατιώτας. συνελθόντας δὲ ὠνείδισεν, εἰπὼν, ὅτι καὶ κἂν μὴ αὐτοὶ ἐγένοντο αὐτόχειρες Περτίνακος τοῦ βασιλέως, ἀλλὰ δέον αὐτοὺς ἀνελεῖν τοὺς ἀποκτείναντας ἐκεῖνον· τοῦτο μὴ ποιήσαντες ὑπ' αἰτιάσιν εἰσὶ φόνου· ἐπὶ φυλακῇ γὰρ βασιλικῇ ταχθέντες, ἔφη, οὐκ ἐν τῷ ἀριστερῷ μέρει τὰ ξίφη διαζώννυσθε, ἀλλ' ἐν τῷ δεξιῷ· καὶ ἀπολαβὼν τὰ ὅπλα καὶ τοὺς ἵππους, ἀπεδίωξεν αὐτούς. εἷς δὲ στρατιώτης, οὐκ ἀνασχομένου τοῦ ἵππου ἀπολιπεῖν αὐτὸν, ἀλλ' ἀκολουθοῦντος καὶ χρεμετίζοντος, ὑπεραλγὴς γενόμενος, τὸν ἵππον ἀπέσφαξε καὶ ἑαυτόν. οὗτος ὁ βασιλεὺς τὸ Βυζάντιον παραλαβὼν τὰ τείχη καθεῖλεν. εἶχε δὲ πύργους ἑπτὰ ἐκ τῶν Θρᾳκῶν πυλῶν ἀρχομένους, καὶ ἐπὶ τὴν ἀρκτῴαν καθήκοντας θάλασσαν. καὶ τούτων εἴτις ἐν ἑτέρῳ πύργῳ προσῆλθεν, οὐδεμία αἴσθησις τοῖς ἄλλοις ἐγενέτο· εἰ δὲ ἐν τῷ πρώτῳ ἀνεβόησεν ἢ λίθον ἔβαλεν, αὐτός τε ἤχει, καὶ σιωπήσας τῷ δευτέρᾳ μετεδίδου τῆς ἠχοῦς, καὶ εἶτα τῷ τρίτῳ, καὶ ἐφεξῆς.

Ἀντωνῖνος ἔτη ϛ̅, μῆνας β. μετὰ Ἀντωνῖνον τὸν Καράκαλλον Μακρῖνος ἔτος α, μεθ' ὃν Βασιανὸς, ὃν ὡς ἱερωμένον ἥλιον, ὃν Φοίνικες Ἐλεάβαλον λέγουσιν, Ἡλιογάβαλον ἔλεγον. ὠνομάσθη δὲ Ἀντωνῖνος, ὡς τοῦ Καρακάλλου λεγόμενος εἶναι υἱὸς, καὶ ἐκράτησεν ἔτη ϛ̅· μεθ' ὃν Ἀλέξανδρος ὁ Μαμαίας, ἐξάδελφος αὐτοῦ, ἔτη ιδ. μετὰ Ἀλέξανδρον Μαξιμῖνος. Ἀντωνίῳ τῷ Καρακάλλῳ Σεραπίων ὁ μάγος εἶπεν, ὡς τεθνήξεται, καὶ Μακρῖνος αὐτὸν διαδέξεται, δείξας αὐτὸν τῷ δακτύλῳ. ὁ δὲ ὑπὸ θυμοῦ, μᾶλλον δὲ ὑπὸ τύχης, ἕτερον ὑπονοήσας, ἀνεῖλεν ἐκεῖνον. τούτου τὴν τελευταίαν ἔξοδον ἀπὸ Ἀντιοχείας ποιουμένου, ξιφήρης ὁ πατὴρ ἐπέστη λέγων, "ὡς "σὺ τὸν ἀδελφὸν ἀπέκτεινας, κἀγὼ σέ." ἀπέκτεινε γὰρ οὗτος τὸν μικρὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ κόλπῳ τῆς μητρὸς, ὕστερον δὲ καὶ αὐτὸς ἐσφάγη.

Γάλλου[26] βασιλεύσαντος ιε̅ ἔτη, ἐκράτησε λοιμὸς, κινηθεὶς ἀπὸ

26 Cod. Γάλου.

Αἰθιοπίας ἕως τῆς δύσεως· μετεδίδοτο δὲ ἀπὸ ἱματίων καὶ ψιλῆς θέας· καὶ οἱ Σκύθαι περάσαντες τὸν Ἴστρον ἔλαβον φ̄ πόλεις. τὰς γυναῖκας βουλομένας ἐγκύους γενέσθαι λέγουσι πίνειν ἀπὸ τοῦ Στρυμόνος ποταμοῦ καὶ κύειν. Πρόβου ἀρχθέντος[27], βροχὴ γέγονε σῖτον κατάγουσα, ὃν συναγαγόντες σωροὺς μεγάλους ἐποίησαν. Ἐπὶ Αὐρηλιανοῦ ψεκάδες ἀργυραῖ κατηνέχθησαν. Νουμεριανὸς τυφλωθεὶς ἐν κεκαλυμμένῳ φορείῳ ἀπὸ Περσίδος ἐβαστάζετο· ὃν λάθρα ἀνεῖλεν ὁ πενθερὸς, καὶ ἔλαθεν νεκρὸς φερόμενος ἕως ἐκ τῆς δυσωδίας ἐδηλώθη. Καρῖνος ὠμότατος ἦν· ὃς καὶ τοὺς ποτὲ ἐν τῷ παιδευτηρίῳ σκώψαντας εἰς αὐτὸν ἠμύνατο. Θρίαμβος ὠνομάσθη ἀπὸ τῶν πρώτων ἐπῶν τῶν εἰς τὸν Διόνυσον, θρίασιν γὰρ τὴν τῶν ποιητῶν μανίαν φασίν· ἢ ἀπὸ τῶν θρίων τῶν φύλλων τῆς συκῆς ἀνακειμένης Διονύσῳ· πρὶν γὰρ ἐπινοηθῆναι τὰ προσωπεῖα, συκῆς φύλλοις τὰ ἑαυτῶν ἐκάλυπτον πρόσωπα, καὶ δι᾽ ἰάμβων ἀπέσκωπτον. ἐποίουν δὲ τοῦτο καὶ οἱ στρατιῶται, καὶ εἰς τοὺς θριαμβεύοντας ἔσκωπτον.

Διοκλητιανὸς καὶ Μαξιμιανὸς μὴ δυνηθέντες περιγενέσθαι τοῦ Χριστιανισμοῦ, καὶ μανέντες, τὴν βασιλείαν κατέθεντο. καὶ Διοκλητιανὸς μὲν δώδεκα ἔτη πρωτεύσας ἀπέθανε· Μαξιμιανὸς δὲ βουληθεὶς πάλιν ἀναλαβέσθαι τὴν βασιλείαν, καὶ ἀποτυχὼν, ἀπήγξατο. Κωνσταντῖνος ὁ μέγας λίθους πολυτελεῖς πέμψας τοῖς πέρας Ἴστρου ἔθνεσιν, ἐπέγραψε, "τῷ μείζονι τὸ δῶρον·" τοῦτο γέγονεν αὐτοῖς αἴτιον ἀπωλείας. Ἰουλιανὸς Καῖσαρ προβληθεὶς εἶπεν,

ἔλλαβε πορφυρέος θάνατος καὶ μοῖρα κραταίη.

ὡς καὶ τοῦ ἀδελφοῦ αὐτοῦ ἐν τούτῳ τῷ σχήματι ἀπολωλότος. Κωνσταντῖνος πρὸ ὀλίγων ἡμερῶν τῆς αὐτοῦ τελευτῆς ἔδοξε κρατεῖν σφαίραν, ταύτην δὲ παῖδα τινὰ προσελθόντα ἁρπάζειν ἐκ τῶν χειρῶν αὐτοῦ.

Ἀδαρνάσης παιδίον ὢν ἠρωτήθη ὑπὸ τοῦ ἰδίου πατρὸς Ναρσαίου, βασιλέως Περσῶν, εἰ καλὴ εἴη ἡ σκηνὴ ἡ προσαχθεῖσα αὐτῷ ἐκ δερμάτων Βαβυλωνίων· ὁ δὲ εἶπεν, ὡς εἰ καὶ κρατήσει τῆς βασιλείας, καλλίονα ταύτης ποιήσει ἐξ ἀνθρωπίνων δερμάτων· καὶ κρατήσας ἐξέπεσε τῆς βασιλείας· ἔχων δύο ἀδελφοὺς, ὧν τὸ μὲν

27 Sic.

ἕνα Σάπωρον κρατήσας, ἐτύφλωσε, τὸν δ' ἕτερον Ὁρμίδην εἶχεν ἐν φυλακῇ· οὗ ἡ μήτηρ, συνειδυίας καὶ τῆς αὐτοῦ γυναικὸς, δεσμοὺς σιδηροὺς τέχνῃ τινὶ κατασκευάσασα μαργαρίτων ἔσωθεν ἐνέπλησε, καὶ δεηθεῖσα τῶν φυλάκων, τοὺς μὲν προτέρους δεσμοὺς ὡς βαρεῖς ἀφείλετο, ἐκείνους δὲ ἐπιτέθεικεν, ὡς ἂν εἰ δυνηθείη φυγεῖν, ἄνευ βάρους πλοῦτον ἐπιφέροιτο. ἡ δὲ γυνὴ αὐτοῦ ῥινίον αὐτῷ δέδωκεν, καὶ δειπνίσασα τοὺς φύλακας ὑπνῶσαι ἐποίησεν. ὁ δὲ καιρὸν εὑρὼν ἐπιτήδειον τὰ δεσμὰ ῥήξας ἔφυγε, καὶ ἵππῳ χρησάμενος κατὰ διαστήματα ἐν σχήματι δουλικῷ παρὰ Λικιννίου φιλοτίμως ὑπεδέχθη. ἦν δὲ ἀκοντιστὴς τοιοῦτος, ὥστε ἐκεῖνον μόνον ἀναίμακτον λέγεται ἐσχηκέναι τὸ δόρυ, ὃ μετὰ ταῦτα ἐν εἰκόνι κατέχων ἐγράφη.

Ἰουλιανὸς ὡράθη τισὶ συναιρεσιώταις αὐτοῦ ὑπὲρ πελάγους ἀπείρου καὶ ἀγρίου ἐν τῷ ἀέρι κρεμάμενος, εἰς τὴν θάλασσαν ἀεὶ πεσεῖσθαι προσδοκῶν, καὶ σιδηροῦς κόραξ εἴχετο αὐτοῦ τοῖς ὄνυξι, ῥάμφει δὲ σιδηρῷ τὴν αὐτοῦ κορυφὴν ἀπαύστως ἔπληττεν. οὗτος ἐλθὼν εἰς Ταρσὸν, εὐδαίμονα τινὰ μονόφθαλμον ἱερέα Ἀσκληπιοῦ διὰ τὴν τυφλότητα αἰσχυνόμενον ὁραθῆναι αὐτῷ, ἀναζητήσας, τὸν ἠτυχηκότα ὀφθαλμὸν αὐτοῦ ἐνώπιον πάντων κατεφίλησε.

Νουμεριανὸς κατηγορεῖτο ὑπὸ τινὸς ὡς κεκλοφὼς δημόσια χρήματα· ὁ δ' ἔξαρνος ἦν· ὁ δὲ κατήγορος οὐκ ἔχων ἐλέγχους, καὶ τίς ἔφη, "βασιλέων ἄριστε τῶν ὑπαιτίων δίκην ὑπόσχῃ, εἰ πρὸς "ἐκφυγεῖν τὸ ἀρνηθῆναι μόνον ἀρκεύει." ὁ δὲ Ἰουλιανὸς, "καὶ "τίς," ἔφη "ἀναίτιος εὑρεθήσεται, εἰ ὁ κατήγορος ἐλέγχων χωρὶς "πιστεύοιτο." Ἰοβιανὸς ἠκολούθει ποτὲ Ἰουλιανῷ, καὶ συμβὰν οὕτω τὴν χλαμύδα αὐτοῦ ἐπάτησεν. ὁ δὲ στραφεὶς πρὸς αὐτὸν, καὶ ὥσπερ ἑρμηνεύων τὸ μέλλον εἶπεν, "εἴθε γοῦν ἄνθρωπος ἦν." καὶ μετὰ θάνατον αὐτοῦ Ἰοβιανὸς αὐτὸν διεδέξατο.

Οὐαλεντινιανὸς ὁ μέγας. Οὐαλεντινιανῷ προσῆλθε γυνὴ χήρα, τῆς οὐσίας αὐτῆς ὑπὸ Ῥοδάνου πραιποσίτου ἁρπαγείσης· ὁ δὲ ἐπέτρεψε Σαλουστίῳ κρῖναι αὐτὴν, καὶ κατεκρίθη ὁ Ῥοδανὸς ἀποδοῦναι τὰ ἁρπαγέντα. ὡς δ' οὐκ ἐπείθετο, καὶ ἡ γυνὴ ὤχλει, ἔκαυσεν αὐτὸν ἐν τῷ ἱπποδρόμῳ ὁ βασιλεύς.

Πλακιδία εἶχε δύο στρατηγοὺς, ὧν τῷ μὲν ἐνὶ Βονιφακίῳ τὴν Λιβύην ἐπέτρεψεν, Ἀέτιον δὲ παρακατέσχεν. ἐφθόνησεν Ἀέτιος

καὶ ἔγραψε Βονιφατίῳ, "ὅτι ἡ βασίλισσα ἔχει κατὰ σοῦ, καὶ τούτου σημεῖον, ὅτι μετακαλέσεταί σε ὑπ' οὐδεμιᾶς αἰτίας. ἐὰν "οὖν γράψῃ σοι ἐλθεῖν, μὴ ὑπακούσῃς, ἀναιρήσει γάρ σε." εἶτα κατῆλθε τὴν βασίλισσαν λέγων, ὡς ἀποστασίαν μελετᾷ ὁ Βονιφάτιος. καὶ τοῦτο γνώσῃ σαφῶς, ἐὰν γὰρ μετακαλέσῃ, φησὶν, αὐτὸν, οὐκ ἐλεύσεται. καὶ ἐπεὶ ἔγραφεν αὐτῷ ἐλθεῖν ἡ βασίλισσα, ἀληθῆ νομίσας ἐκεῖνος τὰ ὑπὸ Ἀετίου αὐτῷ μηνυθέντα, τὴν Λιβύην ἐνεχείρισε Γότθοις,[28] καὶ οὐδὲ ἐκεῖνος ἐλθεῖν ἐπείθετο. ὕστερον δὲ σταλέντων τινῶν πρὸς αὐτὸν, καὶ συμβάσεως γενομένης, τὸ ψεῦδος ἠλέγχθη. κακεῖνον μὲν πλέον ἠγάπησεν ἡ βασίλισσα, τὸν δ' Ἀέτιον ἐμυσάττετο μὲν τοιαῦτα ῥαδιουργήσαντα, οὐ μέν τοι δρᾶσαι τι κακὸν ἠδυνήθη. τὴν Λιβύην, οὔπετ' ἴσχυσεν ἐξ ἐκείνου ἐπανασώσασθαι.

Οὐαλεντινιανὸς μικρὸς οὐχ ὁ τοῦ μεγάλου Οὐαλεντινιανοῦ υἱὸς, ἦν αὐτῷ ἐκ τῆς δευτέρας γαμετῆς, ἣν ἐπέγημεν ἔτι ζούσης τῆς αὐτοῦ γυναικὸς, ἀλλ' ὁ υἱὸς Κωνσταντίνου Κόμητος τοῦ τιμηθέντος εἰς βασιλείαν Ῥώμης παρὰ Ὀνωρίου τοῦ βασιλέως καὶ Πλακιδίας ἀδελφῆς Ὀνωρίου καὶ Ἀρκαδίου τῶν βασιλέων.

Οὐαλεντινιανὸς ἐρασθεὶς τῆς γυναικὸς Μαξίμου συγκλητικοῦ συνεπέττευεν αὐτῷ· ἐπεὶ δὲ ἡττήθη ὁ Μάξιμος, καὶ οὐκ εἶχεν ὅτι δοίη, ἔλαβεν ὁ βασιλεὺς τὸν δακτύλιον αὐτοῦ, καὶ ἀναστὰς ὡς ἐπιδίδωσι τὸν δακτύλιον τινὶ συνήθει Μαξίμου, ὥστε ἀπελθόντα ὑποδεῖξαι τῇ γυναικὶ αὐτοῦ, ὡς τοῦ ἀνδρὸς κελεύσαντος ἥκειν εἰς τὰ βασίλεια συνδειπνήσουσαν τῇ αὐτοῦ. ἡ δὲ ἀληθὲς τοῦτο νομίσασα ἧκε, καὶ μηνυθὲν τῷ βασιλεῖ ἀνέστη, καὶ ἀγνοοῦντος τοῦ Μαξίμου, συνεφθάρη αὐτῇ. μετὰ δὲ τὴν παιδιὰν ἐλθόντι ὑπαντιάζει ἡ γυνὴ κλαίουσα, καὶ ὀνειδίζουσα αὐτὸν ὡς προδότην αὐτῆς· ὁ δὲ μαθὼν τὸ πᾶν ἐνεῖχε τὸν βασιλέα. εἰδὼς δὲ ὡς ζῶντος τοῦ Ἀετίου οὐ δυνήσεται τιμωρῆσαι αὐτὸν, παρεσκεύασε διὰ τῶν εὐνούχων τὸν βασιλέα ἀνελεῖν αὐτὸν δῆθεν ὡς ἐπίβουλον. ἐπεὶ δὲ ἀνῃρέθη, εἶπεν ὁ βασιλεὺς πρὸς τινὰ τῶν στοχάζεσθαι δυναμένων· "οὐ καλῶς μοι ὁ θάνατος Ἀετίου εἴργασται;" ὁ δὲ, "εἰ καλῶς" φησὶν, "ἢ μὴ, οὐκ οἶδα, γιγνώσκω δὲ ὅτι τῇ λαιᾷ χειρὶ τὴν "δεξιάν σου ἀπέκοψας[2]."

28 Cod. γόττοις. 29 Cf. Suid. v. Θλιάδας.

Οὗτος οὖν ὁ Μάξιμος ἔρημον Ἀετίου τὸν βασιλέα εὑρὼν, ἀπέκτεινε, καὶ τῇ βασιλίδι Εὐδοξίᾳ συνῆλθεν. ἦν δὲ αὐτὴ Εὐδοξία θυγάτηρ τοῦ μικροῦ Θεοδοσίου βασιλέως. δοκῶν δὲ εἰς εὔνοιαν ἐφελκύσαι αὐτὴν φησὶν "ὅτι διὰ τὸν πρός γε[13] ἔρωτα αὐθέντης "Οὐαλεντινιανοῦ γέγονα·" ἡ δὲ ἐλευθερογνώμων οὖσα, καὶ λογισαμένη ὡς "φεῦ, εἰ παραίτιος ἐγὼ τῆς τοῦ συννεύνου καὶ βασιλέως τελευτῆς," γράφει Γιζερίχῳ ἤδη Λιβύην κατέχοντι, διὰ τάχους ἐλθεῖν καὶ τὴν Ῥώμην παραλαβεῖν. ὁ δὲ ἐλθὼν τὴν πόλιν εἷλε, καὶ Εὐδοξίαν καὶ τὴν θυγατέρα αὐτῆς. Μάξιμος δὲ μισηθεὶς διὰ τὸν βασιλέως φόνον διώκεται καὶ ῥᾳδίως ἀναιρεῖται.

13 Leg. πρός σε.

# INDEX HISTORICUS.


AARON Arabum præfectus, 365, 2.
Abdamonus vel Abdumenus, 185, 10. 186, 11.
Abdon vel Labdon Judex Israelis, 196, 12.
Abibalus Rex Tyriorum, 185, 11.
Abimelech Arabum præfectus, 344, 15.
Abimelech Judex Israelis, 191, 7.
Ablabius ejus dictum ad Neronem, 280, 16.
Aborigines Latii, 161, 16.
Abraham Chaldæus fuit, 166, 12.
Abubacharus Mohamedæ successor, 339, 6.
Acrisius ultimus Rex Argivorum, 191, 14.
Adamus ejus status in Paradiso, 166, 22.
Adarnases Narsæi Persarum Regis filius, 398, 30.
Adauctus martyr, 90, 20.
Adherbal filius Micipsæ, 13, 7.
Adrianus Imperator, urbes ab eo fundatæ, 284.
Æneas ejus adventus in Italiam, 221–222.
Aetius a Valentiniano occisus, 7, 400. ejus præclara facta, 73–74.
Aetius alius, Zenone regnante Isauriæ præfectus, 82, 31.
Aetius protospatharius regnante Irene, 369.
Ægialeus primus Sicyoniorum Rex, 134, 13.
Ægisthus Agamemnoni insidias struit, 4, 5.
Æglon Judex Israelitarum, 189, 9.
Ægyptus prius Aeria appellata, 189, 27.
Æmilianus imperantibus Gallo et Volusiano res novas molitur, 57. 289, 21.
Æmon rex Thessaliæ, 188, 13.
Æsculapius quando medicinam exercebat, 259, 19.
Africanus Chronographus, 159, 10. πέντε χρονογραφιῶν συνάξας βιβλία, 177, 18. 178, 19. 187, 31. 288, 11. 379, 24.
Afrus Croni filius Rex Libyæ, 234, 31.
Agareni qui et Saraceni, 254, 18.
Agathoclea Ptolemæi uxor Arsinoen interemit, sed mox ipsa a populo trucidatur, 9, 28.
Agapetus Papa Romæ, 112, 31.
Agathus Abbas, 110, 24.
Agenor Phœniciæ Rex, 238, 24.
Agrippina Claudium veneno tollit, 23.
Aidoneus rex Molossorum, 382, 1.
Alamanni gens, 64, 7.
Alarichus a Rufino accitus, 67, 33.
Alcibiades martyr, 89, 18.
Alexander Magnus a Cassandro veneno interemptus, 8, 15. Tyrum et Gazam evertit.
Alexander Mammææ filius post

mortem Heliogabali Imperator fit, 47. sed ob desidiam a militibus contemptui habitus, iisque ad Maximinum deficientibus, cum matre trucidatur, 47–49. 287.
Alexander Zabina Syriæ Rex, 126, 18.
Alexander Episcopus Hierosolymæ, ejus Bibliotheca, 89, 26.
Alexander Episcopus Constantinopolis, 92, 6.
Alexianus qui et Alexander Mammææ filius, 45.
Alexius Musele Drungarius, 367, 3 et 29. 368, 6.
Alypia Anthemii filia, 78, 24.
Amaudrus sive Mandrus locus prope Trojam, 197, 20.
Amantius ὁ πραιπόσιτος, 318, 26.
Amazonum irruptio in Asiam, 228, 28.
Ambrosius Theodosium Imperatorem ab ecclesia arcet, 98, 9.
Amphion et Zethus musici, 190, 18.
Anagastes Thracum dux, 77, 9. novas res molitur, 77, 19.
Anastasia Tiberii uxor, 328, 4.
Anastasius Episcopus Nicææ, 106, 28.
Anastasius hæreticus Patriarcha, 354. 357. 358. 360.
Anastasius Imperator ὁ δίκορος, 315, 32. ejus lites cum Macedonio, 107. ejus mors, 108, 18. 317.
Anastasius Episcopus Theopolis, 111, 29.
Anatolius Laodiceæ Episcopus, 90, 10.
Anatolius Constantinop. Episcopus, 101, 25. 312, 5.
Anatolius alius regnante Theodosio juniore, 71, 28.
Anaxagorei, 381, 22.
Andragathius, 64, 8. ejus mors, 65, 2. Gratianum occidit, 304, 12.
Andriscus qui et Pseudophilippus, 132, 30.
Anegisclus Ἀνέγισκλος Anagastæ pater 77, 21.
Annas Judæorum pontifex, 88, 2.
Anonymi Chronographia ab initio mundi usque ad Oziam Regem Judæ, 165.
Antæus ejus cum Hercule in palæstra certamen, 382, 23.
Anthemius Imperator, 77, 8. morbo correptus in illos qui magicam exercebant sævit, 78, 10. Roma oppugnatus trucidatur, 78–79.
Anthimus Nicomediæ Episcopus, 90, 12.
Anthimus Episcopus Trapezuntis postea Constantinopolis, 110, 4.
Antigonus Gonatas, 131, 26.
Antigonus Physcus, 132, 7.
Antiochia Theopolis dicta 110, 9. 320, 26.
Antiochus Rex Syriæ cum Ptolemæo Ægypti rege bellatur, 9, 24. Sororem Xerxi Armeniæ regi nuptam dat, ib. Persarum regno potitur, ib.
Antiochus Theus, 10, 7. contra Ptolemæum bellum movet et eum devincit, 10, 15. 377, 32.
Antiochus (Epiphanes) Ptolemæum restituit, Hierosolymam capit, et multa ibi infesta molitur, 10, 22. 378, 10.
Antiochus Cyzicenus, 127, 7.
Antiochus Eupator patri succedit, 11, 2. a Demetrio necatur, 11, 8.
Antiochus Grypus qui et Philometor, 127, 4.
Antiochus Sidetes Demetrii filius bellum movens contra Arsacem Parthorum regem interficitur, 15, 10.
Antipater Ascalonita Palæstinæ præfectus, 274, 18.
Antoninus Pius Imperator, 284, 24.

Antoninus, Marcus, Imperator et Philosophus, 285.
Antoninus, vid. Caracalla.
Antoninus Heliogabalus post Macrinum Imperator creatus, 46. a militibus occiditur cum matre Soæmide, 47.
Antonius Marcus, Cæsaris interfectores Roma ejicit, 21, 24. ab Octavio Cæsare devictus, 275, 32.
Antonii Marci frater Perusia obsessus, 22, 5.
Antonius Monachus, 92, 1.
Aod Judex Israelitarum, 189, 16.
Apaturia festum unde dictum, 383, 9.
Apollinarius Episcopus Alexandriæ, 110, 22.
Apollinarius Laodicensis, ejus dogmata, 97, 24.
Apollodorus, ejus Chronologia de reditu Heraclidarum, 140, 11.
Apollonii Tyanensis Vaticinia de morte Titi, 27, 27. et Domitiani, 29.
Apsimarus qui et Tiberius Leontium Imperatorem regno pellit, sed mox ipse a Justiniano Rhinotmeto amovetur et capite mulctatur, 347. 348.
Aquileia Maximino obsessa et a civibus acriter defensa, 52. 282, 13.
Arabes Leontio regnante Africam invadunt, 345, 26.
Ararat mons Pisidiæ, 233, 10. 280, 19. Armeniæ, ibid.
Arbaces Medus Sardanapalum vincit, 230, 25.
Arbogastes Francus Bandonis filius, ejus atrox ingenium et violentia, 65, 28. Valentinianum juniorem interficit, 66. Eugenium ad imperium Occidentis promovet, 66, 22. a Theodosio prœlio victus se ipsum confodit, 67, 24.
Arcadia Pulcheriæ soror, 100, 12.
Arcadius sub Rufino tutore, 67, 28. imperator ab exercitu salutatur, 68, 17.
Arcas a quo Arcadia nominata, 189, 25.
Ardaburius Asparis filius a Theodosio contra Joannem mittitur, 71. 77, 28.
Areobindus, ejus certamen singulare cum Persa quem devincit, 309, 15.
Areopagi de Oreste judicium, 4, 25.
Argivorum Reges, eorum ordo ex Castore, 135–136.
Argonautarum expeditio, 194–196.
Argyrippa Calabriæ urbs a Diomede fundata, 216, 10.
Artabasdus Armeniorum præfectus, 351, 11.
Ariadne Zenonis uxor, 80, 9. 314, 3.
Arianus presbyter Constantini Magni testamenti custos 93–94.
Aristobulus Judæorum Rex, 159, 18. 273, 23.
Aristodemus Eleus, ejus Chronologia de Ludis Olympicis, 141, 21.
Aristoteles de origine Romæ, 162, 1.
Arius Ægyptius pugil, 154, 6.
Armatius sive Harmatius Zenoni imperatori insidias struit 314, 21.
Armorichiani (sic enim leg. pro Αἰμοριχιανοὺς), 73, 34.
Arsaces Rex Parthorum Antiochum Sidetem vincit, sed ipse bellum gerens contra Scythas perit, 15, 16.
Arsacius frater Nectarii Constantinopolis Episcopus, 99, 11. 307, 30.
Arsenius a Theodosio arcessitus, 305, 11.
Arsinoe ab Agathoclea interempta, 9, 30.

Artapanus quæ narravit de Moyse, 176, 25.
Artemidorus Trocundi ὑπασπίστης, 85, 1.
Artemius qui et Anastasius imperio potitus post Philippicum, 350–351.
Asia prius Epiropontus dicta, 208, 2.
Asmaël Phabæ filius pontifex Judæorum, 88, 3.
Aspalius pater Illi, 81, 7.
Aspar Ardaburii pater, 71. 77, 28.
Aspar Ardaburii filius, 76.
Aspion, 106, 25.
Assur Nini fundator, 170, 27.
Assyriorum Reges, eorum Chronologia ex Eusebio, 156.
Astynome Afri uxor, 234, 32.
Athanasius Alexandriæ Episcopus, 94, 22. eum Ariani aggrediuntur et falso accusant, ib. et 95, 29.
Athanasius Patriarcha Jacobitarum, 339, 20.
Atheniensium Reges, eorumChronologia, 137–139.
Athenodorus Alexandrinus philosophus, 276, 23.
Atlas, 188, 4.
Attalus martyr, 89, 21.
Atthis Cranai filia, 382, 4.
Atticus Episcopus, 99, 52. 310, 5.
Attila Romam aggredi parat, 72, 11.
Avares qui e patria migraverant legatos Constantinopolim mittunt, 114, 10.
Avitus qui et Heliogabalus, 287, 15. et Schol.
Avitus Imperator a Majorino Roma obsessus, 76.
Auleas tragœdias composuit τραγικοὺς χοροὺς δραμάτων συνεστήσατο, 227.
Aurelianus Imperator a suis interficitur juxta Heracleam, 58–59. 290, 16.
Aurelius Helicensis pugil. 155, 3.
Auriolus qui a Claudio desciverat captus necatur, 58, 22.
Azestus (Ἄζεστος fort. Ἄξεστος) locus vicinus Romæ, 75.
Babylas martyr Antiochiæ, 291, 28.
Babyloniorum Reges, 156.
Bacuagius sive Bactagius patricius, 358, 21 et 22.
Balbinus cum Maximo Imperator creatur, 52.
Baltasar Babyloniæ Rex, 270, 1.
Bandon Arbogastis pater, 65, 28.
Bandon alius fortasse ejus nominis, 72, 3.
Banes lacus Βανῆς λίμνη (*Van*) in Armenia, 365, 4.
Bardanes patricius, 370, 31.
Bardesanes Syrus, 284, 28.
Basilides hæreticus, 284, 22.
Basiliscus, 79, 28. 314.
Basilius cogn. Ὀνομάγουλος, 355, 21.
Basilius, Valentis in eum reverentia, 97, 8.
Bassianus Soæmidis filius postea Imperator creatus sub nomine Antonini Heliogabali, 45.
Bastianus monachus, 104, 3.
Belisarius in Africam mittitur, 111, 8. seditionem contra Justinianum ortam comprimit, 321. missus in Africam Vandalos devincit, et regem Gelimerum captivum ducit, 322. mox autem Justinianus invidia motus eum ab imperio submovet, 323. Belisarii infortunium et mors, 324, 17.
Belus Jovis filius Assyriorum Rex, 235, 5.
Benedictus Papa Romæ, 111, 21.
Berina, vid. Verina.
Berna urbs Italiæ, 66, 17. fort. Verona.
Berenice Βερνίκη, 314, 3 et 7. sed leg. Βερίνη.
Beryllus Episcopus Bostrorum, 89, 29.

Bestia L. Calpurnius contra Jugurtham male rem gerit, 13, 29.
Binoris Rex Ægypti, 383, 19.
Biser Constantini Copronymi socius, 357, 19.
Bithynia prius Mariandyne vocata, 190, 12.
Bocchoris Rex Ægypti, 383, 28.
Bocchus Rex Maurorum vincitur a Corn. Sylla, 14, 21.
Boethius a Valentiniano occisus, 74, 4.
Bonifacianum Suburbium, 84, 24.
Bonifacius, 73, 27. 400.
Bonifacius Papa, 111, 24. item alter ejusdem nominis, ibid.
Bononia urbs Galliæ, 66, 32.
Bonus patricius Heraclii dux rem contra Avares feliciter gerit, 337, 5.
Borianthus (Viriathus) in Iberia dux factus bellum cum Romanis diu gerit, sed a suis tandem trucidatur, 11, 13.
Boreas Astrei filius Thrax Orithyiam rapuit, 382, 7.
Brennus Gallorum dux Macedoniam invadit, 131, 14. a Sosthene pellitur, ib.
Brutus Junius Tarquinios ejicit, 7, 14.
Bruti duo in C. Cæsarem conspirant, 20, 26.
Buddas qui et Terebinthus, 93, 11.
Bulgari quando primum in Europam migraverint, 342. Constantinum Pogonatum prælio superant, ibid.
Burdigala urbs Galliæ, 58, 11.
Busalbus, 82, 4.
Byzantium a Megarensibus conditum, 264, 20.
Cadmus Bœotia regnat, 190, 9.
Cænon (καινὸν φρούριον) locus inter Byzantium et Heracleam, 59, 8.
Cæsar C. Julius Gallia subacta bellum civile movet, 16. Pompeium Italia cedere cogit, 16, 20. pugna ad Dyrrhachium, 17, 8. ad Pharsalum Pompeium debellat, 17 et 18. Ptolemæum vincit et Cleopatræ regnum tradit, 18. Pharnacem debellat, 18. Pompeianos in Africa vincit, 19. Pompeii filios in Hispania ad Mundam profligat, 19–20. imperium affectat et tandem conspirantibus Brutis, Cassio et aliis necatur, 20–21. Cf. 274–275.
Cæsarii ædes, 81, 29.
Cæsarium locus prope Romam, 25, 8.
Cæso, 9, 18.
Caiaphas qui et Josephus, 88, 6.
Caius Caligula Cæsar, 279, 4. unde cognominatus, 395, 13.
Caius scriptor Eccles. quid narraverit de Cerintho, 88, 32. ejus scripta in Zephyrinum Episcopum Romæ, ad Proclum contra Montanum, 89, 30.
Calandio 105, 34.
Callias ὁ τὰς Ἀγαθοκλέους πράξεις ἀναγράψας, 162, 12.
Callimachus 141, 23.
Callinicus Constantini Heraclii filii cubicularius, 340, 10.
Callinicus Heliopolitanus, ejus inventio ὑγροῦ πυρὸς quo Arabes navali prælio vincuntur, 343, 2.
Callinicus Patriarcha Constantinop. 345, 31.
Calliste urbs fundatur, 190, 12.
Callistrati monasterium 349, 20.
Calopodius eunuchus Theodosii junioris 308, 27.
Calypso filia Atlantis, 210, 17.
Cambyses Amasim Ægypti regem devincit, 5, 15. Magorum insidiis tollitur 5, 18. idem qui et Artaxerxes, 270, 35.
Capargamala Palæstinæ vicus ubi sepultus fuit Gamaliel, 100, 19.
Capellianus Numidiæ præfectus

Carthaginienses rebellantes opprimit et eorum urbem diripit, 146–152.
Caracalla post mortem Severi patris cum fratre Geta imperium dividit, mox ei insidiatur et tandem illum occidit, 41–42. hortante Macrino a Martiali interficitur, 43–44. 286.
Carausius in Britannia purpuram sumit, 60.
Cardamus Bulgariæ Rex, 368, 19.
Carinus Cari filius Imperator Sabinum Julianum rebellantem vincit, sed in prælio cadit, 69. 291.
Carolus Francorum Rex, 364, 29.
Carpocrates hæreticus, 284, 22.
Carthago quando fundata, 187, 5.
Carus contra Probum arma sumit, 60, 7. 291.
Cassander Alexandrum veneno tollit, 8, 15. duos Alexandri filios necat una cum Olympiade, 130, 3.
Cassandra Priami filia, 4, 5.
Cassius et Sulpicius Consules sexto post reges expulsos anno, 8, 19.
Cassius primus in Jul. Cæsarem conspirat, 15, 29.
Cassius Syriæ præfectus in Marcum Antoninum conspirat, sed ab uno suorum interficitur, 29–30.
Castaldi pacem cum Constantino Pogonato paciscuntur, 343, 19.
Castor ejus Chronographia Regum Sicyoniorum, 134.
Cato Marcus Porcius Philosophus a Cæsare victus se ipsum occidit, 19.
Cato M. Porcius Senior de epocha Romæ, 163, 1.
Catazani gens loca Trapezuntis vicina vastant, 78, 3.
Ceb (Κηβ) Rex Ægypti id. q. Cronus, 383, 16.
Cecrops Atheniensium Rex, 137, 24. 188, 22.
Cepio Quintius bellum contra Viriathum gerit. ejus responsum in eos qui Viriathum occiderant, 11, 23 et 30.
Cerdo hæreticus Marcionis magister, 89, 8.
Cerinthus hereticus, 88, 32. 283, 28.
Chadiga Mohamedæ uxor, 338, 17.
Chaganus titulus Regum apud Scythicas seu Tartaricas gentes, 329, 8. et passim.
Chalcedon prius Iorigo dicta a Chalcedone Tyrio fundata 228, 30. sed pro Χαλκηδὼν leg. vid. Καρχηδών.
Chananæi a Josue expulsi in Africam migravere, 389, 20.
Charax historicus, 192, 4.
Charito Joviani uxor, 301, 12.
Chariton martyr, 290, 23.
Chenephres Rex Ægypti, 176, 21.
Cheræa et alii conspirant contra Caium Caligulam et eum interficiunt 22. Cheræa postea a Claudio exulatur, 23.
Cherris Castellum Isauriæ, 85, 4 et 10.
Chosroes Antiochiam capit, 111, 1.
Chosroes Persarum Rex, ejus bella cum Romanis regnantibus Phoca 331 et Heraclio, a quo victus est, et a suis inclusus fame necatur, 337.
Christophorus filius Constantini Copronymi, 361, 22.
Chrysaphius eunuchus Theodosii junioris favorem conciliat, 308, 28.
Chrysostomus ab Arcadio ad Episcopatum Constant. evectus multis invidentibus 98, 26. τοὺς ἀνδριάντας ἔγραψε, 306, 26. Cucusum in exilio missus est, 307, 5.
Chus Æthiops pater Nebrodis, 233, 33.

Chusarsathon Rex Mesopotamiæ, 258, 15.
Cicero, 393. 12.
Circe filia Altantis, 210, 20.
Claudius Cæsar Agrippinæ opera veneno tollitur, 23, 22.
Claudius post Gallienum Imperator, 58. 290.
Cleander Phryx ad magnam potestatem evectus, jussu Commodi interfectus est, 32–33.
Clemens Alexandrinus ἀπὸ τοῦ πρώτου Στρωματέως αὐτοῦ 178, 20. ὁ Στρωματεὺς 285, 23.
Cleomedes Astypalæensis athleta, 154, 4.
Clianus (Κλιανὸς nom. susp.) præfectus militum Nerva regnante, 29, 9.
Clitomachus pugil insignis, 154, 20.
Coades Rex Persarum 109, 3. bellum gerit cum Anastasio, ib.
Cocalus Rex Siciliæ 194, 20.
Coimus (Κοῖμος) Bulgariæ Rex Κροῦμος, 373, 16. Nicephorum Imperatorem alibi vincit, 372.
Commodus Imperator primo patris amicorum consiliis utitur; sed mox Perennii malis artibus edoctus, ad omnia flagitia inclinat animum, 30. Quadrati et Quintiani insidias evitat, 31, Perennium regnum affectantem obtruncat, 31–32. tandem Læto et Electo conspirantibus cum Marcia ejus pellice, interficitur 35–36. 285.
Concilium Constantinopolit. contra Severum et Origenem, 321, 13. iterumque sub Constantino Pogonato contra Monotheletas hæreticos.
Concilium habitum Chalcedone in templo S. Euphemiæ, 101, 14.
Concilium Nicænum, 295, 17. Constantinopolitanum contra Macedonium, 305, 1. Ephesinum contra Nestorium, 308, 32. Chalcedonium contra Eutychium, Dioscorum et Nestorium, 311, 11.
Conon Fusciani filius, 84, 11.
Constans Heraclii nepos Imperator in Sicilia interemptus, 341–342.
Constantina Tiberii filia, Mauricii uxor, 328, 20.
Constantinus, Constans et Constantius filii Constantini Magni, 93, 26. Constantinus a fratris Constantii militibus occisus ad Aquileiam, 94, 10. 297.
Constantinus Copronymus Leonis Isauri filius, 353, 13. sicut pater in imaginum cultores sævit, 356. Artabasdum seditionem moventem morte afficit, 357–358. febre consumtus moritur, 362.
Constantinus Heraclii filius Imperator, 341.
Constantinus Magnus Imperator a Maximiano insidiis petitus eum opprimit, 61–62. Christianæ Religioni magnopere favet. —Nicomediæ moritur, 93, 30. 294–297.
Constantinus Leonis filius, Copronymi nepos, una cum matre Irene regnat, 364. dein solus, 367. uxore Maria repudiata Theodotam ducit, 368. mox seditione orta impulsu matris oculis et regno privatur, 368–369.
Constantinus Pogonatus mortem patris in Sicilia ulciscitur, 342.
Constantius pietate commendabilis, 90, 31. Ecclesiam S. Sophiæ ædificat, 94, 24. ejus lex in Judæos, 93, 30. Magnentium vincit, 62. contra Julianum arma movet, sed Mopsuestiæ moritur, 63, 13. 298.
Constantius Chlorus Constantini Magni pater, 293, 8.

Corinthus quando fundata, 190, 15.
Corœbus prima Olympiade victor in stadio, 142, 1.
Corycus Ciliciæ ab Isauris capta, 82, 24.
Cosmas Leonis Imperatoris cubicularius, 78, 18.
Cottomenes Zenonis copiarum præfectus, 85, 16.
Cranaus, 189, 21.
Creon primus Archon Atheniensium in annum, 139, 27.
Crispina (male Σκιρπῖνα Cod.) Commodi uxor, 31, 11.
Crispinus Aquileiam defendit, 52, 22.
Crispus Phocæ privignus Heraclium ex Africa arcessit, 333. sed postea contra eum seditionem movens in monasterium relegatur, 335.
Cronus qui et Domnus, 234, 10.
Ctesias quid de Semiramidis aggeribus tradidit, 383, 24.
Cubricus qui et Manes, 93, 22.
Cyprianus martyr, 289, 6.
Cyrene fundatur, 191, 6.
Cyrillus Hierosolymæ Episcopus frater Gelasii, 91, 8. ejus relatio ad Constantium de signo crucis cœlo viso, 95, 19.
Cyrillus Alexandriæ Episcopus, 100, 7.
Cyrus Rex Persarum et totius Asiæ, 270, 21.
Cyrus regnante Theodosio juniore præfectus Constantinop. 310, 24.
Cyzicus fundatur, 194, 10.
Dædalus a Creta fugit, 194, 8. 382, 16.
Dailaphus Δαιλάφος συγκλητικὸς, 302, 1.
Dalisandus urbs Isauriæ, 81, 21.
Damatrys locus, 349, 10.
Danaus Rex Ægypti, 189, 23.
Daniel quidam rerum novarum cupidus a Theodosio expellitur, 72, 3.
Daniel Stylites, 103, 31.
David Rex Hierosolymæ, 1.
Darius Hystaspis Rex Persarum, 5, 22. 270, 30.
Darius Ahasueri filius, qui et Astyages, Babylonem capit, 270, 5.
Darius Arsami filius Bagoam Eunuchum veneno necat, 8, 5. regnat sex annos et duos menses, 8, 6.
Deborah et Barach Judices, 190, 14.
Decius, occiso Philippo Imperatore, regno potitur, 57. 288, 26.
Delphi, unde nomen loci, 383, 11.
Demetrius Poliorcetes, 126, 8.
Demetrius Pulcher Macedoniæ Rex, 132, 14.
Demetrius Antiochi Epiphanis filius, Antiochum Eupatorem interimit et regnum occupat, sed mox ab Alexandro necatur, 11, 4.
Demetrius Syriæ rex, ab Alexandro bello petitus, captus est et occisus Tyri, 15, 21.
Demetrius, Philippi Macedoniæ Regis filius, a patre necatur, 10, 9.
Demetrius historicus ab Eusebio in Chronico citatus 256, 29.
Demetrius Phalereus, 272, 30.
Delphacos porticus (Δελφακὸς στοὰ) qua Delphicæ columnæ 81, 33.
Demophilus Arianus 301, 13 et 26. 303, 17.
Demosthenes Valentis Imp. servus, 97, 4.
Deucalionis diluvium, 137, 27.
Deuterius Byzantii Episcopus, 318, 6.
Dexippus Atheniensis Chronographus, 153, 21.
Dictys ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ, 201, 28. ὁ ἐκ τῆς Κρήτης, 212, 7. 213, 11. 216, 5. ejus scripta quando inventa, 221, 19.

Didymus quæ narravit de Perseo et Gorgone, 190, 31. κατὰ τὴν ἑβδομήν. Didymum in Chronicis adhibuit Jo. Malela, 379, 24.
Dinarchus poeta de bello Persei cum Baccho, 191, 2.
Diocletianus a militibus Imperator renunciatur, 60, 20. in Christianos sævissimus 90, 17. imperium abdicat, sed iterum occupare studens a senatu arcetur, 91, 12. 292.
Diodorus Siculus περὶ τῆς 'Ρωμαίων ἀρχαιογονίας 163, 11. quid narravit de Homeri ævo, 227, 27.
Diomedis stabulum locus Thraciæ, 83, 16.
Diomedis post Ilium captum vices, 216.
Dionysius aulæ præfectus sub Zenone, 82, 32.
Dionysius Alexandriæ Episcopus, 89, 2. quid de Apocalypsi tradiderit ἐν τοῖς κατὰ Νέπωτος, 90, 5.
Dionysius Halicarnassensis ἐν ἀρχῇ τῆς 'Ρωμαϊκῆς 'Αρχαιογονίας (Leg. 'Αρχαιολογίας), 161, 19.
Dionysus Ammonis et Amaltheæ filius, 189, 18.
——— Semeles filius, 190, 16.
Dioscurus, 104, 27.
Dioxippus Atheniensis athleta, 154, 15.
Domitia Titi filia Domitiani uxor, 28, 11.
Domitianus Imperator ob sævitiam omnibus invisus, tandem a Stephano ejus liberto necatur, 28. Christianos persequitur et Joannem Apostolum in Patmum relegat, 88, 10. 282.
Domitianus præfectus a Gallo occisus, 95, 24.
Domnica Valentis uxor, 303, 17.
Ebionæi, eorum dogmata, 88, 19.
Eclectus sive Electus cum Læto contra Commodum conspirat, 34–35. Pertinaci post mortem tyranni imperium defert, 35–36.
Elames sive Lames Rex Assyriorum, 235–236.
Eleazar Judæorum pontifex, 88, 3.
Electra Agamemnonis filia, 4, 16.
Elesbaan Æthiopum Rex regnante Justino Thrace, 319, 2.
Eleutherius martyr, 103, 24.
Elias Hierosolymæ Episcopus, 108, 13.
Elon vel Eglon Judex Israelis, 194, 25.
Emmaus Judææ vicus postea Nicopolis, 96, 17.
Empedoclis dogma, 93, 12.
Empsadus ("Εμψαδος) Hiempsal filius Micipsæ, 13, 17.
Ephorus quæ de Homeri ætate tradidit, 227, 24.
Ephraim Syrus Edessæ diaconus, ejus scripta, 95, 1. 299, 4.
Epicurus philosophus, 272, 23.
Epidaurus fundatur, 188, 9.
Epimetheus, 188, 6.
Epinicus Phryx, 80, 24. 81, 1.
Epiphanius Episcopus Constantinopolis, 110, 3.
Epiphanius Cypri Episcopus Chrysostomi mortem vaticinatus, 307, 26.
Eratosthenes ejus Χρονογραφίαι et κανόνες, 163, 7.
Erigone Clytemnestræ et Ægisthi filia, 4, 11.
Esebon Judex Israelis, 194, 22.
Eudocia Valentiniani uxor, 75, 11. 104, 16.
Eudocia Theodosii uxor, 100, 31. 308, 3.
Eudocimus Leonis Copronymi filii frater, 363, 11. 368.
Evangelia quænam sunt falsa, 88, 16.
Eugenius ad imperium occupandum ab Arbogaste incitatur, 66, 22. a Theodosio devictus, 67.
Eugenius Honoriæ famulus, 72, 14.

Euripides, ejus Κύκλωψ, 209, 31. 210, 12. Iphigenia, 224, 14. ab Aulea tragico multas fabulas mutuatus est, 227, 4.
Eunus belli servilis in Sicilia ductor, 12, 13.
Euphemia, uxor Imperatoris Justini, prius Lupicina dicta, 108, 23.
Euphræmius, Episcopus Antiochiæ, 110, 1.
Euphrasius Episcopus Antiochiæ, 110, 1.
Eurydamas Cyrenæus pugil, 154, 12.
Eusebius ad Histor. Eccles. scribendam usus est Bibliotheca Alexandri Hierosolymæ Episcopi, 89, 27. quæ scripsit Constantini jussu, 296, 31. Excerpta ex ejus Chronicis 115–163. et passim in Anonymi Chronico p. 166 et seqq. nomin. 170, 8. 183, 32. ἐν τῷ Χρονικῷ Κανονίῳ, 187, 30. 188, 11. eum sequutus est in Chronicis ejus Joannes Antiochenus Malela, 379, 24.
Eusebius Nicomediæ Episcopus, 94, 21.
Eusebius Eunuchorum præfectus, 94, 9. 298, 27.
Eustathius Epiphanensis Ἐπιτομὴ τῆς Ἀρχαιολογίας Ἰωσήπου, 86, 14.
Eustochius Episcopus Hierosolymæ, 111, 13.
Euthymius patriarcha, 317, 17.
Euthymus Locrus pugil, 154, 10.
Eutropius Arcadii famulus, 67, 28.
Eutropius Eunuchus, 99, 1. 308, 27.
Eutychianus, 106, 18.
Eutychius Patriarcha Constantinopolis, 113, 23. 114, 29.
Fabius Quintus historicus de epocha fundationis Romæ, 162, 32.
Faunus filius Pici sive Jovis, idem qui et Mercurius, 236, 14. 386, 30.
Fausta Maximiani Ercului filia, Constantini uxor, 61, 31. 296, 16.
Faustina Marci Antonini uxor, Cassium hortatur ad regnum occupandum post mortem mariti, 29–30.
Faustus Cornelius Syllæ filius et Pompeii gener, 19, 24.
Felix ab Aetio dolo oppressus, 73, 30.
Festus Judææ Procurator, 280, 22.
Flaccilla, 65, 21.
Flavianus Antiochiæ Episcopus, 99, 13. 106, 21. 310, 19.
Florianus cum Probo Imperator creatus, ab eo interficitur, 59, 23. 291.
Franci gens Celtica, 60, 30.
Fravianus (Φραυιανὸς) Consul regnante Arcadio, 70, 30.
Fulvia Antonii uxor, 22, 8.
Gabinius Syriæ præfectus, 128, 23.
Gainas Scytha, 66, 32. Arcadio regnante res novas molitur, 68. bellum contra Tribigildum movet, 68–69. Constantinopolim aggreditur, sed pulsus in Thraciam divertitur, atque ibi perit, 69–70. 307, 30.
Galatius filius Valentis, 303, 22.
Galba Cæsar creatur post Neronis necem: mox ab Othonis fautoribus interficitur, 26. 280, 32.
Galerius contra Maxentium bellum movet, 61.
Galla Theodosii uxor, 65, 20. 304, 27.
Gallienus Imperator a militibus interfectus, 57.
Gallienus II. cum fratre Valeriano ab Heracliano interfectus, 58. 289.
Gallus et Volusianus Imperatores, 57. 289, 9.

Gallus Juliani frater Diocæsaream diruit. a Constantio in exilium pulsus, 95, 27. interfectus, 62, 20.
Gandubarius Indus Astronomus, 234, 6.
Gedeon Judex Israelis, 190, 25.
Gelasius Cyrilli Hierosol. frater, 91, 8.
Gelimer Vandalorum Rex a Belisario victus et captus, 322–323.
Gennadius ejus miracula, 103, 18. 313. interitus, 104, 31.
Gentiani Africæ populus, 61, 7.
Gensericus Vandalorum Rex Romam capit, 75. 101, 31. Olybrium Imperatorem creat, 77.
Georgius cognomine Βόραφος, 349, 27.
Georgius Pisides, 336, 24.
Georgius Presbyter et Syncellus, 342, 4.
Georgius Syrus Archiep. Constantinop. 344, 13.
Germanus martyr, 291, 27.
Germanus Tiberii privignus, 328, 20.
Germanus Patriarcha Constantinop. 353–354.
Glaucus Carystius pugil, 154, 3.
Glycerius post Olybrii mortem Imperator, dein Salonæ Episcopus, 79.
Gondubandus (Γονδούβανδος) Recimeri frater, 79, 6.
Gondubales Recimeri cognatus, 79, 14.
Gordianus Africæ proconsul, Imperator renunciatur cum filio, 50. a Capelliano victus se ipsum interficit, 51. ejus natus pugna cadit, ibid.
Gordianus III. post Maximum et Balbinum Imperator creatus, bellum contra Persas prospere gerit, 56. ejus mors, 57. 288.
Gothi gens in quatuor tribus divisi, Gothi, Hypogothi, Gepidæ et Vandali, 310, 20.
Gothoniel Judex Israelitarum, 188, 17.
Græcorum ductores et eorum copiæ ad Trojam, 200, 22.
Gratianus imperator a Maximo insidiis petitus, juxta Lugdunum perit, 64, 7. 304.
Gratisimus ὁ πραιπόσιτος, 103, 28.
Gregorius Papa Romæ, 111, 22.
Gregorius patricius, τοῦ Μουσαλακίου 369, 24.
Gulussa Massinissæ filius, 13, 14.
Harmatius Odoacri frater, 78, 28. 79, 28
Harmenarichus Asparis filius, 84, 29.
Harmonius Tauri filius, 66, 2.
Hebræorum Chronologia ex Eusebio, 156–157. Cf. 166–196.
Hegesippus historicus, 88, 15.
Heliodorus Episcopus Triccæ τὰ Αἰθιοπικὰ γράψας, γράφει διὰ στίχων ἰάμβων καὶ τὴν χρυσοῦ ποίησιν, 306, 11.
Helena Constantini mater crucem Salvatoris nostri invenit, 92.
Helena Constantini filia Juliani uxor, 112, 3.
Hellen Deucalionis filius, 189, 12.
Heraclianus Dalmaticorum equitum præfectus Gallienum occidit, 58, 20.
Heracleonas Heraclii filius illegitimus a senatu ab imperio amovetur, 340.
Heraclidarum reditus in Peloponnesum, 137, 2. 227, 21. 228, 10.
Heraclides Prusæ diaconus, 106, 31.
Heraclius Apsimari frater, 348, 18.
Heraclius Eunuchus Aetii mortis particeps, 73. cum Valentiniano necatur, 74, 30.
Heraclius ex Africa contra Phocam arma movet, eumque vin-

cit, et mox extremo supplicio afficit, 333–334. ejus bella contra Persas, 334. eorum regnum vastat, et triumphans Constantinopolim redit, 337–339. Martinam ejus nepotissam uxorem ducit: mox hydropicus factus morbo consumptus est, 339.
Heraclius Flori filius a Theodorico Triarii filio occisus, 79, 23.
Herculanus, 72, 17.
Hercules philosophus Tyrius, 239, 13. 380, 21.
Hermes Trismegistus, 238, 1. 387, 9.
Hermopolis Ægypti, 96, 21.
Herodes Agrippa Jacobum Apostolum supplicio dat, 277, 28. ejus mors, 279, 32.
Herodes Antipas, ejus mors, 22, 10.
Herodes Ascalonita primus alienigena Rex Judæorum, 159, 25. 277, 9.
Herodes Philippus, 277, 26.
Herodotus quot Hercules recenset, 380, 33.
Hesiodus Homero coetaneus ut quidam narrant, 227, 26. 261, 23. et Davide, 383, 4.
Hesione ab Hercule liberata, 195–196.
Hezith Arabum præfectus, 352, 2.
Himerius Sophista, 303, 4.
Hippocrates, ejus ætas, 271, 10.
Hiromus Rex Tyri, 185–186.
Holophernes Cambysis Dux, 384, 5.
Homerus, 221, 17. ejus ætas, 227. 261, 23. 383, 4.
Honoria Valentiniani Soror, 72, 12.
Honorius imperator Occidentis a patre Theodosio constitutus, 305, 20.
Hormisdas Persarum Regis filius, e carcere, matris consilio et ope ereptus, ad Licinium se recipit, 399, 1.
Hyacinthus Eunuchus ab Honoria ad Attilam missus, 72, 20.
Hypatius, 112, 21. contra Justinianum seditionem movet, 320–321.
Hyrcanus Judæorum Rex, 159, 11 et 18. 273, 22.
Jacobus Redemptoris frater primus Episcopus Hierosolymæ, 278, 27. a Judæis occisus, 280, 27.
Jacobus filius Judæ, 88, 16.
Jacobus Nisibenus, duo ejusdem nominis, 103, 3.
Jair Judex Israelis, 193, 28.
Idæi Dactyli, 190, 20.
Jephthah Judex Israelis, 194, 12.
Jesus Christus Salvator Mundi, Tiberio Imperante crucifixus, 22. 86.
Jesus filius Sirach, 273, 8.
Jesus sive Josue Israelitarum dux, 187, 24.
Illus se Zenoni utilem præstat, 79, 26. ab eo alienatur 80, 15. 315, 36. bellum civile movet, 84. redire in gratiam studet, 85–86.
Inachus Rex Argivorum, 175, 19. 257, 30.
Indacus, 77, 31. Ἰνδακῷ Κοττούνῃ, 85, 24.
Innocentius Romæ Papa Chrysostomo favet, 99, 14.
Io Inachi filia, 175, 24.
Joannes Antiochenus περὶ ἐπιβουλῶν, 1, 8. citatur, 8, 15. Excerpta ex ejus Ἀρχαιολογία, 382–400.
Joannes Antiochenus Malala ἐκλογὴ τῶν Χρονικῶν, 231–242. ejus ἔκθεσις περὶ χρόνων καὶ κτίσεως κόσμου, 379, 22.
Joannes Cappadox Constantinop. Archiepiscopus, 319, 28.
Joannes Damascenus, Chrysorrhoas dictus et Mansur, 356, 2.
Joannes ὁ νηστευτὴς Patriarcha

Constantinop. regnante Justino, 327, 22.
Joannes Patricius regnante Leontio a militibus suis occisus, 347, 6.
Joannes ὁ Πιτζογάβδης a Constantino Pogonato ad Arabas legatus missus, 343, 11.
Joannes διάκονος καὶ χαρτοφύλαξ αἱρετικὸς Archiepiscop. Constantinop. 349, 32.
Joannes ὁ καὶ Ἰωαννάκης, 350, 22.
Joannes Papa, 111, 21.
Joannes Scytha, 83, 30.
Joannes ὁ κατὰ Βασιλισκὸν, 84, 30.
Joannes τὸν Ἀλεξανδρείας Ἰωάννην τὸν Νικαιώτην, 107, 32.
Joannes ἀρχιδιάκονος, 99, 2.
Joannes ὁ ὑπατικὸς, ὁ ἐπικλὴν τῶν Βιγκομάλου, 104, 5.
Joannes ὁ Ταβεννησιώτης Alexandriæ Episcopus, 105, 20.
Joannes Theodosio regnante imperium Occidentis occupat, 70, 33. not. Ardaburium capit, 71, 8. a Theodosio opprimitur, ibid.
Joannes Tyri Episcopus, ejus Epistola ad Acacium, 105, 30.
Iopolis postea Antiochia, 387, 27.
Jordanes Joannis filius 77, 20. 78, 17.
Ioniæ duodecim urbes conditæ, 228, 34.
Josephus quæ narrat de Jud. pontificibus, 88, 5. ἐν τῷ πρώτῳ τῆς Ἰουδαίων ἀρχαιότητος ἀπὸ τῆς Φοινίκων μαρτυρίας, 184, 12. ἐν τῷ τρίτῳ λόγῳ, 194, 16. de Melchisedech quæ narravit, 240, 32.
Josephus Patriarcha, ejus vices in Ægypto, 174–175.
Jovianus Imperator Dadastani moritur, 301, 3.
Iphigenia Dianæ sacerdotissa, 4, 32.
Iphitus Ludos Olympicos instaurat, 141, 13.
Irenæus Lugduni Episcopus, 89, 3. ἐν τῷ κατὰ τῶν αἱρέσεων, 89, 7.
Irene Leonis uxor cum filio Constantino regnat 364–367. in filium seditionem movet, et eo excæcato sola regnum occupat, 368–369. mox autem ipsa a Nicephoro amovetur et in Lesbon relegatur, 370–371.
Isaacus monachus, 97, 13.
Isauri Rhodum vastant, 77, 71.
Isocasius quæstor, 313, 24.
Israëlis Reges, eorum ordo, 160. 229, 15. 266.
Juba Rex Mauretaniæ a Cæsare victus, 19, 23.
Judæorum Reges, eorum Chronologia, 157–158. 182–183. 260 –266–268.
Judices Hebræorum, eorum Chronologia ex Eusebio, 157. 177–182. 258–260.
Jugurtha bellum ciet contra Micipsæ filios, 13, 21. a Romanis bello petitus post varios casus a Mario et Sylla vincitur, 14.
Julia Drusi filia, 393, 20.
Julianus post Pertinacis mortem imperium emit, 37, 15. senatus jussu occiditur, 286.
Julianus sub Macrino præfectus, 45, 30.
Julianus Apostata contra Constantium arma movet, 62–63. Hierosolymæ templum instaurare aggreditur, 96, 28. 299–300.
Julianus Antiochiæ Episcopus, 105, 15.
Julius Cæsar Imperator, 275, 5. a Bruto et Cassio occisus, 275, 20. Vid. Cæsar.
Justina Valentiniani uxor, 301, 21.
Justinianus Justini cognatus ab eo Imperator nominatur, 109, 28.
Justinianus moribundus Justinum

cognatum ad imperium promovet, 323, 23.
Justinianus ὁ Ῥινότμητος filius Constantini Pogonati, ei in imperio succedit, 344. populo invisus fit, 345. a Leontio expulsus in Chersonesum abit, 356. mox in Chazariam se recipit et Theodoram regis sororem uxorem ducit, 347. tandem a Terbelo Bulgariæ rege adjutus imperium recuperat, 348. sed seditione orta, a Philippico Bardane captus est et necatus, 349.
Justinus Imperator Anastasii successor, 108, 19. 318, 19.
Justinus Junior Justiniano in Imperio succedit, 111, 18.
Justinus Parvus Imperator multa ædificia struit, 325. justitiam colit, 325–326. Tiberium sibi successorem eligit, et ad imperium bene gerendum hortatur, 326–327.
Justus, 65, 15.
Lacedæmoniorum Reges, 228, 17.
Lætus prætorii præfectus in Commodum conspirat, 34–35. Pertinaci imperium defert, 35–36.
Lallis Zenonis Imperatoris mater, 80, 9.
Largicnus (Λάργιννος) Astrologus mortem Domitiani prædicit, 27, 26. Λάρπος 282, 20.
Largius Proclus 396, 6.
Lausus eunuchus Theodosii junioris, 308, 27.
Leo Armenius Michaelis successor, 373.
Leo, Constantini Copronymi filius, Imperator, 362–364.
Leo Isaurus ejus origo—imperio potitus in imaginum cultores sævit, 353–354. ejus mors, 355.
Leo patricius ὁ τεσσαρακονταπήχευς, 369, 23.
Leo Thrax Marciani successor in Imperio Orientis, 102, 11. ad Episcopos scribit de iniqua morte Proterii et electione Timothei Æluri, 102, 28. ejus decretum de die Dominica observanda, 103, 15. dictus ὁ μακέλλης, 312. Asparum et Ardaburium supplicio dat, 312, 10.
Leo minor Imperator creatur, 105, 5. 314, 9.
Leonidas athleta duodecim coronas e certamine Olympico solus reportavit, 383, 35.
Leontius Justiniani Rhinotmeti successor ab Apsimaro imperio amovetur, 346–347.
Leonto Phocæ uxor, 332, 1.
Libanius, ejus de Chrysostomo sententia, 307, 21.
Linus, 190, 10.
Lollianus a Gallieno desciscit, 57, 32.
Losthenium locus (Leg. fors. Σωσθένιον), 83, 10.
Lucilla Commodi soror, Lucii Veri uxor, 31, 5.
Lucretia, ejus mors, 7, 11.
Lycurgus, ejus epocha, 140, 13.
Macarius, 91, 33. Hierosolymæ Episcopus, 92, 21.
Macedoniæ Reges post Alexandrum ex Porphyrio 129.
Macedonius hæreticus, 94, 16. 106, 21.
Macrinus per Martialem Caracallam occidit, 43–44. Imperator creatur, 44. desertus ab exercitu interficitur, 45.
Mæsa Juliæ soror, Mammææ mater, Heliogabalum militibus conciliat, 45.
Magi qui regnum usurpaverant a Persarum proceribus necantur, 5, 20.
Magistrianus, 331, 3.
Magnentius a Constantio victus se ipsum interficit, 62.
Magnesia urbs fundata, 228, 29.
Magnus quæstor a Gallo occisus, 95, 25.

Majorinus post Avitum regno potitur, sed a Recimere oppressus est, 75.
Malagina locus, 366, 14.
Mamilius Tarquinii gener, 8, 28.
Mammæa mater Alexandri, 45. cum filio a militibus occiditur, 49.
Manes, 290, 23.
Manetho, 189, 24.
Manichæi, eorum origo, 93, 22. 290, 24.
Marcellus a Valente interfectus, 63, 30.
Marcia Commodi pellex ejus cædem molitur, 34–35.
Marcianus regnante Zenone turbas ciet, 81–82.
Marcianus Imperator post Theodosium juniorem, 311. Pulcheriam Theodosii sororem nubit, ibid. ejus epistola ad Episcopos in concilio Chalcedoniensi, 101, 14. ejus mors, 102, 10.
Marcianus ὁ οἰκονόμος, 104, 24.
Marcio Ponticus, 89, 8.
Marcus Evangelista primus Alexandriæ Episcopus, 279, 30.
Marcus Antoninus, ejus clementia, 30.
Mardaïtæ Syriam circa Libanum occupant, 343, 7.
Mardonius eunuchus, 97, 34.
Marianus Anastasii præfectus classis, 316, 6.
Marina Soror Pulcheriæ, 100, 12.
Marius contra Jugurtham bene rem gerit, 14. ejus simultates cum Sylla, 15.
Marius post Gallienum per triduum imperator factus, 58.
Marodach Rex Babyloniæ, 269, 33.
Marsus, 85, 23. Sed leg. vid. Marcianus.
Martialis Caracallam occidit, 43–44.
Martinus Romæ Papa, 341, 33.
Martis Campus ubi Valentinianus occisus est, 74, 24.
Martyrius Episcopus Antiochiæ, 105, 15.
Masalmus Saracenorum præfectus, 351, 14. 354, 26.
Massinissa Rex Numidiæ, 13, 11.
Masthanaballus filius Massinissæ, 13, 14.
Maternianus, 43, 15.
Matthias Asamonii filius, 100, 29. 158–159.
Mavias (Μαυΐας) Arabum ductor, Rhodum capit, Colossumque ibi diruit divenditque, 341. Constantem prælio navali vincit, ibid.
Mauricius Tiberii privignus et ejus successor, 328. ab imperio ejectus, 330. mox cum uxore et omni familia a Phoca necatus, 332.
Maurus patricius, 349, 1.
Maximinianus Herculius post abdicatum imperium bellum movens contra Constantinum victus est, 61–62. 90.
Maximinianus Domnini filius, 75.
Maximinus Thrax post Alexandri mortem Imperator creatus, 48–49. Aquileiam frustra obsidet, et a militibus necatur, 52–54. 287–288.
Maximinus alius Valente regnante, 72, 6.
Maximus Imperator cum Balbino, 52. a prætorianis occiditur, 55–56. 288, 6.
Maximus Aetii necem struit, 72–73. 400, 28. Valentiniani cædem molitur et imperio potitur, 75. 401, 1. a Genserico fugatus occiditur, 76. 400.
Maximus necem Gratiani struit, a Theodosio victus interficitur, 64.
Maximus vel Maximinus Syriæ præfectus, 59, 16.
Mecenas, 276, 12. 394, 1.
Melampus, 191, 4.

Melancomas pugil, 154, 29.
Melanthii cum Xanthippo (corr. Xantho) singulare certamen, 383, 8.
Melchisedech, 173, 16. 240, 21. 257, 15.
Meletius Antiochiæ Archiepiscopus, 304, 16.
Melos fundatur, 190, 12.
Memnon Indorum Rex, 219, 9.
Mena Patriarcha Constantinopolis, 112, 29. 113, 18 et 21.
Menander hæreticus, 283, 27.
Menedemus philosophus, 272, 30.
Menophilus, 52, 22.
Mestrem (i. e. Mizraim) a Noe oriundus Ægypto nomen suum dedit, 383, 17.
Metagenes Thasius pugil, 155, 23.
Metellus, Quintius Cecilius, bellum gerit contra Viriathum 11, 19. contra Jugurtham, 14, 5.
Metellus, Caius Cecilius, Consul quo tempore bellum servile in Sicilia evenit, 11–12.
Metrodorus Philosophus e Persis oriundus, 294, 26.
Metrophanes Byzantii Episcopus, 297, 6.
Michael ὁ Ῥαγαβὲ, Stauracii privignus et ejus successor, 373.
Micipsa (Μιψίχας) filius Massinissæ, 13, 14.
Midas Rex Phrygiæ, 264, 6.
Miletus fundatur, 193, 30.
Milo athleta, 153, 29.
Minos leges Cretensibus dat et imperium maris obtinet 194, 18.
Minos tragœdiarum scriptor, 227, 2.
Minotaurus de eo fabula, 382, 28.
Misael Leonis cubicularius, 78, 18.
Mithridates Rex Ponti à filio Pharnace insidiis petitus moritur, 15, 25.
Moguntina urbs (Μογοντίνα) 57, 32.
Mohamed, ejus origo et fortuna, 337. quæ fuerint ejus dogmata, 339.
Montanus hæreticus, 285, 24.
Morges Rex Italorum, 194, 18.
Morsa urbs ad quam victus est Magnentius, 62, 9.
Moschianus, 83, 30.
Moses, ejus historia ex Artapano, 176.
Mundarus Saracenorum præfectus fit Christianus, 316, 25.
Mundus (Μούνδος) sub Justiniano copiarum præfectus, 321, 1.
Musæus Eumolpi filius, 194, 17.
Mycene urbs Italiæ? 228, 30.
Nabuchodonosor II. idem qui Græcis Cambyses dictus fuit, 384, 5.
Nabuchodonosor Rex Babylonis Ægypto et Juda potitus est, 264, 27. 268–269.
Nacolea urbs, 63, 21.
Narsæus Persarum Rex, 398, 30.
Narses sub Justiniano exercitus præfectus, 321, 1. Justino charus—præclara ejus gesta, 325, 9.
Narcissus Claudii libertus, 23, 29.
Narcissus juvenis quidam Commodum strangulat, 35, 7.
Nebad (Νεβὰδ) Rex Ægypti Hierosolymam capit, 264, 23.
Nectanebo Rex Ægypti, 5, 23.
Nectarius Constantinopolis Episcopus, 98, 22. 306, 30.
Neocæsarea, 109, 15.
Neon, 78, 1.
Nepos victo Glycerio Imperator creatur, 79, 21.
Nepotianus, 62, 7.
Nero militibus ad Galbam deficientibus Roma aufugit, et seipsum occidit, 25.
Nerva moriens epistolam Trajano scribit, 29, 283.
Nestorius patriarcha Constant. 310, 6.
Nigidius Astrologus, 393, 4.
Nicephorus filius Constantini Copronymi, a patre Cæsar nominatus, 361, 22. seditione

contra Irenen orta regno potitus est, 369–370. Bulgariam invadit, sed victus est et interfectus, 372.
Nicephorus Patriarcha Constant. 372, 5.
Nicetas, 82, 4.
Nicetas ὁ Ξυλινίτης 355, 27.
Nicetas Patriarcha ὁ εὐνοῦχος καὶ Σκλάβος, 360, 11.
Nicetas ὁ Τριφύλλιος 369, 21. 370, 30.
Nicophon pugil, in eum epigramma, 155, 10.
Niger Syriæ præfectus imperium affectat, 37, 19.
Nimrod Babylonis fundator, 171, 25.
Ninus, urbis ejus nominis instaurator, 175, 4. 235, 10.
Nizizius (Cedren. Mizizius) juvenis Armenius Constantino Imperatori in Sicilia succedit, sed mox a Constantin. Pogonato prehensus capite mulctatur, 342.
Norbanus præfectus militum sub Domitiano, 28, 27.
Novatius hæreticus, 289, 4.
Numa Pompilius, quædam ab eo instituta, 392, 4.
Numerianus, 60, 14. 291. 398, 6.
Nysa urbs Palæstinæ quæ et Scythopolis, 5, 11.
Ochus Persarum Rex, 8, 5. 119, 2.
Octavius Cæsar Augustus, 275–277.
Odenathus Palmyræ Rex a Gallieno necatur, 58, 13.
Odoacer Idiconis filius, 78, 28. Occidentis Imperator, 84, 8. 314, 1.
Œnomaus quadrijugi currus certamen Olympiæ instituit, 191, 19. 391, 12.
Ogyges Rex Atheniensium, 137, 8. ejus diluvium, 176, 14. Eleusis fundator, ibid.
Olybrius a Genserico ad imperium evectus, 77
Olympici Ludi quando instituti, 140–153.
Olympionicæ, eorum Catalogus, 142–
Olympius Arianus, 106, 14.
Onager Arianus, 95, 14.
Onias, 273, 24.
Onulphus Odoacri frater, 78, 28.
Optelas (Ὀπτήλας) Scytha Valentiniani cædis particeps, 74.
Oraculum Eleis datum, 141, 8.
Orestes, ejus vices post Clytemnestræ cædem, 4–5. 222.
Origenes Clementis Alexandr. discipulus, 285, 24. Leonidæ filius, 286, 20. ejus Hexapla, 287, 7.
Orpheus quo tempore floruit, 149, 16. 259, 21.
Otho post Galbam imperio potitus, a Vitellii ducibus acie victus, sibi ipsi mortem consciscit, 26. 281.
Ovidius (Ὀβίδιος) citatur, 379, 32.
Palæphatus cit. 382, 12.
Palladium Trojæ, 204–208.
Palmanuthus Rex Ægypti, a cujus filia servatur et educatur Moses, 176, 10.
Pamprepius grammaticus, 81, 11.
Paneadi urbs Palæstinæ, 93, 1. 96, 7.
Panospolis urbs Ægypti, 81, 12.
Pansa et Hirtius Consules contra M. Antonium bellum movent, 21, 32.
Paphnutius, 91, 33.
Papianus legislator, 49, 8.
Papias, eum in Chronicis secutus est Joannes Malala, 379.
Papimus Illi præfectus equitum, 85, 1.
Papirii Castellum, 77, 32.
Papirius Indaci pater, 78, 1.
Parthenius et Sigerus in Domitianum conspirant, 28, 10.
Pastores Reges Ægypti, 392, 21.
Patriarcharum antidiluvianorum Chronologia 108–170. 231–

postdiluvianorum a Noe usque ad Abrahamum, 170–172.
Paulinus, 101, 4.
Paulinus Theodosii junioris familiaris, sed postea ab eo necatur, 308. 2 et 15.
Paulus Cyprius Patriarcha, 363, 29. sedem patriarchalem relinquit, et monachus fit, 365.
Paulus Leonis Isauri præfectus copiarum, 355, 23.
Paulus monachus, 92, 3.
Paulus Patriarcha Constantinop. 342, 3.
Paulus Zenonis σακελλάριος, 84, 31.
Pelagius Papa Romæ, 111, 20. item alius ejusdem nominis, 111, 22.
Pelagius a Zenone occisus, 315, 7.
Penthesilea Amazonum Regina, 216, 27.
Perennius Commodo insidias molitus opprimitur, 30–32.
Pergamus historicus cit., 380, 15.
Perizes Persarum Rex ab Hunnis devictus, 315, 19.
Persarum Reges, eorum Chronologia, 118–119. 271–272.
Perseus, de eo fabulæ, 387, 28.
Perseus Rex Macedoniæ ad Pydnam a Paulo Æmilio devictus, 132, 21.
Pertinax mortuo Commodo ad regnum provehitur, 35–36. a prætorianis interficitur, 36–37. 285, 26.
Petreius Marcus, 19, 18.
Petrus Alexandriæ Episcopus, 97, 21.
Petrus ὁ Κναφεὺς Episcopus Antiochiæ, 105, 16.
Petrus Magister, 365, 6.
Petrus ὁ Μογγὸς Alexandriæ Episcopus, 105, 23. ejus facinora, ibid.
Phaethontis conflagratio, 137, 28.
Pharaoh titulus Regum Ægypti, 392, 17.
Pharas ad custodiam Gelimeri a Belisario præpositus, 323, 33.
Pharasmenes Justini Cubicularius 332, 30.
Phaÿllus Crotoniata athleta, 154, 26.
Phidalius Corinthius, Φιδάλιος, 212, 12. Φιλάδιος, 210, 11.
Philippicus qui et Bardanes, occiso Justiniano Rhinotmeto, imperio potitus est, sed ipse seditione orta vita et regno privatur, 349.
Philippicus Mauricii privignus, 328, 25. 330.
Philippus Gordiano interempto imperio potitur, sed mox Decii fautoribus interficitur, 36–37. 288, 18.
Philippus Macedoniæ Rex a Pausania necatur, 8, 12.
Philippus II. Macedoniæ Rex Demetrium filium necari jubet, 10, 9.
Philochorus quæ de Minotauro tradidit, 196, 24.
Philocomodus puer a Commodo amatus, 35.
Philostorgius excerptum ex ejus Hist. de Jordane fluvio, 388–89.
Philumenus Philadelphiensis luctator, 155, 18.
Phocas ex milite ad imperium evectus, 330–331. ejus atrox ingenium et crudelitas. ab Heraclio victus supplicio afficitur, 333–334.
Phorbas Rex Argivorum 188, 14.
Phoroneus Rex Arg., 257, 32.
Photius Abbas 111, 25.
Phurtinus (Φουρτῖνος) ὁ Ῥωμαῖος χρονόγραφος, 232, 15.
Picus qui et Jupiter, 234, 18.
Pisander poeta, cit. 380, 4.
Placidia Valentiniani mater, 73, 25. 399, 34.
Placilla Theodosii uxor, 304, 26.

Plato philosophus, 189, 12. ejus de hydra sententia, 382, 26.
Plato ὁ τοῦ Σαδουκίονος ἡγούμενος, 368, 16.
Plautianus, Severi amicus et Caracallæ socer, insidias molitur contra Severum, sed proditus morte mulctatur, 39, 20.
Plutarchus, 380, 1. 388, 20.
Plutarchus ὁ νεώτερος de Sirenibus quæ tradiderit.
Plutarchus de gigantibus fulmine ictis, 232, 29.
Plutarchus ὁ Χαιρωνεὺς (Cod. male Χερρονήσιος), 240, 5.
Polemo Πολέμων ἐν πρώτῳ ἱστοριῶν Ἑλληνικῶν, 381, 17.
Polybius, 141, 23.
Polycarpus, 89, 3.
Pompeianus Lucillæ maritus, 31, 9.
Pompeiopolis Mysiæ urbs terræ motu diruta, 319, 13.
Pompeius post pugnam ad Pharsalum in Ægyptum abit, et ibi Ptolemæi jussu morte occumbit, 17—18.
Pompeius Sextus et Cneius Pompeii filii a Cæsare in Hispania devicti, 19—20.
Pontius Pilatus Judææ Procurator, 87, 22.
Porcia Bruti uxor, 21, 4.
Porphyrius primo Christianus, cur religionem eam abjuraverit, 96, 32. ejus Chronologia Ptolemæorum, 120. ἀπὸ τοῦ πρώτου λόγου τῆς φιλοσόφου ἱστορίας, 140, 9. ejus Chronologia Regum Atheniensium, 188, 22.
Posidonius Philosophus, 20, 33.
Posthumius Sp. Albinus adversus Jugurtham male rem gerit, 14, 2.
Posthumius Gallieni dux Lollianum vincit, 57, 33.
Potiphar Πεντεφρὴς Ægypti ἀρχιμάγειρος, 174, 25.
Priscus Mauricii privignus, 329, 20.
Proæresius Sophista, 303, 4.
Probus Imperator Florianum occidit, 59. post multa præclare gesta a militibus occiditur, 60, 291.
Proclus Episcopus Constantinopol. 100, 26. 310, 9.
Proclus philosophus ignem ad usus bellicos parat, 316, 7.
Procopia Michaelis Ragabe uxor, 373, 12.
Procopius Cæsariensis historicus, ejus octo libri de ædificiis Justiniani, 323, 20.
Procopius imperante Valente turbas ciet, 62—63.
Procopius regnante Theodosio juniore exercitus præfectus bellum cum Persis gerit, 309, 9.
Procopius Marciani frater imperante Zenone, 81, 27.
Prometheus, 188, 4.
Prosestiæ locus, 13, 10. πρὸς Ἑστίας vid. leg.
Proterius Episcopus Alexandriæ artibus Timothei Æluri occumbit, 102, 28.
Prusias Bithyniæ Rex, 10, 5.
Pseudoseleucus, 383, 30.
Psioph Rex Ægypti, 383, 20. Euseb. et Syncell. Phioph.
Ptolemæorum series ex Porphyrio, 120–125. Cf. 272–274. 376.
Ptolemæus Ceraunus, 131, 3.
Ptolemæus Epiphanes a Romanis constitutus Rex Ægypti, 10, 4.
Ptoliporthus Ulyssis filius 215, 33.
Publius Caminius (Leg. Cominius) et Titus Lucius Leg. (Lartius) Conss. primum Dictatorem creant, 8, 27.
Pulcheria Theodosii Soror, ejus virtutes, 99, 19. in Nestorium infensa, 100, 34. Marciani nupta, 311, 8.
Pylades Orestis socius, 4, 17.
Pythagoras philosophus, 271, 9.
Quadratus (Κόδρατος), 31, 4.

Quartio (Κουαρτίων Herodian. Κουαρτῖνος) Osrhoenæ præfectus, 50, 1.
Quintianus cædem Commodi aggressus opprimitur, 31, 13.
Quintilianus Claudii frater, 58. Κυντίλλος, 290, 10.
Recimer Gothorum dux, Avitum Imperatorem Roma obsidet Majorino favens, 75. sed eum regno potitum postea opprimit, ib. Anthemio imperatori infensus, eum regno et vita privat, 78—79. morbo occumbit, 79, 11.
Recitach (Ῥεκιτὰχ) Theodorici Triarii filius, suspicio in eum cadit de patris nece, 83. ejus atrox ingenium, ib. a cognato quodam, Zenonis impulsu, interficitur, 84, 20.
Rhesus juxta Byzantium habitavit, 390, 29.
Rhodanus præpositus, 302, 13. 399, 30.
Rhodus Insula coloniam accepit a Peloponneso, 228, 13.
Rhogi gens, 84, 28. 85, 31.
Roma a Remo et Romulo condita, 263, 13.
Romanus sub Anthemio magister, 78, 12.
Romulus a Senatoribus interfectus, postea inter Deos relatus, 5–6.
Romulus ultimus Imperator occidentis, 313, 32.
Rufinus Arcadii tutor, 67, 28.
Rufinus Ecclesiasticæ Hist. scriptor, 93, 3.
Rufus Gallus a Nerone contra Vindicem cum exercitu missus, 24.
Sabacon Rex Æthiopum, 383, 29.
Sabbatius Schismaticus, 100, 1. Rhodi moritur, 100, 22.
Sabellius hæreticus, 289, 19.
Sabinianus Illyriæ præfectus dolo occisus, 83, 31.
Sabinianus Papa Romæ, 111, 22.
Sabinus Vespasiani frater, 26, 27.
Saitus Chosrois præfectus exercitus, 336, 1.
Sallustius Valentiniani prætor, 302, 7. 399, 31.
Salmanazar Rex Assyriorum, 267, 31.
Samariæ Reges, vid. Israel.
Sarapion, 99, 2. mathematicus, 286, 26. Σεραπίων ὁ μάγος, 397, 25.
Sarbarus Persarum dux, 336, 12. 337, 24.
Sardanapalus ultimus Assyriorum rex, 230, 25.
Saturninus tribunus militum, 39, 26.
Saturninus Maurus a Probo desciscit, sed opprimitur, 59, 25.
Saturninus hæreticus, 284, 22.
Saturnus quando in Italia regnavit, 189, 32.
Saul Alanorum dux 66, 32.
Saxones gens Celtica, 60, 30.
Scipio Africanus Tiberium Gracchum seditionem moventem occidit, 12, 30. civili tumultu cum uxore et liberis fugatur, 13.
Scipio Nasica Consul belli Jugurthini ortu, 13, 8.
Scipio Publius Corn., Africani natus, Pompeii cognatus, 19, 16.
Scirtus Edessæ fluvius, 320, 31.
Sciri gens, 78, 27.
Scylla, de ea fabula, 383, 2.
Scythiæ Rex (Thoas) Orestem fugientem cum Iphigenia persequitur, 5, 9.
Scythopolis urbs Palæstinæ, 5, 11. 226, 9.
Sebaste urbs Ciliciæ ab Isauris capta, 82.
Selvinus tractus Σελβινὸν κλῖμα, 60, 29.
Seleucus Nicator Syriæ Rex, 272, 20.
Seleucus post mortem Antiochi

Sidetæ regno potitus, a Demetrio pellitur, 15, 10.
Seleucus Demetrii filius dolo interfectus Damasci a matre ejus Apamea, 15, 23.
Semiramis quæ et Rhea, 234, 24.
Senacherib Assyriorum Rex, 2, 1.
Seræus (Σέραιος) scriptor cit. de gigantibus, sed credo leg. Σέρβιος, 380, 7. et not.
Serdonius (leg. Herdonius), 9, 20.
Sergiopolis a Sergio martyre nominata, 109, 12.
Sergius Patriarcha Constantinop., 339, 21.
Seridus (Σηριδὸς) mons, 233, 27.
Sesostris Rex Ægypti, ejus res gestæ, 383, 24.
Servius Tarquinius a Tarquinio Superbo necatur, adjuvante Tullia, 6, 26.
Severa Valentiniani uxor, 301, 21.
Severianus Gabalorum Episcopus, 99, 1.
Severus post Pertinacis mortem regnum occupat, 37–39. certamen equestre Byzantii instituit, 193, 3. 286.
Severus (Episcopus Antiochiæ), 108, 14. ἀκέφαλος, 316, 11.
Sibylla Cumæa 263, 2.
Sibylla Erythræa, 263, 31.
Sibylla Samia, 264, 20.
Sigilda Theodorici Triarii uxor, 83, 20.
Sicyoniorum Reges et Sacerdotes ex Castore, 134—135.
Silpium (Σίλπιον) mons prope Antiochiam, 4, 29. 223, 21.
Silvanus in Gallia res novas molitur, 62, 25.
Similus Adriani familiaris., 284, 82. 396, 18.
Simon Camithi filius Judæorum pontifex, 88, 4.
Simon Magus, 279, 12 et 24.
Siruch idololatriæ auctor, 388, 11.
Sisinnius patriarcha Constantinop. 310, 5.
Sisinnius patricius, 352, 31.
Sisinnius ὁ τῶν ἐπιόρκων καὶ δολερῶν Τριφυλλίων, 369, 22.
Sisyphus Cous scriptor de Ulyssis erroribus, 209, 30. de rebus Trojanis, 221, 16.
Socrates Eccles. Hist. Scriptor, 93, 2.
Sol Vulcani filius Rex Ægypti, 383, 15.
Solomon, quando exstruxit Templum Hierosolymæ, 180–184.
Sophia Justini Imperatoris uxor, 325, 2. 328, 4.
Sophocles quæ de Tiresia narravit, 239, 2. 259, 4. ejus sententia de Deo, 239, 5.
Sos, i. q. et Mars, Rex Ægypti, 383, 16.
Sostris Rex Ægypti, ejus res gestæ, 237, 27.
Sozomenus Eccles. Hist. scriptor, 99, 30.
Sparta quando fundata, 176, 5.
Sphendatis et Cimardius Magi Persarum imperio potiti, 271, 2.
Spyridon, 91, 33.
Stauracius Logotheta, 365, 10.
Stauracius Nicephori filius et ejus successor, post perbreve regnum monasterio vitam finivit, 372–373.
Stephanus libertus Domitianum interficit, 27.
Stephanus Antiochiæ Episcopus, 95, 12.
Stephanus Justiniano Rhinotmeto regnante sacellarius, vir truculentus, 345, 24. a populo supplicio affectus, 346, 24.
Stephanus ὁ τοῦ Αὐξεντίου, 360, 12.
Sthenelus Rex Mycenarum, 191, 16.
Stilicho Theodosio regnante militum præfectus, 66, 34. Rufinum ejus adversarium opprimit, 68.
Stremuntinus Rex Ægyptiorum, 236, 34.

Strophius, 4, 16.
Studius, 103, 27.
Suliman Saracenorum classis præfectus, 354, 30.
Sulpicius Consul servilem tumultum compescit, 8, 24.
Sycæ, locus juxta Constantinopolim, 83, 9.
Symmachus, ejus interpretatio loci in Libr. Reg. (I. 13, 1.) 183, 8.
Symeon Ctesiphontis Episcopus, 297, 20.
Symeonis *μάνδρα*, 103, 31.
Syriæ Reges post Alexandrum, 125—129.
Syrus a quo Syria, 187, 28.
Tacitus post Aurelianum Imperator, in itinere a quibusdam occisus, 59. 290, 26.
Tarasius Patriarcha Constantinop., 366.
Tarquinius Priscus a Marci filiis occisus, 6, 23.
Tarquinius Superbus Servium obtruncat, 6, 30. ob filii facinus a Roma pellitur, 7, 3.
Tatianus, 229, 10.
Tauriphorium, locus Constantinop., 101, 27.
Tauromenium fundatur, 194, 23.
Telegonus Ulyssis et Circes filius, 215.
Telthericus Bulgarorum Rex, 362, 3.
Templum Sanctæ Irenes. Sanctorum Apostolorum. Sancti Mocii, 92, 32.
Terentius Maximus, se esse Neronem mentitus, et in Asia turbas ciens, a Tito opprimitur, 27, 10.
Tetricus Imperator post Victorinum, 58, 8.
Teucri narratio de morte Achillis ad Pyrrhum, 216, 25.
Thales Milesius in Tenedo moritur, 263, 31.
Thalmo insula, sed leg. vid. Flanno, 95, 27.
Thasus fundata, 190, 12.
Theglaphalasar Rex Assyriorum, 267, 28.
Theoctitus a Justino Imperatore occisus, 318, 30.
Theodectes tragicus, 273, 2.
Theodora Justiniani uxor, 109, 28. 110, 10. ejus mors, 111, 10. 321, 26.
Theodora Chazari soror, Justiniani Rhinotmeti uxor, 348, 28.
Theodoretus *ἐν τῇ φιλοθέῳ αὐτοῦ ἱστορίᾳ* (Eccles. scil.), 103, 11.
Theodoricus Triarii filius Zenone regnante turbas ciet, 79. Thraciam vastat et ibi moritur, 83.
Theodoricus ὁ *στραβὸς*, 81, 3.
Theodoricus ὁ *Οὐαλίμερος* Dyrrhachium capit et Græciæ fines vastat, 83, 28.
Theodoricus ὁ *Ἄφρος*, 106, 8.
Theodorus ὁ *ἀποσκριβώνων* Episcopus Alexandriæ, 111, 28.
Theodorus patricius ὁ *Μαιάκης*, 349, 27.
Theodosius post Gratiani mortem Maximum vincit, 64. ejus humanitas, ib. ab Ambrosio Mediolani Eccles. arcetur, 98, 9. ejus mors, 101, 6, 306.
Theodosius Mauricii filius, 331, 27.
Theodosius Adramyttenus Artemii in imperio successor, 351.
Theodotus Chius Pompeii necis auctor, 18, 7.
Theodotus (*γενικὸς*), 346, 24.
Theomis tragœdiæ inventor, 226—227.
Theophanes Magister, 357, 22.
Theophanes ὁ *παπίας τοῦ παλατίου*, 363, 31.
Theophilus Chrysostomi adversarius, 98, 30. 99, 3. Episcopus Alexandriæ, 100, 7.
Theophilus Chronographus, 227, 5.
Theophylactus Michaelis Ragabe filius, 373, 13.

Theopompus historicus, 272, 34.
Theotecnus de Christo falsa scribit hortante Maximiano, 293, 1.
Theosebius, 83, 25.
Thermuthis Pharaonis filia Mosen educat, 256, 23.
Thessalus a quo nominata Thessalia, 176, 2.
Theudomer (Θεύδομερ) Valimeri frater, 78, 8.
Thoas Scytharum Rex, 226, 1.
Thola Judex Israelis, 191, 10.
Thomas Apostolus, ejus ἀποστόλιον, 104, 24.
Thonus Concolerus qui et Sardanapalus, 173, 5.
Thrasylus Astrologus, 277, 32.
Thraustelas (Θραυστήλας) Scytha Valentiniani necis particeps, 74. 83, 1.
Thuras sive Zames, idem qui et Ares et Baal, 235, 24.
Thyrsus martyr, 97, 29.
Tiberius Cæsar, 277, 31.
Tiberius a Justino Imperator creatur, 326. Mauricium sibi successorem eligit et veneno moritur, 328.
Tiberius Constantini Pogon. frater, 342, 25.
Tiberius qui et Apsimarus, 347.
Tiberius Justiniani Rhinotmeti filius e Theodora, 336, 32.
Timæus Siculus de fundatione Romæ, 162, 29.
Timasius, 66, 32.
Timocles ὁ τῶν τροπαρίων ποιητής, 104, 12.
Timotheus Ælurus Proterii necem machinatur, et ad Episcopatum Alexandriæ evehitur, 102, 19. ejus malæ artes, 105, 10.
Timotheus Salophacialus, 105, 10 et 19.
Tiridates Parthorum rex, 297, 19.
Titormus robore insignis, 153, 28.
Titus Vespasianus, faustum ejus regnum, moritur non sine suscipione fratris maleficii, 27. 281.
Trajanus negat Licinium Suram quidquam moliri contra se, 29. 283.
Tricomia urbs Palæstinæ, 225, 18.
Triptolemus, 382, 5.
Triumphus, Θρίαμβος, unde dictus, 398, 10.
Troas fundata, 193, 25.
Trocundes Marcianum ab Ancyra repellit, 82, 27. a Zenone promovetur, ib.
Troja quando capta, 259, 33.
Trojanarum Rerum narratio, 196 et seqq.
Trojanorum Regum chronologia, 204.
Trypho Syriæ regno dolo potitus, mox a Syris interficitur, 15, 3.
Tyriorum Reges ex Dio et Menandro Ephesio ap. Josephum, 185—187.
Tyrus quando fundatur, 194, 14.
Ullibus (Οὔλλιβος) Scytha ab Anagasta occisus, 77, 8.
Valens Chalcedonem vastat, et mœnia destruit, 63. contra Gothos bellum gerens occumbit, 63—64. 303.
Valentinianus Aetium Patricium interfici jubet, 73. ipse Maximi insidiis tollitur 74. 301—303.
Valentinianus Junior ab Arbogaste occisus, 65—66.
Valentinus hæreticus, 89, 7.
Valerianus Imperator a Sapore Persarum rege captus et interfectus, 289, 26.
Valimer vel Walimer (Βάλιμερ et Ουάλιμερ) barbarorum dux, 78, 7. Cf. 82, 23.
Varani ædes, 81, 31.

Varus Quintus Pompeii partium fautor, 19, 18.
Venetia metropolis Aquileiæ, 192, 28.
Verina (Βηρινα) Leonis Imperatoris uxor, contra Zenonem turbas ciet, adjuvante illo, 314—315. Cf. 79—81.
Vespasianus nunquam voluit pœnas de conspiratoribus sumere, 27, 4. 281, 17.
Victorinus post mortem Gallieni Imperator, secundo imperii anno interficitur, 58.
Victorinus Maurus in Britannia a Probo descivit, 59—60. 291,
Vindex, Caius Julius, in Hispania contra Neronem arma sumit, sed mox sibi mortem conscis-cit, 24.
Vigilius Papa Romæ, 111, 20.
Virgilius (Βιργίλιος), 221, 18.
Vitalianus Thrax contra Anastasium seditionem movet, sed victus est, 316, 4.
Vitellius regno potitus, mox exercitu ad Vespasianum deficiente, a plebe fœde interficitur, 26—27. 281, 12.
Ulyssis errores, reditus in patriam et mors, 208.
Urbicius (Οὐρβίκιος) Illo insidias struit, 315, 28.
Volusianus Imperator cum Gallo, 57.
Vulcanus Rex Ægypti, 383, 14.
Xenæas ὁ φιλόξενος, 109, 1.
Xenagoras ὁ συγγραφεὺς, 162, 17.
Xerxes Armeniæ Rex, Antiochi sororem nuptam habet; cujus opera interficitur, 9, 26.
Zagoria regio, 438, 17.
Zeno Leoni succedit, eo regnante plurimi motus civiles 79. a Constantinopoli noctu aufugere coactus est, 80. Post ejus reditum ab Illo alienatur, 80, 15. tumultus a Marciano et Procopio excitantur, 81—82. Zeno Bulgaros primum advocat contra Theodoricos turbas cientes, 83, 5. in Illum infestum se gerit, ib. ex Isaura oriundus erat, 315, 1. et corpore et mente fœdus, ib.
Zenobia post Odenati necem regno potitur, 58, 14.
Zocer filius Judæ, 88, 16.
Zoilus Episcopus Alexandriæ, 110, 17 et 21.
Zoroaster ὁ μάγος Βακτηρίων (Leg. Βακτρίων) βασιλεὺς, 175, 7.

---

## CORRIGENDA.

Pag. 28. not. *pro* sanandus *leg.* sanandum
—— 49, lin. 9. *ἐπέμφοντο leg. ἐμέμφοντο*
—— 55, 34. *Μάξιμως leg. Μάξιμος*
—— 67, 2. *ἀπιλείπετο leg. ἀπελείπετο*
—— 75, 17. *pro Εἰρήνης leg. εἰρήνης*
—— 109, 3. Ἐκ τοῦ Η λόγου. *sic Cod. sed leg. credo* Β Λόγου
—— 134, 2. *ὁ Σικυώνων leg. οἱ Σικ.*
—— 141, 12. nunc video apud Syncellum scriptum esse, *ἔστ' ἂν ἐνὶ ξυνόδοις* Ed. Corp. Byz. p. 369.
—— 153, lin. ult. *pro τῆς Ῥώμης leg. ῥώμης*
—— 239, 5. *pro ἐρέθετο leg. ἐξέθετο*
—— 243, 7. confectum ex variis Scriptoribus Cedreno, &c. *his adde* Theophanem.
—— 271, 17. *ἐκ γένους ὢν leg. ἐκ γένους ὢν*
—— 306. not. *suppl. θορύβους. potius φόνους*
—— 342, 13. *ὡραιότατον leg. ὡραιότατον*